M
20

**BIBLIOTECA**
DE LA
Universidad de Salamanca.
**Est.** 1 **Caj.** 1 **Núm.** 13.

Historia belli peloponesi

Tucidides

M 20

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

θουκυδίδου ξυγγραφῆς πρῶτον

θουκυδίδης ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν πελοπον-
νησίων καὶ ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους· ἀρ-
ξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι
καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος
ὅτι ἀκμάζοντές τε ᾖσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ
πάσῃ, καὶ τὸ ἄλλο ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκα-
τέρους· τὸ μὲν εὐθύς· τὸ δὲ καὶ διανοούμενον· κίνησις γὰρ
αὕτη μεγίστη δὴ τοῖς ἕλλησιν ἐγένετο· καὶ μέρει τινὶ τῶν βαρ-
βάρων· ὡς δὲ εἰπεῖν καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν
καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου
πλῆθος ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων ὧν ἐπὶ μακρό-
τατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω
γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα· φαί-
νεται γὰρ ἡ νῦν ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκου-
μένη· ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδί-
ως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες βιαζόμενοι ὑπό τινων,
ἀεὶ πλειόνων· τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύν-
τες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νε-
μόμενοί τε τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν, καὶ περιουσίαν
χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες, ἄδηλον ὂν
ὁπότε τις ἐπελθὼν καὶ ἀτειχίστων ἅμα ὄντων ἄλλος ἀφαιρή-
σεται· τῆς τε καθημέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν
ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο· καὶ δι' αὐτὸ
οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ· μά-
λιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων
εἶχεν· ἥ τε νῦν θετταλία καλουμένη καὶ βοιωτία· πελο-
ποννήσου τε τὰ πολλὰ πλὴν ἀρκαδίας· τῆς τε ἄλλης ὅσα,

Tucidides

M 20

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

θουκυδίδου ξυγγραφῆς πρῶτον

Θουκυδίδης ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν πελοποννησίων καὶ ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους· ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντές τε ᾖσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους· τὸ μὲν εὐθύς· τὸ δὲ καὶ διανοούμενον· κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς ἕλλησιν ἐγένετο· καὶ μέρει τινὶ τῶν βαρβάρων· ὡς δὲ εἰπεῖν καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα· φαίνεται γὰρ ἡ νῦν ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη· ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες βιαζόμενοι ὑπό τινων, ἀεὶ πλειόνων· τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν. καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες, ἄδηλον ὂν ὁπότε τις ἐπελθὼν καὶ ἀτειχίστων ἅμα ὄντων ἄλλος ἀφαιρήσεται· τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο· καὶ δι' αὐτὸ οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ· μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη αἰεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν· ἥ τε νῦν θεσσαλία καλουμένη καὶ βοιωτία· πελοποννήσου τε τὰ πολλὰ πλὴν ἀρκαδίας· τῆς τε ἄλλης ὅσα

τὴν κράτιστα. διὰ γὰρ ἀρετὴν γῆς αἵ τε δυνάμεις τισὶ μείζους ἐγγινόμεναι, στάσεις ἐνεποίουν ἐξ ὧν ἐφθείροντο· καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. τὴν γοῦν Ἀττικὴν ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν, ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί· καὶ παράδειγμα τόδε τοῦ λόγου, οὐκ ἐλάχιστόν ἐστι διὰ τὰς μετοικίας ἐς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι. ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες, παρ' Ἀθηναίους, οἱ δυνατώτατοι, ὡς βέβαιον ὂν ἀνεχώρουν· καὶ πολῖται γιγνόμενοι εὐθὺς ἀπὸ παλαιοῦ, μείζω ἔτι ἐποίησαν πλήθει ἀνθρώπων τὴν πόλιν· ὥστε ἐς Ἰωνίαν ὕστερον οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν. δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ ἥκιστα· πρὸ γὰρ τῶν Τρωικῶν, οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς· δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν· ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος, καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη· κατὰ δὲ ἔθνη ἄλλα τε καὶ τὸ Πελασγικόν, ἐπὶ πλεῖστον ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι· Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελίᾳ ἐς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας· οὐ μέντοι πολλοῦ γε χρόνου ἐδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος· πολλῷ γὰρ ὕστερον ἔτι καὶ τῶν Τρωικῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν· οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀργείους καὶ Ἀχαιοὺς ἀνακαλεῖ. οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε διὰ τὸ μηδὲ Ἕλληνάς πω ὡς ἐμοὶ δοκεῖ ἀντίπαλον ἐς ἓν ὄνομα ἀποκεκρίσθαι. οἱ δ' οὖν ὡς ἕκαστοι Ἕλληνες κατὰ πόλεις τε ὅσοι ἀλλήλων ξυνίεσαν καὶ ξύμπαντες ὕστερον

πληθύνοντες, οὐδὲν πρὸ τῶν Τρωϊκῶν δι᾽ ἀσθένειαν καὶ ἀμιξίαν
ἀλλήλων ἀθρόοι ἔπραξαν. ἀλλὰ καὶ ταύτην τὴν στρατείαν θα-
λάσσῃ ἤδη πλείονι χρώμενοι ξυνῆλθον. Μίνως γὰρ πα-
λαίτατος ὧν ἀκοῇ ἴσμεν, ναυτικὸν ἐκτήσατο· καὶ τῆς νῦν
Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε καὶ τῶν Κυκλά-
δων νήσων ἦρξέ τε, καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο, Κᾶ-
ρας ἐξελάσας καὶ τοὺς ἑαυτοῦ παῖδας ἡγεμόνας ἐγκαταστήσας·
τό τε λῃστικόν, ὡς εἰκός, καθήρει ἐκ τῆς θαλάσσης ἐφ᾽ ὅσον ἐ-
δύνατο, τοῦ τὰς προσόδους μᾶλλον ἰέναι αὐτῷ. οἱ γὰρ Ἕλληνες
τὸ πάλαι καὶ τῶν βαρβάρων, οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι
καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι
ναυσὶν ἐπ᾽ ἀλλήλους, ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων
ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων, κέρδους τοῦ σφετέρου αὐτῶν
ἕνεκα, καὶ τοῖς ἀσθενέσι τροφῆς· καὶ προσπίπτοντες πόλεσιν
ἀτειχίστοις, καὶ κατὰ κώμας οἰκουμέναις, ἥρπαζον· καὶ
τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο· οὐκ ἔχοντός πω
αἰσχύνην τούτου τοῦ ἔργου· φέροντος δέ τι καὶ δόξης μᾶλλον·
δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος
καλῶς τοῦτο δρᾶν· καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν
καταπλεόντων πανταχοῦ, ὁμοίως ἐρωτῶντες εἰ λῃσταί εἰσιν,
ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τε ἐπιμε-
λὲς εἴη, οὐκ ὀνειδιζόντων. ἐλῄζοντο δὲ καὶ κατ᾽ ἤπειρον ἀλ-
λήλους. καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος, τῷ παλαιῷ τρόπῳ
νέμεται· περί τε Λοκροὺς τοὺς Ὀζόλας καὶ Αἰτωλοὺς καὶ Ἀκαρ-
νᾶνας καὶ τὴν ταύτῃ ἤπειρον. τό τε σιδηροφορεῖσθαι τούτοις τοῖς
ἠπειρώταις ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε. πᾶσα γὰρ
ἡ Ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰς ἀφράκτους τε οἰκήσεις καὶ οὐκ
ἀσφαλεῖς παρ᾽ ἀλλήλους ἐφόδους. καὶ ξυνήθη τὴν δίαιταν ἐποι-
ήσαντο μεθ᾽ ὅπλων ὥσπερ οἱ βάρβαροι. σημεῖον δ᾽ ἐστὶ ταῦτα

τῆς ἑλλάδος ἔτι οὕτω νεμόμενα τῶν πόλεων καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. ἐν τοῖς πρῶτοι δὲ ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν. καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων διὰ τὸ ἁβροδίαιτον, οὐ πολὺς χρόνος, ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. ἀφ᾽ οὗ καὶ ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενές, ἐπὶ πολὺ αὕτη ἡ σκευὴ κατέσχε. μετρίᾳ δ᾽ αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον, πρῶτοι λακεδαιμόνιοι ἐχρήσαντο. καὶ ἐς τἆλλα πρὸς τοὺς πολλοὺς οἱ τὰ μείζω κεκτημένοι. ἰσοδίαιτοι μάλιστα κατέστησαν. ἐγυμνώθησάν τε πρῶτοι. καὶ ἐς τὸ φανερὸν ἀποδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο. τὸ δὲ πάλαι, καὶ ἐν τῷ ὀλυμπικῷ ἀγῶνι, διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο. καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις ἔστιν οἷς νῦν καὶ μάλιστα τοῖς ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται. καὶ διεζωμένοι τοῦτο δρῶσι. πολλὰ δ᾽ ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον. τῶν δὲ πόλεων ὅσαι μὲν νεώτατα ᾠκίσθησαν καὶ ἤδη πλωιμωτέρων ὄντων περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ᾽ αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο. καὶ τοὺς ἰσθμοὺς ἀπελάμβανον, ἐμπορίας τε ἕνεκα καὶ τῆς πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος. αἱ δὲ παλαιαὶ διὰ τὴν λῃστείαν ἐπὶ πολὺ ἀντισχοῦσαν ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν. αἵ τε ἐν ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις. ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι κάτω ᾤκουν. καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμένοι εἰσί. καὶ οὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ νησιῶται. κᾶρές τε ὄντες καὶ φοίνικες. οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν. μαρτύριον δέ. δήλου γὰρ καθαιρομένης ὑπὸ ἀθηναίων ἐν

τῷδε τῷ πολέμῳ· καὶ τῶν θηκῶν ἀναιρεθεισῶν ὅσαι ἦσαν ἐν τῇ νήσῳ
τῶν τεθνεώτων, ὑπὲρ ἥμισυ Κᾶρες ἦσαν ἐφάνησαν· γνωσθέντες,
τῇ τε σκευῇ τῶν ὅπλων ξυντεθαμμένῃ· καὶ τῷ τρόπῳ ᾧ ἔτι
νῦν θάπτουσι· καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ πλωιμώτερα
ἐγένετο παρ' ἀλλήλους· οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστη-
σαν ὑπ' αὐτοῦ ὅτεπερ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε· καὶ
οἱ παρὰ θάλασσαν ἄνθρωποι, μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων
ποιούμενοι, βεβαιότερον ᾤκουν· καί τινες καὶ τείχη περιε-
βάλλοντο, ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵ τε ἥσσους ὑπέμενον · ὡς πλουσιώτεροι αὑτῶν γινόμενοι
τὴν τῶν κρεισσόνων δουλείαν· οἵ τε δυνατώτεροι περιουσίας ἔχοντες
προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις· καὶ ἐν τούτῳ
τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες, ὕστερον χρόνῳ ἐπὶ Τροίαν ἐστρά-
τευσαν· Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προύχων,
καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις κατειλημμένους τοὺς
Ἑλένης μνηστῆρας ἄγων τὸν στόλον ἀγεῖραι· λέγουσι δὲ καὶ οἱ
τὰ σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον δε-
δεγμένοι, Πέλοπά τε πρῶτον πλήθει χρημάτων ἃ ἦλθεν ἔχων ἐκ
τῆς Ἀσίας ἐς ἀνθρώπους ἀπόρους, δύναμιν περιποιησά-
μενον τὴν ἐπωνυμίαν τῆς χώρας ἔπηλυν ὄντα, ὅμως σχεῖν·
καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι· Εὐρυσθέως
μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος· Ἀτρέως δὲ μη-
τρὸς ἀδελφοῦ ὄντος αὐτῷ· καὶ ἐπιτρέψαντος Εὐρυσθέως ὅτ'
ἐστράτευε Μυκήνας τε καὶ τὴν ἀρχὴν κατὰ τὸ οἰκεῖον Ἀτρεῖ·
τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου
θάνατον· καὶ ὡς οὐκέτι ἀνεχώρησεν Εὐρυσθεύς, βουλομένων
καὶ τῶν Μυκηναίων φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα δυνα-
τὸν δοκοῦντα εἶναι καὶ τὸ πλῆθος τεθεραπευκότα τῶν Μυκηναί-
ων τε καὶ ὧν Εὐρυσθεὺς ἦρχε, τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν·
καὶ τῶν Περσειδῶν τοὺς Πελοπίδας μείζους καταστῆναι· ἅ μοι
δο

δυνάμει Ἀγαμέμνων παραλαβὼν· καὶ ναυτικῷ τε ἅμα ἐπὶ πλέον
τῶν ἄλλων ἰσχύσας τὴν στρατείαν οὐ χάριτι τὸ πλέον ἢ φόβῳ
ξυναγαγὼν ποιήσασθαι· φαίνεται γὰρ ναυσί τε πλείσταις αὐτὸς
ἀφικόμενος, καὶ Ἀρκάσι προσπαρασχών, ὡς Ὅμηρος τοῦτο
δεδήλωκεν, εἴ τῳ ἱκανὸς τεκμηριῶσαι· καὶ ἐν τοῦ σκήπτρου
ἅμα τῇ παραδόσει, εἴρηκεν αὐτὸν πολλῇσι νήσοισι καὶ
Ἄργεϊ παντὶ ἀνάσσειν· οὐκ ἂν οὖν νήσων ἔξω τῶν περιοικίδων
αὗται δὲ οὐκ ἂν πολλαὶ εἶεν, ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι
καὶ ναυτικὸν εἶχεν· εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατείᾳ, οἷα
ἦν τὰ πρὸ αὐτῆς· καὶ ὅτι μὲν Μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τό-
τε πόλισμα νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι· οὐκ ἀκριβεῖ ἄν
τις σημείῳ χρώμενος, ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον
ὅσον οἵ τε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει· Λακεδαιμονίων
γὰρ εἰ ἡ πόλις μὲν ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κα-
τασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως
προελθόντος πολλοῦ χρόνου, τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν
εἶναι· καίτοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμονται
τῆς τε ξυμπάσης ἡγοῦνται καὶ τῶν ἔξω ξυμμάχων πολλῶν·
ὅμως δὲ οὔτε ξυνοικισθείσης πόλεως, οὔτε ἱεροῖς καὶ κατασ-
κευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας δὲ τῷ παλαιῷ
τῆς Ἑλλάδος τρόπῳ οἰκισθείσης, φαίνοιτ᾽ ἂν ὑποδεεστέρα· Ἀθη-
ναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων, διπλασίαν ἂν τὴν δύνα-
μιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως, ἢ ἔστιν· οὔ-
κουν ἀπιστεῖν εἰκός· οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκο-
πεῖν ἢ τὰς δυνάμεις· νομίζειν δὲ τὴν στρατείαν ἐκείνην μεγί-
στην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς· λειπομένην δὲ τῶν νῦν·
τῇ Ὁμήρου αὖ ποιήσει εἴ τι χρὴ κἀνταῦθα πιστεύειν· ἣν εἰκὸς ἐπὶ
τὸ μεῖζον ποιητὴν ὄντα κοσμῆσαι· ὅμως δὲ φαίνεται καὶ οὕτως
ἐνδεεστέρα· πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν· τὰς

μὲν βοιωτῶν ἑκατὸν καὶ εἴκοσι ἀνδρῶν· τὰς δὲ φιλοκτήτου πεντήκοντα, δηλῶν ὡς ἐμοὶ δοκεῖ τὰς μεγίστας καὶ ἐλαχίστας· ἄλλων γοῦν μεγέθους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη· αὐτερέται δὲ ὅτι ἦσαν, καὶ μάχιμοι πάντες, ἐν ταῖς φιλοκτήτου ναυσὶ δεδήλωκε· τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους· περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει· ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι, μετὰ σκευῶν πολεμικῶν· οὐδ᾽ αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας· ἀλλὰ τῷ παλαιῷ τρόπῳ λῃστικώτερον παρεσκευασμένα· πρὸς τὰς μεγίστας γοῦν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι, οὐ πολλοὶ φαίνονται ἐλθόντες ὡς ἀπὸ πάσης τῆς ἑλλάδος κοινῇ πεμπόμενοι· αἴτιον δ᾽ ἦν, οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον, ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ, τόν τε στρατὸν ἐλάσσω ἤγαγον· καὶ ὅσον ἤλπιζον αὐτόθι πολεμοῦντα βιοτεύσειν· ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ, οὐκ ἂν ἐτειχίσαντο· φαίνονται δὲ οὐδ᾽ ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι· ἀλλὰ πρὸς γεωργίαν τῆς χερσονήσου τραπόμενοι καὶ λῃστείαν τῆς τροφῆς ἀπορίᾳ. ᾗ καὶ μᾶλλον οἱ τρῶες αὐτῶν διεσπαρμένων, τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ, τοῖς αἰεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες· περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς καὶ ὄντες ἀθρόοι ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον· οἵ γε καὶ οὐχ ἀθρόοι, ἀλλὰ μέρει τῷ αἰεὶ παρόντι ἀντεῖχον· πολιορκίᾳ δ᾽ ἂν προσκαθεζόμενοι, ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν τροίαν εἷλον· ἀλλὰ δι᾽ ἀχρηματίαν τά τε πρὸ τούτων ἀσθενῆ ἦν· καὶ αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης· καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου κατε-

σχηκότος

ἐπεὶ καὶ μετὰ τὰ τρωικὰ ἡ ἑλλὰς ἔτι μετανίστατό τε καὶ κατῳκί-
ζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. ἥ τε γὰρ ἀναχώρησις τῶν
ἑλλήνων ἐξ ἰλίου χρονία γενομένη, πολλὰ ἐνεόχμωσε· καὶ
στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπὶ πολὺ ἐγίγνοντο· ἀφ᾽ ὧν ἐκπί-
πτοντες τὰς πόλεις ἔκτιζον. βοιωτοί τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει
μετὰ ἰλίου ἅλωσιν ἐξ ἄρνης ἀναστάντες ὑπὸ θεσσαλῶν, τὴν
νῦν μὲν βοιωτίαν πρότερον δὲ καδμηίδα γῆν καλουμένην,
ᾤκισαν· ἦν δὲ αὐτῶν καὶ ἀποδασμὸς πρότερον ἐν τῇ γῇ ταύτῃ·
ἀφ᾽ ὧν καὶ ἐς ἴλιον ἐστράτευσαν· δωριῆς τε ὀγδοηκοστῷ ἔτει
ξὺν ἡρακλείδαις πελοπόννησον ἔσχον. μόλις τε ἐν πολλῷ χρόνῳ
ἡσυχάσασα ἡ ἑλλάς, βεβαίως καὶ οὐκέτι ἀνισταμένη ἀποι-
κίας ἐξέπεμψε. καὶ ἴωνας μὲν ἀθηναῖοι καὶ νησιωτῶν τοὺς
πολλοὺς ᾤκισαν· ἰταλίας δὲ καὶ σικελίας τὸ πλεῖστον πελοποννή-
σιοι τῆς τε ἄλλης ἑλλάδος ἔστιν ἃ χωρία. πάντα δὲ ταῦτα ὕστερον
τῶν τρωικῶν ἐκτίσθη. δυνατωτέρας δὲ γιγνομένης τῆς ἑλλά-
δος, καὶ τῶν χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποι-
ουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο·
τῶν προσόδων μειζόνων γιγνομένων· πρότερον δὲ ἦσαν ἐπὶ
ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι· ναυτικά τε ἐξηρτύετο
ἡ ἑλλάς· καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο. πρῶτοι δὲ κορίν-
θιοι λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσασθαι τὰ περὶ
τὰς ναῦς· καὶ τριήρεις πρῶτον ἐν κορίνθῳ τῆς ἑλλάδος ναυπη-
γηθῆναι. φαίνεται δὲ καὶ σαμίοις ἀμεινοκλῆς κορίνθιος
ναυπηγὸς, ναῦς ποιήσας τέσσαρας. ἔτη δ᾽ ἐστὶ μάλιστα τρι-
ακόσια ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ὅτε ἀμεινοκλῆς
σαμίοις ἦλθε. ναυμαχία τε παλαιτάτη ὧν ἴσμεν γίγνεται κο-
ρινθίων πρὸς κερκυραίους. ἔτη δὲ μάλιστα ἑξήκοντα καὶ
διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. οἰκοῦντες γὰρ τὴν πό-
λιν οἱ κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ, αἰεὶ δή ποτε ἐμπόριον εἶχον

των ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλέω ἢ κατὰ θάλασσαν· τῶν τε
ἐντὸς πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς ἐκείνων παρ' ἀλλή-
λους ἐπιμισγόντων· χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς πα-
λαιοῖς ποιηταῖς τοῦτο δεδήλωται· ἀφνειὸν γὰρ ἐπωνόμαζον τὸ
χωρίον· ἐπειδή τε οἱ ἕλληνες μᾶλλον ἔπλωϊζον τὰς ναῦ- οὐχὶ πάντες ἀλλ' οἱ κορίνθιοι δηλονότι.
ς κτώμενοι, τὸ λῃστικὸν καθῄρουν· καὶ ἐμπόριον παρέ-
χοντες ἀμφότερα, δυνατὴν ἔσχον χρημάτων προσόδῳ
τὴν πόλιν· καὶ ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ
κύρου τοῦ περσῶν πρώτου βασιλεύοντος· καὶ καμβύσου
τοῦ υἱέος αὐτοῦ· τῆς τε καθ' ἑαυτοὺς θαλάσσης κύρῳ πολε-
μοῦντες, ἐκράτησάν τινα χρόνον· καὶ πολυκράτης σάμου
τυραννῶν ἐπὶ καμβύσου, ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νή-
σων ὑπηκόους ἐποιήσατο, καὶ ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ
ἀπόλλωνι τῷ δηλίῳ· φωκαεῖς τε μασσαλίαν οἰκίζοντες, καρ-
χηδονίους ἐνίκων ναυμαχοῦντες· δυνατώτατα γὰρ ταῦτα τῶν
ναυτικῶν ἦν· φαίνεται δὲ ταῦτα πολλαῖς γενεαῖς ὕστερον γι-
νόμενα τῶν τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα· πεν-
τηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα ὥσπερ
ἐκεῖνα· ὀλίγον τε πρὸ τῶν μηδικῶν καὶ τοῦ δαρείου θανάτου,
ὃς μετὰ καμβύσην περσῶν ἐβασίλευσε, τριήρεις περί τε
σικελίαν ἐς πλῆθος τοῖς τυράννοις ἐγένοντο καὶ κερκυ-
ραίοις· ταῦτα γὰρ τελευταῖα πρὸ τῆς ξέρξου στρατιᾶς
ναυτικὰ ἀξιόλογα ἐν τῇ ἑλλάδι κατέστη· αἰγινῆται γὰρ
καὶ ἀθηναῖοι καὶ εἴ τινες ἄλλοι βραχέα ἐκέκτηντο· καὶ
τούτων τὰ πολλὰ πεντηκοντόρους· ὀψέ τε ἀφ' οὗ ἀθηναίους
θεμιστοκλῆς ἔπεισεν αἰγινήταις πολεμοῦντας· καὶ ἅμα
τοῦ βαρβάρου προσδοκίμου ὄντος τὰς ναῦς ποιήσασθαι
αἷσπερ καὶ ἐναυμάχησαν· καὶ αὗται οὔπω εἶχον δια-
πάσης καταστρώματα· τὰ μὲν οὖν ναυτικὰ τῶν ἑλλήνων

τοιαῦτα ἦν τά τε παλαιὰ καὶ τὰ ὕστερον γιγνόμενα. ἰσχὺν δὲ
περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσχόντες αὐτοῖς
χρημάτων τε προσόδῳ καὶ ἄλλων ἀρχῇ· ἐπιπλέοντες γὰρ τὰς
νήσους κατεστρέφοντο. καὶ μάλιστα ὅσοι μὴ διαρκῆ εἶχον
χώραν. κατὰ γῆν δὲ πόλεμος ὅθεν τις καὶ δύναμις παρεγέ-
νετο, οὐδεὶς ξυνέστη. πάντες δὲ ἦσαν καὶ ἐγένοντο πρὸς
ὁμόρους τοὺς σφετέρους ἑκάστοις. καὶ ἐκδήμους στρατείας πολὺ
ἀπὸ τῆς ἑαυτῶν ἐπ᾽ ἄλλων καταστροφῇ οὐκ ἐξῇσαν οἱ Ἕλληνες.
οὐ γὰρ ξυνειστήκεσαν πρὸς τὰς μεγάλας πόλεις ὑπήκοοι. οὐ-
δ᾽ αὖ αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο. κατ᾽ ἀλλή-
λους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν. μάλιστα 15
δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Χαλκιδέων καὶ Ἐρε-
τριέων. καὶ τὸ ἄλλο ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέρων διέστη. 16
ἐπεγένετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι. ἴωσι
προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων, Κῦρος καὶ ἡ
περσικὴ βασιλεία Κροῖσον καθελοῦσα. καὶ ὅσα ἐντὸς Ἅλυος
ποταμοῦ πρὸς θάλασσαν ἐπεστράτευσε. καὶ τὰς ἐν τῇ ἠπείρῳ
πόλεις ἐδούλωσε. Δαρεῖός τε ὕστερον τῷ Φοινίκων ναυτικῷ
κρατῶν καὶ τὰς νήσους. τύραννοί τε ὅσοι ἦσαν ἐν ταῖς ἑλληνι-
καῖς πόλεσι, τὸ ἐφ᾽ ἑαυτῶν μόνον προορώμενοι, ἔς τε τὸ σῶ-
μα καὶ ἐς τὸν ἴδιον οἶκον αὔξειν. δι᾽ ἀσφαλείας ὅσον ἐδύναντο
μάλιστα τὰς πόλεις ᾤκουν. ἐπράχθη τε ἀπ᾽ αὐτῶν οὐδὲν ἔργον
ἀξιόλογον. εἰ μή που πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις. οἱ γὰρ
ἐν Σικελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως. οὕτω πανταχόθεν
ἡ Ἑλλὰς ἐπὶ πολὺν χρόνον κατείχετο μήτε κοινῇ φανερὸν μη-
δὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι. ἐπειδὴ
οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπὶ πολὺ
πρὶν τυραννευθείσης, οἱ πλεῖστοι καὶ τελευταῖοι πλὴν τῶν ἐν
Σικελίᾳ, ὑπὸ Λακεδαιμονίων κατελύθησαν. ἡ γὰρ Λακεδαίμων

μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων· ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ ηὐνομήθη καὶ ἀεὶ ἀτυράννευτος ἦν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια, καὶ ὀλίγῳ πλείω. ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἀφ' οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται· καὶ δι' αὐτὸ δυνάμενοι καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίστασαν· μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος, οὐ πολλοῖς ἔτεσιν ὕστερον, καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο· δεκάτῳ δὲ ἔτει μετ' αὐτήν, αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθε· καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος, οἵ τε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων, ἡγήσαντο δυνάμει προύχοντες, καὶ οἱ Ἀθηναῖοι ἐπιόντων τῶν Μήδων διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀνασκευασάμενοι ἐς τὰς ναῦς ἐμβάντες, ναυτικοὶ ἐγένοντο· κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον· ὕστερον οὐ πολλῷ διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους, οἵ τε ἀποστάντες ἀπὸ βασιλέως Ἕλληνες, καὶ οἱ ξυμπολεμήσαντες· δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη· ἴσχυον γὰρ οἱ μέν, κατὰ γῆν· οἱ δέ, ναυσί· καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία· ἔπειτα διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι, ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους· καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινές που διασταῖεν πρὸς τούτους ἤδη ἐχώρουν· ὥστε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πόλεμον· τὰ μέν, σπενδόμενοι, τὰ δέ, πολεμοῦντες, ἢ ἀλλήλοις ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταμένοις, εὖ παρεσκευάσαντο τὰ πολέμια· καὶ ἐμπειρότεροι ἐγένοντο μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι· καὶ οἱ μὲν Λακεδαιμόνιοι οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους, ἡγοῦντο· κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσουσι θεραπεύοντες· Ἀθηναῖοι δὲ ναῦς τε τῶν πόλεων τῷ

χρόνῳ παραλαβόντες πλὴν χίων καὶ λεσβίων, καὶ χρήματα τοῖς πᾶ-
τάξαντες φέρειν. καὶ ἐγένετο αὐτοῖς ἐς τόνδε τὸν πόλεμον
ἡ ἰδία παρασκευὴ μείζων ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραι-
φνοῦς τῆς ξυμμαχίας ἤνθησαν. Τὰ μὲν οὖν παλαιὰ τοιαῦτα ηὗρον,
χαλεπὰ ὄντα παντὶ ἑξῆς τεκμηρίῳ πιστεῦσαι· οἱ γὰρ ἄνθρωποι τὰς ἀ-
κοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοί-
ως ἀβασανίστως παρ' ἀλλήλων δέχονται. ἀθηναίων γοῦν τὸ πλῆθος
ἵππαρχον οἴονται ὑφ' ἁρμοδίου καὶ ἀριστογείτονος τύραννον ὄντα
ἀποθανεῖν· καὶ οὐκ ἴσασιν ὅτι ἱππίας μὲν πρεσβύτατος ὢν ἦρχε
τῶν πεισιστράτου υἱέων· ἵππαρχος δὲ καὶ θεσσαλὸς ἀδελφοὶ
ἦσαν αὐτοῦ· ὑποτοπήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα
ἁρμόδιος καὶ ἀριστογείτων ἐκ τῶν ξυνειδότων σφίσιν ἱππίαν με-
μηνῦσθαι, τοῦ μὲν ἀπέσχοντο ὡς προειδότος· βουλόμενοι
δὲ πρὶν ξυλληφθῆναι δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ ἱπ-
πάρχῳ περιτυχόντες περὶ τὸ λεωκόρειον καλούμενον τὴν πανα-
θηναϊκὴν πομπὴν διακοσμοῦντι ἀπέκτειναν. πολλὰ δὲ καὶ
ἄλλα ἔτι καὶ νῦν ὄντα καὶ οὐ χρόνῳ ἀμνηστούμενα, καὶ οἱ ἄλλοι
ἕλληνες οὐκ ὀρθῶς οἴονται· ὥσπερ τούς τε λακεδαιμονίων βασιλέ-
ας μὴ μιᾷ ψήφῳ προστίθεσθαι ἑκάτερον, ἀλλὰ δυοῖν· καὶ τὸν
πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε. οὕτως ἀ-
ταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας· καὶ ἐπὶ τὰ
ἑτοῖμα μᾶλλον τρέπονται· ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων ὅμως
τοιαῦτα ἄν τις νομίζων, μάλιστα ἃ διῆλθον, οὐχ ἁμαρτάνοι·
καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν ἐπὶ τὸ μεῖζον κοσ-
μοῦντες μᾶλλον πιστεύων· οὔτε ὡς λογογράφοι ξυνέθεσαν
ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον· ὄντα ἀνε-
ξέλεγκτα καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ
μυθῶδες ἐκνενικηκότα· ηὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν
ἐπιφανεστάτων σημείων, ὡς παλαιὰ εἶναι ἀποχρώντως. καὶ ὁ

πόλεμος ᾖρχε· καὶ περ τῶν ἀνθρώπων ἐν ᾧ μὲν ἂν πολεμῶσι· τὸν πα-
ρόντα ἀεὶ μέγιστον κρινόντων· παυσαμένων δὲ τὰ ἀρχαῖα μᾶλλον,
θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι, δηλώσει ὅμως μεί-
ζων γεγενημένος αὐτῶν· καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες
πολεμήσειν ἢ ἐν αὐτῷ ἤδη ὄντες· χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν
λεχθέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ
τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν μοι ἕ-
καστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ
ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων,
οὕτως εἴρηται· τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ, οὐκ ἐκ τοῦ
παρατυχόντος, πυνθανόμενος ἠξίωσα γράφειν· οὐδ' ὡς ἐμοὶ
ἐδόκει· ἀλλ' οἷς τε αὐτὸς παρῆν· καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν
ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών· ἐπιπόνως δὲ ηὑρίσκετο δι-
ότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις, οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλε-
γον· ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας ἔχοι· καὶ ἐς μὲν ἀκρόασιν ἴσως ἢ μνήμης
τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βου-
λήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων
ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπινον, τοιούτων καὶ παραπλησίων ἔσεσθαι,
ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει· κτῆμά τε ἐς ἀεὶ μᾶλλον
ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται· τῶν δὲ πρότερον
ἔργων μέγιστον ἐπράχθη τὸ μηδικόν· καὶ τοῦτο ὅμως δυοῖν
ναυμαχίαιν καὶ πεζομαχίαιν ταχεῖαν τὴν κρίσιν ἔσχε· τού-
του δὲ τοῦ πολέμου, μῆκός τε μέγα προύβη· παθήματά τε ξυν-
ηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ ἑλλάδι· οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ·
οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μέν, ὑπὸ
βαρβάρων, αἱ δέ, ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων· εἰσὶ δ'
αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι· οὔτε φυγαὶ τοσαίδε
ἀνθρώπων καὶ φόνος, ὁ μὲν κατ' αὐτὸν τὸν πόλεμον ὁ δέ, διὰ τὸ
στασιάζειν· τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ

σπανιώτερον βεβαιούμενα, οὐκ ἄπιστα κατέστη· σεισμῶν τε
πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ
ἐπέσχον· ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν
χρόνου μνημονευόμενα ξυνέβησαν· αὐχμοί τε ἔστι παρ' οἷς
μεγάλοι· καὶ ἀπ' αὐτῶν καὶ λιμοί· καὶ ἡ οὐχ ἥκιστα βλάψασα καὶ μέρος
τι φθείρασα, ἡ λοιμώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε
τοῦ πολέμου ἅμα ξυνεπέθετο· ἤρξαντο γὰρ αὐτοῦ ἀθηναῖοι
καὶ πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδάς· αἳ
αὐτοῖς ἐγένοντο μετὰ εὐβοίας ἅλωσιν· διότι δ' ἔλυσαν, τὰς αἰ-
τίας προὔγραψα πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα
ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς ἕλλησι κατέ-
στη· τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ, τοὺς
ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους καὶ φόβον πα-
ρέχοντας τοῖς λακεδαιμονίοις, ἀναγκάσαι ἐς τὸ πολεμεῖν·
αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι, αἵδ' ἦσαν ἑκατέρων·
ἀφ' ὧν λύσαντες τὰς σπονδάς, ἐς τὸν πόλεμον κατέστησαν·
ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν ἰόνιον κόλ-
πον· προσοικοῦσι δ' αὐτὴν ταυλάντιοι βάρβαροι ἰλλυρικὸν ἔθνος·
ταύτην ἀπῴκισαν μὲν κερκυραῖοι· οἰκιστὴς δ' ἐγένετο φαλίος
ἐρατοκλείδου κορίνθιος γένος τῶν ἀφ' ἡρακλέους· κατὰ δὴ τὸν
παλαιὸν νόμον, ἐκ τῆς πόλεως κατακληθείς· ξυνῴκισαν δὲ καὶ
κορινθίων τινὲς καὶ τοῦ ἄλλου δωρικοῦ γένους· προελθόντος δὲ
τοῦ χρόνου, ἐγένετο ἡ τῶν ἐπιδαμνίων πόλις, μεγάλη καὶ
πολυάνθρωπος· στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλά, ὡς λέγεται
ἀπὸ πολέμου τινὸς τῶν προσοίκων βαρβάρων, ἐφθάρησαν
καὶ τῆς δυνάμεως τῆς πολλῆς ἐστερήθησαν· τὰ δὲ τελευταῖα
πρὸ τοῦδε τοῦ πολέμου ὁ δῆμος αὐτῶν, ἐξεδίωξε τοὺς δυ-
νατούς· οἱ δὲ ἀπελθόντες μετὰ τῶν βαρβάρων, ἐλῄζοντο
τοὺς ἐν τῇ πόλει· κατά τε γῆν καὶ κατὰ θάλασσαν· οἱ δὲ ἐν τῇ

πολεμοῦντες ἐπιδάμνιοι, ἐπειδὴ ἐπιέζοντο, πέμπουσιν ἐς κέρ-
κυραν πρέσβεις ὡς μητρόπολιν οὖσαν· δεόμενοι μὴ σφᾶς πε-
ριορᾶν φθειρομένους· ἀλλὰ τούς τε φεύγοντας ξυναλλάξαι σφίσι
καὶ τὸν τῶν βαρβάρων πόλεμον καταλῦσαι· ταῦτα δὲ ἱκέται κα-
θεζόμενοι ἐς τὸ ἥραιον ἐδέοντο· οἱ δὲ κερκυραῖοι τὴν ἱκετεί-
αν οὐκ ἐδέξαντο· ἀλλ' ἀπράκτους ἀπέπεμψαν· γνόντες δὲ οἱ ἐπι-
δάμνιοι οὐδεμίαν σφίσι τιμωρίαν ἀπὸ κερκύρας οὖσαν, ἐν
ἀπόρῳ εἴχοντο θέσθαι τὸ παρόν· καὶ πέμψαντες ἐς δελφοὺς
τὸν θεὸν ἐπήροντο, εἰ παραδοῖεν κορινθίοις τὴν πόλιν ὡς οἰκι-
σταῖς. καὶ τιμωρίαν τινὰ πειρῷντο ἀπ' αὐτῶν ποιεῖσθαι; ὁ δ' αὐ-
τοῖς ἀνεῖλε παραδοῦναι· καὶ ἡγεμόνας ποιεῖσθαι· ἐλθόντες δ'
οἱ ἐπιδάμνιοι ἐς τὴν κόρινθον κατὰ τὸ μαντεῖον, παρέδοσαν
τὴν ἀποικίαν· τόν τε οἰκιστὴν ἀποδεικνύντες σφῶν ἐκ κορίνθου
ὄντα· καὶ τὸ χρηστήριον δηλοῦντες, ἐδέοντό τε μὴ σφᾶς πε-
ριορᾶν φθειρομένους· ἀλλ' ἐπαμῦναι· κορίνθιοι δὲ κατά τε τὸ
δίκαιον ἐδέξαντο τὴν τιμωρίαν, νομίζοντες οὐχ ἧσσον ἑαυτῶν
εἶναι τὴν ἀποικίαν ἢ κερκυραίων· ἅμα δὲ καὶ μίσει τῶν κερκυραίων
ὅτι αὐτῶν παρημέλουν ὄντες ἄποικοι· οὔτε γὰρ ἐν πανηγύρεσι
ταῖς κοιναῖς διδόντες γέρα τὰ νομιζόμενα, οὔτε κορινθίῳ
ἀνδρὶ προκαταρχόμενοι τῶν ἱερῶν ὥσπερ αἱ ἄλλαι ἀποικίαι.
περιφρονοῦντες δὲ αὐτούς, καὶ χρημάτων δυνάμει ὄντες
κατ' ἐκεῖνον τὸν χρόνον ὅμοια τοῖς ἑλλήνων πλουσιωτάτοις,
καὶ τῇ ἐς πόλεμον παρασκευῇ δυνατώτεροι, ναυτικῷ δὲ καὶ
πολὺ προύχειν ἔστιν ὅτε ἐπαιρόμενοι, καὶ κατὰ τὴν τῶν
φαιάκων προενοίκησιν τῆς κερκύρας, κλέος ἐχόντων τὰ
περὶ τὰς ναῦς· ᾗ καὶ μᾶλλον ἐξηρτύοντο τὸ ναυτικόν, καὶ ἦσαν
οὐκ ἀδύνατοι· τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον αὐτοῖς
ὅτε ἤρχοντο πολεμεῖν· πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες
οἱ κορίνθιοι, ἔπεμπον ἐς τὴν ἐπίδαμνον ἄσμενοι τὴν ὠφελίαν·

οἰκήτορα τὸν βουλόμενον ἰέναι κελεύοντες· καὶ ἀμπρακιωτῶν
καὶ λευκαδίων καὶ ἑαυτῶν φρουρούς. ἐπορεύθησαν δὲ πεζοὶ
ἐς ἀπολλωνίαν, κορινθίων οὖσαν ἀποικίαν. δέει τῶν κερκυ-
ραίων μὴ κωλύωνται ὑπ' αὐτῶν κατὰ θάλασσαν περαιούμενοι.
κερκυραῖοι δὲ ἐπειδὴ ᾔσθοντο τούς τε φρουροὺς καὶ οἰκήτορας
ἥκοντας ἐς τὴν ἐπίδαμνον, τήν τε ἀποικίαν κορινθίοις δε-
δομένην, ἐχαλέπαινον· καὶ πλεύσαντες εὐθὺς πέντε καὶ
εἴκοσι ναυσὶ καὶ ὕστερον ἑτέρῳ στόλῳ, τούς τε φεύγοντας ἐκέ-
λευον κατ' ἐπήρειαν δέχεσθαι αὐτούς· ἦλθον γὰρ ἐς τὴν κέρκυ-
ραν οἱ τῶν ἐπιδαμνίων φυγάδες· τάφους τε ἀποδεικνύντες
καὶ ξυγγένειαν· ἣν προϊσχόμενοι, ἐδέοντό τε σφᾶς κατάγειν.
τούς τε φρουροὺς οὓς κορίνθιοι ἔπεμψαν, καὶ τοὺς οἰκήτορας
ἀποπέμπειν. οἱ δὲ ἐπιδάμνιοι οὐδὲν αὐτῶν ὑπήκουσαν. ἀλλὰ
στρατεύουσιν ἐπ' αὐτοὺς οἱ κερκυραῖοι τεσσαράκοντα ναυσὶ μετὰ
τῶν φυγάδων ὡς κατάξοντες· καὶ τοὺς ἰλλυριοὺς προσλαβόν-
τες. προσκαθεζόμενοι δὲ τὴν πόλιν, προεῖπον, ἐπιδαμνίων
τε τὸν βουλόμενον καὶ τοὺς ξένους ἀπαθεῖς ἀπιέναι· εἰ δὲ μή,
ὡς πολεμίοις χρήσεσθαι. ὡς δ' οὐκ ἐπείθοντο, οἱ μὲν κερκυ-
ραῖοι, ἔστι δὲ ἰσθμὸς τὸ χωρίον, ἐπολιόρκουν τὴν πόλιν. κορίν-
θιοι δὲ ὡς αὐτοῖς ἐκ τῆς ἐπιδάμνου ἦλθον ἄγγελοι ὅτι πολιορ-
κοῦνται. παρεσκευάζοντο στρατείαν· καὶ ἅμα ἀποικίαν ἐς τὴν ἐπί-
δαμνον ἐκήρυσσον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βουλόμενον ἰέναι·
εἰ δέ τις τὸ παραυτίκα μὲν μὴ ἐθέλει ξυμπλεῖν, μετέχειν δὲ
βούλεται τῆς ἀποικίας, πεντήκοντα δραχμὰς καταθέντα κοριν-
θίας, μένειν. ἦσαν δὲ καὶ οἱ πλέοντες πολλοὶ καὶ οἱ τἀρ-
γύριον καταβάλλοντες. ἐδεήθησαν δὲ καὶ τῶν μεγαρέων
ναυσὶ σφᾶς ξυμπροπέμψαι· εἴ ἄρα κωλύοιντο ὑπὸ κερκυ-
ραίων πλεῖν. οἱ δὲ, παρεσκευάζοντο αὐτοῖς ὀκτὼ ναυσὶ ξυμ-
πλεῖν· καὶ πάλης κεφαλλήνων τέσσαρσι· καὶ ἐπιδαυρίων

ἐδεήθησαν· οἳ παρέσχον πέντε· ἑρμιονῆς δὲ μίαν· καὶ τροιζή-
νιοι δύο· λευκάδιοι δὲ δέκα· καὶ ἀμπρακιῶται ὀκτώ· θη-
βαίους δὲ χρήματα ᾔτησαν καὶ φλιασίους· ἠλείους δὲ ναῦς
τε κενὰς καὶ χρήματα· αὐτῶν δὲ κορινθίων νῆες παρεσκευ-
άζοντο τριάκοντα· καὶ τρισχίλιοι ὁπλῖται· ἐπειδὴ δὲ ἐπύ-
θοντο οἱ κερκυραῖοι, τὴν παρασκευήν, ἐλθόντες ἐς κόρινθον,
μετὰ λακεδαιμονίων καὶ σικυωνίων πρέσβεων οὓς παρέλα-
βον, ἐκέλευον κορινθίους τοὺς ἐν ἐπιδάμνῳ φρουρούς τε καὶ οἰ-
κήτορας ἀπάγειν· ὡς οὐ μετὸν αὐτοῖς ἐπιδάμνου· εἰ δέ τι ἀντι-
ποιοῦνται· δίκας ἤθελον δοῦναι ἐν πελοποννήσῳ παρὰ πόλεσιν
αἷς ἂν ξυμβῶσιν· ὁποτέρων δ' ἂν δικασθῇ εἶναι τὴν ἀποικί- ἀμφότεροι
τούτους κρατεῖν· ἤθελον δὲ καὶ τῷ ἐν δελφοῖς μαντείῳ ἐπιτρέ-
ψαι· πόλεμον δὲ οὐκ εἴων ποιεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἀναγκα-
σθήσεσθαι ἔφασαν ἐκείνων βιαζομένων φίλους ποιεῖσθαι,
οὓς οὐ βούλονται, ἑτέρους τῶν νῦν ὄντων μᾶλλον ὠφελίας ἕνε-
κα· οἱ δὲ κορίνθιοι ἀπεκρίναντο αὐτοῖς· ἢν τάς τε ναῦς καὶ τοὺς
βαρβάρους ἀπὸ ἐπιδάμνου ἀπαγάγωσι, βουλεύσασθαι· πρό-
τερον δὲ οὐ καλῶς ἔχειν τοὺς μὲν πολιορκεῖσθαι· αὐτοὺς δὲ
δικάζεσθαι· κερκυραῖοι δὲ ἀντέλεγον, ἢν καὶ ἐκεῖνοι τοὺς
ἐν ἐπιδάμνῳ ἀπαγάγωσι, ποιήσειν ταῦτα· ἑτοῖμοι δὲ εἶναι
καὶ ὥστε ἀμφοτέρους μένειν κατὰ χώραν· σπονδὰς δὲ ποι-
ήσασθαι ἕως ἂν ἡ δίκη γένηται· κορίνθιοι δὲ οὐδὲν τούτων
ὑπήκουον· ἀλλ' ἐπειδὴ πλήρεις αὐτοῖς ἦσαν αἱ νῆες καὶ οἱ
ξύμμαχοι παρῆσαν, προπέμψαντες κήρυκα πρότερον πό-
λεμον προεροῦντα κερκυραίοις, ἄραντες ἑβδομήκοντα
ναυσὶ καὶ πέντε, δισχιλίοις τε ὁπλίταις, ἔπλεον ἐπὶ τὴν ἐπί-
δαμνον, κερκυραίοις ἐναντία πολεμήσοντες· ἐστρατήγει δὲ
τῶν μὲν νεῶν ἀριστεὺς ὁ πελλίχου· καὶ καλλικράτης ὁ καλ-
λίου· καὶ τιμάνωρ ὁ τιμάνθους· τοῦ δὲ πεζοῦ, ἀρχέτιμός τε

ὁ εὐρυτίμου· καὶ ἰσαρχίδας ὁ ἰσάρχου· ἐπειδὴ δὲ ἐγένοντο ἐν
ἀκτίῳ τῆς ἀνακτορίας γῆς, οὗ τὸ ἱερὸν τοῦ ἀπόλλωνός ἐστιν
ἐπὶ τῷ στόματι τοῦ ἀμπρακικοῦ κόλπου, οἱ κερκυραῖοι κή-
ρυκά τε προύπεμψαν αὐτοῖς ἐν ἀκατίῳ ἀπεροῦντα μὴ πλεῖν
ἐπὶ σφᾶς· καὶ τὰς ναῦς ἅμα ἐπλήρουν· ζεύξαντές τε τὰς
παλαιὰς ὥστε πλοΐμους εἶναι· καὶ τὰς ἄλλας ἐπισκευάσαντες.
ὡς δὲ ὁ κῆρυξ τε ἀπήγγειλεν οὐδὲν εἰρηναῖον παρὰ τῶν κορίν-
θίων, καὶ αἱ νῆες αὐτοῖς ἐπεπλήρουντο, οὖσαι ὀγδοήκοντα·
τεσσαράκοντα γὰρ ἐπίδαμνον ἐπολιόρκουν, ἀνταναγαγόμε-
νοι καὶ παραταξάμενοι, ἐναυμάχησαν· καὶ ἐνίκησαν οἱ κερ-
κυραῖοι παρὰ πολύ· καὶ ναῦς πέντε καὶ δέκα διέφθειραν.
τῶν κορινθίων· τῇ δὲ αὐτῇ ἡμέρᾳ αὐτοῖς ξυνέβη καὶ τοὺς τὴν
ἐπίδαμνον πολιορκοῦντας παραστήσασθαι ὁμολογίᾳ, ὥστε τοὺς
μὲν ἐπήλυδας ἀποδόσθαι· κορινθίους δὲ δήσαντας ἔχειν, ἕως
ἂν ἄλλο τι δόξοι· μετὰ δὲ τὴν ναυμαχίαν οἱ κερκυραῖοι τρο-
παῖον στήσαντες, ἐπὶ τῇ λευκίμμῃ τῆς κερκυραίας ἀκρωτηρίῳ,
τοὺς μὲν ἄλλους οὓς ἔλαβον αἰχμαλώτους, ἀπέκτειναν· κορίν-
θίους δὲ δήσαντες εἶχον· ὕστερον δὲ ἐπειδὴ οἱ κορίνθιοι καὶ οἱ
ξύμμαχοι ἡσσημένοι ταῖς ναυσὶν ἀνεχώρησαν ἐπ᾽ οἴκου, τῆς
θαλάσσης ἁπάσης ἐκράτουν τῆς κατ᾽ ἐκεῖνα τὰ χωρία οἱ
κερκυραῖοι· καὶ πλεύσαντες ἐς λευκάδα τὴν κορινθίων,
ἀποικίαν, τῆς γῆς ἔτεμον· καὶ κυλλήνην τὸ ἠλείων ἐπίνειον
ἐνέπρησαν, ὅτι ναῦς καὶ χρήματα παρέσχον κορινθίοις·
τοῦ τε χρόνου τὸν πλεῖστον μετὰ τὴν ναυμαχίαν ἐπεκράτουν
τῆς θαλάσσης· καὶ τοὺς τῶν κορινθίων ξυμμάχους ἐπιπλέ-
οντες ἔφθειρον· μέχρις οὗ κορίνθιοι περιιόντι τῷ θέρει πέμ-
ψαντες ναῦς καὶ στρατιάν, ἐπεὶ σφῶν οἱ ξύμμαχοι ἐπό-
νουν, ἐστρατοπεδεύοντο ἐπὶ ἀκτίῳ καὶ περὶ τὸ χειμέριον
τῆς θεσπρωτίδος, φυλακῆς ἕνεκα τῆς λευκάδος καὶ τῶν

ἄλλων πόλεων ὅσαι σφίσι φίλιαι ἦσαν· ἀντεστρατοπεδεύοντο
δὲ καὶ οἱ κερκυραῖοι ἐπὶ τῇ λευκίμμῃ ναυσί τε καὶ πεζῷ·
ἐπέπλεόν τε οὐδέτεροι ἀλλήλοις· ἀλλὰ τὸ θέρος τοῦτο ἀντι-
καθεζόμενοι, χειμῶνος ἤδη ἀνεχώρησαν ἐπ' οἴκου ἑκάτεροι.
τὸν δὲ ἐνιαυτὸν πάντα τὸν μετὰ τὴν ναυμαχίαν καὶ τὸν ὕστε-
ρον οἱ κορίνθιοι ὀργῇ φέροντες τὸν πρὸς κερκυραίους πό-
λεμον, ἐναυπηγοῦντο καὶ παρεσκευάζοντο τὰ κράτιστα νεῶν
στόλον ἔκ τε αὐτῆς πελοποννήσου ἀγείροντες καὶ τῆς ἄλλης ἑλ-
λάδος ἐρέτας μισθῷ πείθοντες· πυνθανόμενοι δὲ οἱ κερκυ-
ραῖοι τὴν παρασκευὴν αὐτῶν, ἐφοβοῦντο· ἦσαν γὰρ οὐδενὸς
ἑλλήνων ἔνσπονδοι· οὐδὲ ἐσεγράψαντο ἑαυτοὺς οὔτε ἐς τὰς
ἀθηναίων σπονδάς, οὔτε ἐς τὰς λακεδαιμονίων· ἔδοξεν αὐ-
τοῖς ἐλθοῦσιν ὡς τοὺς ἀθηναίους ξυμμάχους γενέσθαι· καὶ ὠφε-
λίαν τινὰ πειρᾶσθαι ἀπ' αὐτῶν εὑρίσκεσθαι· οἱ δὲ κορίνθιοι
πυθόμενοι ταῦτα ἦλθον καὶ αὐτοὶ ἐς τὰς ἀθήνας πρεσβευσόμενοι·
ὅπως μὴ σφίσι πρὸς τῷ κερκυραίων ναυτικῷ καὶ τὸ ἀττικὸν
προσγενόμενον ἐμπόδιον γένηται θέσθαι τὸν πόλεμον ᾗ βούλονται.
καταστάσης δὲ ἐκκλησίας ἐς ἀντιλογίαν ἦλθον· καὶ οἱ μὲν κερ-
κυραῖοι ἔλεξαν τοιάδε·

## Δημηγορία κερκυραίων

Δίκαιον ὦ ἀθηναῖοι τοὺς μήτε εὐεργεσίας μεγάλης, μήτε ξυμμα-
χίας προοφειλομένης ἥκοντας παρὰ τοὺς πέλας ἐπικουρί-
ας ὥσπερ καὶ ἡμεῖς νῦν δεησομένους, ἀναδιδάξαι πρῶτον μά-
λιστα μὲν ὡς καὶ ξύμφορα δέονται· εἰ δὲ μή, ὅτι γε οὐκ ἐπιζή-
μια· ἔπειτα δὲ ὡς καὶ τὴν χάριν βέβαιον ἕξουσιν· εἰ δὲ τού-
των μηδὲν σαφὲς καταστήσουσι, μὴ ὀργίζεσθαι, ἢν ἀτυχῶσι· κερκυ-
ραῖοι δὲ μετὰ τῆς ξυμμαχίας τῆς αἰτήσεως, καὶ ταῦτα πιστεύοντες
ἐχυρὰ ὑμῖν παρέξεσθαι, ἀπέστειλαν ἡμᾶς· τετύχηκε δὲ τὸ
αὐτὸ ἐπιτήδευμα πρός τε ὑμᾶς ἐς τὴν χρείαν ἡμῖν ἄλογον,
καὶ ἐς τὰ ἡμέτερα αὐτῶν ἐν τῷ παρόντι ἀξύμφορον· ξύμμαχοί τε

καὶ ἅμα ἐς τὸν παρόντα πόλεμον κορινθίων ἔρημοι δι' αὐτὸ καθέσταμεν:

γὰρ οὐδενός πω ἐν τῷ πρὸ τοῦ ἑκούσιοι γενόμενοι, νῦν ἄλλων τοῦτο
δεησόμενοι ἥκομεν· καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον
σωφροσύνη, τὸ μὴ ἐν ἀλλοτρίᾳ ξυμμαχίᾳ τῇ τοῦ πέλας γνώ-
μῃ ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη· τὴν
μὲν οὖν γενομένην ναυμαχίαν αὐτοὶ κατὰ μόνας ἀπεωσάμεθα
κορινθίους· ἐπειδὴ δὲ μείζονι παρασκευῇ ἀπὸ πελοποννήσου
καὶ τῆς ἄλλης ἑλλάδος ἐφ' ἡμᾶς ὥρμηνται καὶ ἡμεῖς ἀδύνατοι
ὁρῶμεν ὄντες τῇ οἰκείᾳ μόνον δυνάμει περιγενέσθαι, καὶ ἅμα
μέγας ὁ κίνδυνος εἰ ἐσόμεθα ὑπ' αὐτοῖς, ἀνάγκη καὶ ὑμῶν καὶ
ἄλλου παντὸς ἐπικουρίας δεῖσθαι· καὶ ξυγγνώμη εἰ μὴ μετὰ
κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ τῇ πρότερον ἀπραγμοσύνῃ ἐναν-
τία τολμῶμεν. γενήσεται δὲ ὑμῖν πειθομένοις, καλὴ ἡ ξυντυχία
κατὰ πολλὰ τῆς ἡμετέρας χρείας· πρῶτον μὲν ὅτι ἀδικουμένοις
καὶ οὐχ ἑτέροις βλάπτουσι τὴν ἐπικουρίαν ποιήσεσθε· ἔπειτα
περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι ὡς ἂν μάλιστα μετ'
ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθήσεσθε· ναυτικόν τε κεκτή-
μεθα πλὴν τοῦ παρ' ὑμῖν πλεῖστον· καὶ σκέψασθε τίς εὐπρα-
ξία σπανιωτέρα, ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, εἰ ἣν
ὑμεῖς πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε δύνα-
μιν ὑμῖν προσγενέσθαι, αὕτη πάρεστιν αὐτεπάγγελτος·
ἄνευ κινδύνων καὶ δαπάνης διδοῦσα αὑτήν· καὶ προσέτι
φέρουσα ἐς μὲν τοὺς πολλοὺς ἀρετήν· οἷς δὲ ἐπαμυνεῖτε χάριν·
ὑμῖν δ' αὐτοῖς ἰσχύν· ἃ ἐν τῷ παντὶ χρόνῳ, ὀλίγοις δὴ ἅμα
πάντα ξυνέβη· καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι, οἷς ἐπικαλοῦν-
ται, ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ ληψόμενοι πα-
ραγίνονται. τὸν δὲ πόλεμον δι' ὅνπερ χρήσιμοι ἂν εἶμεν, εἴ τις
ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει· καὶ οὐκ αἰσθάνεται
τοὺς λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας· καὶ
τοὺς κορινθίους δυναμένους παρ' αὐτοῖς· καὶ ὑμῖν ἐχθρούς

ὄντας καὶ προκαταλαμβάνοντας ἡμᾶς νῦν δὲ τὴν ὑμετέραν
ἐπιχείρησιν· ἵνα μὴ τῷ κοινῷ ἔχθει κατ' αὐτοὺς μετ' ἀλλήλων στῶμεν·
μηδὲ δυοῖν φθάσωσιν ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς ἢ σφᾶς
αὐτοὺς βεβαιώσασθαι· ἡμέτερον δ' αὖ ἔργον προτερῆσαι, τῶν μὲν
διδόντων· ὑμῶν δὲ δεξαμένων τὴν ξυμμαχίαν· καὶ προεπιβουλεύειν
αὐτοῖς μᾶλλον ἢ ἀντεπιβουλεύειν· ἢν δὲ λέγωσιν ὡς
οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν
ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα τιμᾷ τὴν μητρόπολιν·
ἀδικουμένη δὲ ἀλλοτριοῦται· οὐ γὰρ ἐπὶ τῷ δούλῳ· ἀλλ' ἐπὶ τῷ
ὁμοῖοι τοῖς λειπομένοις εἶναι, ἐκπέμπονται· ὡς δὲ ἠδίκουν σαφές
ἐστι· προκληθέντες γὰρ περὶ ἐπιδάμνου ἐς κρίσιν
πολέμῳ μᾶλλον ἢ τῷ ἴσῳ τὰ ἐγκλήματα ἐβουλήθησαν μετελθεῖν·
καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν,
ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ' αὐτῶν· δεομένοις τε ἐκ τοῦ
εὐθέως μὴ ὑπουργεῖν· ὁ γὰρ ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι
τοῖς ἐναντίοις λαμβάνων, ἀσφαλέστατος ἂν διατελοίη·
λύσετε δὲ οὐδὲ τὰς λακεδαιμονίων σπονδὰς δεχόμενοι
ἡμᾶς οὐδετέρων ὄντας ξυμμάχους· εἴρηται γὰρ ἐν αὐταῖς
τῶν ἑλληνίδων πόλεων, ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ'
ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν· καὶ δεινὸν εἰ τοῖσδε μὲν ἀπό
τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς καὶ προσέτι καὶ ἐκ
τῆς ἄλλης ἑλλάδος καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπηκόων·
ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης ξυμμαχίας εἴρξουσι καὶ ἀπὸ τῆς
ἄλλοθέν ποθεν ὠφελείας· εἶτα ἐν ἀδικήματι θήσονται πεισθέντων
ὑμῶν ἃ δεόμεθα· πολὺ δὲ ἐν πλέονι αἰτίᾳ ἡμεῖς μὴ πείσαντες
ὑμᾶς ἕξομεν· ἡμᾶς μὲν γὰρ κινδυνεύοντας καὶ οὐκ ἐχθροὺς
ὄντας ἀπώσεσθε· τῶνδε δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν
ὄντων καὶ ἐπιόντων γενήσεσθε· ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας
ἀρχῆς δύναμιν προσλαβεῖν περιόψεσθε· ἣν οὐ δίκαιον· ἀλλ' ἢ

κἀκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν
πέμπειν καθ' ὅτι ἂν πεισθῆτε ὠφελίαν· μάλιστα δὲ ἀπὸ τοῦ προ-
φανοῦς δεξαμένους βοηθεῖν. πολλὰ δ' ὥσπερ ἐν ἀρχῇ ὑπείπο-
μεν τὰ ξυμφέροντα ἀποδείκνυμεν· καὶ μέγιστον ὅτι οἵ τε αὐτοὶ
πολέμιοι ἡμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις, καὶ οὗτοι οὐκ ἀσθε-
νεῖς· ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι· καὶ ναυτικῆς καὶ
οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας διδομένης, οὐχ ὁμοία ἡ ἀλλοτρι-
ωσις· ἀλλὰ μάλιστα μὲν εἰ δύνασθαι, μηδένα ἄλλον ἐᾶν κεκτῆ-
σθαι ναῦς· εἰ δὲ μή, ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν· καὶ
ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ μὴ δι'
αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ
ἰσχὺν ἔχον τοὺς ἐναντίους μᾶλλον φοβῆσον· τὸ δὲ θαρσοῦν μὴ
δεξαμένου, ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέ-
στερον ἐσόμενον· καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον, ἢ καὶ
τῶν Ἀθηνῶν βουλευόμενος, καὶ οὐ τὰ κράτιστα αὐταῖς προνο-
ῶν, ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον, τὸ
αὐτίκα περισκοπῶν ἐνδοιάζῃ, χωρίον προσλαβεῖν ὃ μετὰ
μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται· τῆς τε γὰρ Ἰταλίας
καὶ Σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυ-
τικὸν Πελοποννησίοις ἐπελθεῖν, τό τε ἐνθένδε πρὸς τἀκεῖ πα-
ραπέμψαι, καὶ ἐς τἆλλα ξυμφορώτατόν ἐστι· βραχυτάτῳ δ' ἂν κε-
φαλαίῳ, τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον τῷδε ἂν μὴ προέσθαι
ἡμᾶς μάθοιτε· τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά,
τὸ παρ' ὑμῖν καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων· τούτων δ' εἰ πε-
ριόψεσθε τὰ δύο ἐς ταὐτὸν ἐλθεῖν, καὶ Κορίνθιοι ἡμᾶς προ-
καταλήψονται, Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυ-
μαχήσετε· δεξάμενοι δὲ ἡμᾶς ἕξετε πρὸς αὐτοὺς πλείοσι
ναυσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι. τοιαῦτα μὲν οἱ Κερκυ-
ραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς, τοιάδε:

## Δημηγορία Κορινθίων

Ἀναγκαῖον κερκυραίων τῶνδε οὐ περὶ τοῦ δέξασθαι μόνον σφᾶς τὸν
λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν, καὶ αὐτοὶ οὐκ
εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφο-
τέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι· ἵνα τὴν ἀφ' ἡμῶν τε
ἀξίωσιν ἀσφαλέστερον προειδῆτε· καὶ τὴν τῶνδε χρείαν μὴ
ἀλογίστως ἀπώσησθε· φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον μη-
δενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπε-
τήδευσαν· ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τὰ ἀδικήματα
οὐδὲ μάρτυρα ἔχειν· οὔτε παρακαλοῦντες αἰσχύνεσθαι· καὶ ἡ
πόλις αὐτῶν ἅμα αὐτάρκη θέσιν κειμένη παρέχει αὐτοὺς δικα-
στὰς ὧν βλάπτουσί τινα μᾶλλον ἢ κατὰ ξυνθήκας γίνεσθαι· διὰ
τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας, μάλιστα τοὺς ἄλλους ἀνάγ-
κη καταίροντας δέχεσθαι· καὶ τοῦτο τὸ εὐπρεπὲς ἄσπονδον· οὐχ
ἵνα μὴ ξυναδικῶσιν ἑτέροις προβέβληνται· ἀλλ' ὅπως ἀδικῶ-
σι κατὰ μόνας· καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι βιάζωνται· οὗ δ' ἂν
λάθωσι πλέον ἔχωσιν· ἢν δέ πού τι προσλάβωσιν, ἀναισχυντῶ-
σι· καίτοι εἰ ἦσαν ἄνδρες ὥσπερ φασὶν ἀγαθοί, ὅσῳ ἀληπτότεροι ἦ-
σαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν
διδοῦσι καὶ λαμβάνουσι τὰ δίκαια δεικνύναι· ἀλλ' οὔτε πρὸς τοὺς
ἄλλους, οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν· ἄποικοι δὲ ὄντες ἀφεστᾶσί τε
διὰ παντός· καὶ νῦν πολεμοῦσι λέγοντες, ὡς οὐκ ἐπὶ τῷ κακῶς
πάσχειν ἐκπεμφθεῖεν· ἡμεῖς δὲ οὐδ' αὐτοί φαμεν ἐπὶ
τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι· ἀλλ' ἐπὶ τῷ ἡγεμόνες
τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι· αἱ γοῦν ἄλλαι ἀποικίαι
τιμῶσιν ἡμᾶς· καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα· καὶ
δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις
οὐκ ὀρθῶς ἀπαρέσκοιμεν· οὐδ' ἐπιστρατεύομεν ἐκπρεπῶς
μὴ καὶ διαφερόντως τι ἀδικούμενοι· καλὸν δ' ἦν εἰ καὶ ἡ-
μαρτάνομεν, τοῖσδε μὲν εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ· ἡμῖν δὲ αἰσ-

χρὸν

βιάσασθαι τὴν τούτων μετριότητα· ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου πολ-
λὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι· καὶ ἐπίδαμνον ἡμετέραν οὖσαν,
κακουμένην μὲν οὐ προσεποιοῦντο. ἐλθόντων δὲ ἡμῶν ἐπὶ τιμω-
ρίᾳ, ἑλόντες βίᾳ ἔχουσι· καὶ φασὶ δὴ δίκῃ πρότερον ἐθελῆσαι κρί-
νεσθαι· ἥν γε οὐ τὸν προύχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον
λέγειν τι δοκεῖν· ἀλλὰ τὸν ἐς ἴσον τά τε ἔργα ὁμοίως καὶ τοὺς
λόγους πρὶν διαγωνίζεσθαι καθιστάντα· οὗτοι δ' οὐ πρὶν πολιορ-
κεῖν τὸ χωρίον· ἀλλ' ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ περιόψεσθαι, τότε καὶ
τὸ εὐπρεπὲς τῆς δίκης παρέσχοντο· καὶ δεῦρο ἥκουσιν οὐ τἀκεῖ
μόνον αὐτοὶ ἁμαρτόντες· ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ ξυμ-
μαχεῖν ἀλλὰ ξυναδικεῖν· καὶ διαφόρους ὄντας ἡμῖν δέχεσθαι σφᾶς·
οὓς χρῆν ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι· καὶ μὴ ἐν ᾧ ἡμεῖς
μὲν ἠδικήμεθα οὗτοι δὲ κινδυνεύουσι· μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε
δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες, τῆς ὠφελίας νῦν μεταδώσετε·
καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι, τῆς ἀφ' ἡμῶν αἰ-
τίας τὸ ἴσον ἕξετε· πάλαι δὲ κοινώσαντας τὴν δύναμιν, κοινὰ
καὶ τὰ ἀποβαίνοντα ἔχειν· ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων

ὅτι ἐγκλημάτων δεῖ μὴ
ἀμετόχους οὕτω τῶν
μετὰ ταῖς πράξεσι τῶν
τῶν μὴ κοινωνησάντων·

ἐγκλημάτων ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσί,
δεδήλωται· ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε, μαθεῖν χρή· εἰ γὰρ
εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων
πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη
ἐστίν, ἀλλ' ὅστις μὴ ἄλλου αὑτὸν ἀποστερῶν ἀσφαλείας δεῖται· καὶ
ὅστις μὴ τοῖς δεξαμένοις εἰ σωφρονοῦσι πόλεμον ἀντὶ εἰρήνης
ποιήσει· ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πάθοιτ' ἄν· οὐ γὰρ τοῖσδε
μόνον ἐπίκουροι ἂν γένοισθε· ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων
πολέμιοι· ἀνάγκη γάρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ
ἄνευ ὑμῶν τούτους· καίτοι δίκαιοί γ' ἐστὲ ἐκποδὼν στῆναι ἀμ-
φοτέροις· εἰ δὲ μή, τοὐναντίον ἐπὶ τούτους μεθ' ἡμῶν ἰέναι· Κοριν-
θίοις μέν γε ἔνσπονδοί ἐστε· Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς·

πώποτ' ἐγένεσθε· καὶ τὸν νόμον μὴ καθιστάναι, ὥστε τοὺς ἑτέρων
ἀφισταμένους δέχεσθαι. οὐδὲ γὰρ ἡμεῖς σαμίων ἀποστάντων,
ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων πελοποννησίων,
δίχα ἐψηφισμένων, εἰ χρὴ αὐτοῖς ἀμύνειν. φανερῶς δὲ ἀντεί-
πομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. εἰ γὰρ
τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν
ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι. καὶ τὸν νόμον ἐφ' ὑμῖν
αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε. δικαιώματα μὲν οὖν τάδε
πρὸς ὑμᾶς ἔχομεν, ἱκανὰ κατὰ τοὺς ἑλλήνων νόμους. παραί-
νεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες
ὥστε βλάπτειν, οὐδ' αὖ φίλοι ὥστ' ἐπιχρῆσθαι, ἀντιδοθῆναι
ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι. νεῶν γὰρ μακρῶν σπανίσαν-
τές ποτε πρὸς τὸν αἰγινητῶν ὑπὲρ τὰ μηδικὰ πόλεμον, παρὰ
κορινθίων εἴκοσι ναῦς ἐλάβετε. καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς
σαμίους, τὸ δι' ἡμᾶς πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, πα-
ρέσχεν ὑμῖν αἰγινητῶν μὲν ἐπικράτησιν, σαμίων δὲ κόλασιν.
καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο, οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς
τοὺς σφετέρους ἰόντες, τῶν ἁπάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ
νικᾶν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον
ἐχθρὸς ᾖ. πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος
ὤν. ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φιλονεικίας ἕνεκα τῆς
αὐτίκα. ὧν ἐνθυμηθέντες καὶ νεώτερός τις παρὰ πρεσβυ-
τέρου, αὐτὰ μαθών, ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι.
καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι, ξύμφορα δέ, εἰ πο-
λεμήσει, ἄλλα εἶναι. τό τε γὰρ ξυμφέρον ἐν ᾧ ἄν τις ἐλάχιστα ἁμαρ-
τάνοι, μάλιστα ἕπεται. καὶ τὸ μέλλον τοῦ πολέμου ᾧ φοβοῦντες
ὑμᾶς κορκυραῖοι κελεύουσιν ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι
κεῖται. καὶ οὐκ ἄξιον ἐπαρθέντας αὐτῷ, φανερὰν ἔχθραν
ἤδη καὶ οὐ μέλλουσαν, πρὸς κορινθίους κτήσασθαι. τῆς δὲ

ὑπαρχούσης πρότερον διὰ μεγαρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον· ἡ γὰρ τελευταία χάρις καιρὸν ἔχουσα κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι· μὴ δ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε· τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρωτέρα δύναμις, ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας τὸ πλέον διὰ κινδύνων ἔχειν· ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ λακεδαίμονι αὐτοὶ προείπομεν τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι· καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας, τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι· τὸ δ' ἴσον ἀνταπόδοτε· γνόντες τοῦτον ἐκεῖνον καιρὸν εἶναι, ἐν ᾧ ὅ τε ὑπουργῶν φίλος μάλιστα καὶ ὁ ἀντιστὰς ἐχθρός· καὶ κερκυραίους τούσδε μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν, μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσι· καὶ τάδε ποιοῦντες τὰ προσήκοντα δράσετε· καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν αὐτοῖς:

Τοιαῦτα δὲ οἱ κορίνθιοι εἶπον· ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν κορινθίων ἀπεδέξαντο τοὺς λόγους· ἐν δὲ τῇ ὑστεραίᾳ, μετέγνωσαν κερκυραίοις ξυμμαχίαν ποιήσασθαι· ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν· εἰ γὰρ ἐπὶ κόρινθον ἐκέλευον σφίσιν οἱ κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς πελοποννησίους σπονδαί· ἐπιμαχίαν δὲ ἐποιήσαντο τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ κέρκυραν ἴῃ, ἢ ἀθήνας, ἢ τοὺς τούτων ξυμμάχους· ἐδόκει γὰρ ὁ πρὸς πελοποννησίους πόλεμος, καὶ ὣς ἔσεσθαι αὐτοῖς· καὶ τὴν κέρκυραν ἐβούλοντο μὴ προέσθαι κορινθίοις ναυτικὸν ἔχουσαν τοσοῦτον· ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἤν τι δέῃ, κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν ἐς πόλεμον καθιστῶνται· ἅμα δὲ τῆς τε ἰταλίας καὶ σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι· Τοιαύτῃ μὲν γνώμῃ οἱ ἀθηναῖοι τοὺς κερκυραίους

προσδέξαιντο. καὶ τῶν Κορινθίων ἀπελθόντων, οὐ πολὺ ὕστερον
δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς· ἐστρατήγει δὲ αὐτῶν Λα-
κεδαιμόνιός τε ὁ Κίμωνος καὶ Διότιμος ὁ Στρομβίχου καὶ
Πρωτέας ὁ Ἐπικλέους. προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κο-
ρινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀπο-
βαίνειν, ἢ ἐς τῶν ἐκείνων τι χωρίων· οὕτω δὲ κωλύειν κατὰ
δύναμιν. προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς.
αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν. οἱ δὲ Κορίνθιοι
ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυ-
σὶ πεντήκοντα καὶ ἑκατόν. ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγα-
ρέων δὲ δώδεκα, καὶ Λευκαδίων δέκα. Ἀμπρακιωτῶν δὲ
ἑπτὰ καὶ εἴκοσι καὶ Ἀνακτορίων μία. αὐτῶν δὲ Κορινθίων
ἐνενήκοντα. στρατηγοὶ δὲ τούτων ἦσαν μὲν κατὰ πόλεις ἑκά-
στων. Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους πέμπτος αὐτός.
ἐπεὶ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ ἀπὸ Λευκάδος
πλέοντες, ὁρμίζονται ἐς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. ἔστι
λιμήν· καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἀπὸ θαλάσσης ἐν τῇ Ἐλαι-
άτιδι τῆς Θεσπρωτίδος Ἐφύρη. ἔξεισι δὲ παρ' αὐτὴν Ἀχερουσία
λίμνη ἐς θάλασσαν. διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς
ῥέων ἐσβάλλει ἐς αὐτήν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. ῥεῖ δὲ
καὶ Θύαμις ποταμὸς ὁρίζων τὴν Θεσπρωτίδα, καὶ Κεστρίνην· ὧν
ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπεί-
ρου ἐνταῦθα ὁρμίζονταί τε καὶ στρατόπεδον ἐποιήσαντο. οἱ δὲ Κερ-
κυραῖοι ὡς ᾔσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ
ἑκατὸν ναῦς ὧν ἦρχε Μεικιάδης καὶ Αἰσιμίδης καὶ Εὐρύβατος, ἐ-
στρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων αἳ καλοῦνται Σύβοτα. καὶ
αἱ Ἀττικαὶ δέκα παρῆσαν. ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀ-
κρωτηρίῳ ὁ πεζὸς ἦν. καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοη-
θηκότες. ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρ-

βαρ

παραβεβοηθηκότες· οἱ γὰρ ταύτῃ ἠπειρῶται, ἀεί ποτε αὐτοῖς φίλοι
εἰσίν· ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς κορινθίοις, λαβόντες τριῶν
ἡμερῶν σιτία, ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν ἀπὸ τοῦ χειμερίου
νυκτός· καὶ ἅμα ἕῳ πλέοντες, καθορῶσι τὰς τῶν κερκυραίων
ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας· ὡς δὲ κατεῖδον ἀλ-
λήλους ἀντιπαρετάσσοντο· ἐπὶ μὲν τὸ δεξιὸν κέρας κερκυραίων,
αἱ ἀττικαὶ νῆες· τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον, τρία τέλη ποιήσαντες
τῶν νεῶν· ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς· οὕτω μὲν κερ-
κυραῖοι ἐτάξαντο· κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας, αἱ με-
γαρίδες νῆες εἶχον καὶ ἀμπρακιώτιδες· κατὰ δὲ τὸ μέσον
οἱ ἄλλοι ξύμμαχοι· ὡς ἕκαστοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ
κορίνθιοι ταῖς ἄριστα τῶν νεῶν πλεούσαις κατὰ τοὺς ἀθηναίους
καὶ τὸ δεξιὸν τῶν κερκυραίων εἶχον· ξυμμίξαντες δέ, ἐπειδὴ
τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμάχουν· πολλοὺς μὲν ὁπλίτας
ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταστρωμάτων· πολλοὺς δὲ τοξότας
καὶ ἀκοντιστάς· τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσ-
κευασμένοι· ἦν τε ἡ ναυμαχία καρτερά, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως
πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσα· ἐπειδὴ γὰρ προσ-
βάλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο ὑπό τε πλήθους καὶ ὄ-
χλου τῶν νεῶν· καὶ μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταστρώ-
ματος ὁπλίταις ἐς τὴν νίκην· οἳ καταστάντες ἐμάχοντο ἡσυ-
χαζουσῶν τῶν νεῶν· διέκπλοι δὲ οὐκ ἦσαν· ἀλλὰ θυμῷ καὶ ῥώ-
μῃ τὸ πλέον ἐναυμάχουν, ἢ ἐπιστήμῃ· πανταχῇ μὲν οὖν πολὺς,
θόρυβος καὶ ταραχώδης ἦν ἡ ναυμαχία· ἐν ᾗ αἱ ἀττικαὶ νῆες,
παραγιγνόμεναι τοῖς κερκυραίοις εἴ πῃ πιέζοιντο, φόβον μὲν
παρεῖχον τοῖς ἐναντίοις· μάχης δὲ οὐκ ἦρχον, δεδιότες οἱ
στρατηγοὶ τὴν πρόρρησιν τῶν ἀθηναίων· μάλιστα δὲ τὸ δεξιὸν
κέρας τῶν κορινθίων ἐπόνει· οἱ γὰρ κερκυραῖοι εἴκοσι ναυσὶν
αὐτοὺς τρεψάμενοι καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον,

καὶ μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν, ἐπεκβάντες.
ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους· καὶ τὰ χρήματα διήρπασαν·
ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό τε καὶ οἱ Κερ-
κυραῖοι ἐπεκράτουν· οἳ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐω-
νύμῳ πολὺ ἐνίκων· τοῖς Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ
ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν· οἱ δὲ Ἀθηναῖοι
ὁρῶντες τοὺς Κερκυραίους πιεζομένους, μᾶλλον ἤδη ἀπροφα-
σίστως ἐπεκούρουν· τὸ μὲν πρῶτον ἀπεχόμενοι ὥστε μὴ ἐμ-
βάλλειν τινί· ἐπειδὴ δὲ ἡ τροπὴ ἐγίνετο, λαμπρῶς καὶ ἐνέκειντο
οἱ Κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἴχετο ἤδη· καὶ διεκέκριτο
οὐδὲν ἔτι· ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης, ὥστε ἐπιχειρῆσαι
ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους· τῆς δὲ τροπῆς γενομένης
οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς
καταδύσειαν· πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο, φονεύειν διεκπλέ-
οντες μᾶλλον ἢ ζωγρεῖν· τούς τε αὑτῶν φίλους οὐκ ᾐσθημένοι ὅτι
ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ ἀγνοοῦντες ἔκτεινον· πολλῶν
γὰρ νεῶν οὐσῶν ἀμφοτέρων· καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπε-
χουσῶν, ἐπειδὴ ξυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν
ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο· ναυμαχία γὰρ αὕτη
Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ αὐτῆς
γεγένηται· ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι
ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐ-
τράποντο· καὶ τῶν πλείστων ἐκράτησαν· ὥστε προσκομίσαι πρὸς
τὰ Σύβοτα οἷ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβε-
βοηθήκει· ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἐρῆμος·
τοῦτο δὲ ποιήσαντες αὖθις ἀθροισθέντες, ἐπέπλεον τοῖς Κερ-
κυραίοις· οἱ δὲ ταῖς πλοΐμοις καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν
Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντεπέπλεον· δείσαντες μὴ ἐς τὴν γῆν
σφῶν πειρῶσιν ἀποβαίνειν· ἤδη δὲ ἦν ὀψέ· καὶ ἐπεπαιάνιστο

αὐτοῖς ὡς ἐς ἐπίπλουν· καὶ οἱ κορίνθιοι ἐξαπίνης πρύμναν ἐ-
κρούοντο, κατιδόντες εἴκοσι ναῦς ἀθηναίων προσπλεούσας, ἃς
ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ ἀθηναῖοι· δείσαντες ὅπερ
ἐγένετο, μὴ νικηθῶσιν οἱ κερκυραῖοι· καὶ αἱ σφέτεραι δέκα
νῆες ὀλίγαι ἀμύνειν ὦσι. ταύτας οὖν προϊδόντες οἱ κορίνθιοι
καὶ ὑποτοπήσαντες ἀπ' ἀθηναίων εἶναι, οὐχ ὅσας ἑώρων ἀλλὰ
πλείους, ὑπανεχώρουν· τοῖς δὲ κερκυραίοις ἐπέπλεον γὰρ μᾶλ-
λον ἐκ τοῦ ἀφανοῦς, οὐχ ἑωρῶντο· καὶ ἐθαύμαζον τοὺς κορινθί-
ους πρύμναν κρουομένους· πρίν τινες ἰδόντες εἶπον ὅτι νῆες
ἐκεῖναι ἐπιπλέουσι. τότε δὴ καὶ αὐτοὶ ἀνεχώρουν· ξυνεσκότα-
ζε γὰρ ἤδη· καὶ οἱ κορίνθιοι ἀποτραπόμενοι, τὴν διάλυσιν ἐποι-
ήσαντο. οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀπ' ἀλλήλων· καὶ ἡ ναυ-
μαχία ἐτελεύτα ἐς νύκτα. τοῖς κερκυραίοις δὲ στρατοπε-
δευομένοις ἐπὶ τῇ λευκίμμῃ, αἱ εἴκοσι νῆες αἱ ἀπὸ τῶν ἀθηνῶν
αὗται ὧν ἦρχε γλαύκων τε ὁ λεάγρου, καὶ ἀνδοκίδης ὁ
λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι, κα-
τέπλεον ἐς τὸ στρατόπεδον· οὐ πολλῷ ὕστερον ἢ ὤφθησαν. οἱ γὰρ
κερκυραῖοι, ἦν γὰρ νύξ, ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν. ἔπει-
τα δὲ ἔγνωσαν καὶ ὡρμίσαντο. τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ
τε ἀττικαὶ τριάκοντα νῆες· καὶ τῶν κερκυραίων ὅσαι πλώϊμοι
ἦσαν, ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς συβότοις λιμένα, ἐν ᾧ οἱ κορίν-
θιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. οἱ δὲ τὰς μὲν
ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους,
ἡσύχαζον· ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες· ὁρῶντες
προσγεγενημένας τε ναῦς ἐκ τῶν ἀθηνῶν ἀκραιφνεῖς· καὶ σφίσι
πολλὰ τὰ ἄπορα ξυμβεβηκότα· αἰχμαλώτων τε περὶ φυ-
λακῆς οὓς ἐν ταῖς ναυσὶν εἶχον· καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν
νεῶν ἐν χωρίῳ ἐρήμῳ. τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκό-
πουν ὅπῃ κομισθήσονται· δεδιότες μὴ οἱ ἀθηναῖοι νομίσαντες

λελύσθαι τὰς σπονδὰς διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς
ἀποπλεῖν. ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐσβιβάσαντας
ἄνευ κηρυκείου προσπέμψαι τοῖς ἀθηναίοις. καὶ πεῖραν ποι-
ήσασθαι. πέμψαντές τε ἔλεγον τοιάδε: ἀδικεῖτε ὦ ἄνδρες
ἀθηναῖοι πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες. ἡμῖν γὰρ
πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμποδὼν ἵστασθε
ὅπλα ἀνταιρόμενοι. εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ
κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν, καὶ τὰς σπονδὰς λύ-
ετε, ἡμᾶς τούσδε λαβόντες πρώτους χρήσασθε ὡς πολεμίοις. τῶν
δὲ κερκυραίων τὸ μὲν στρατόπεδον ὅσον ἐπήκουσε, ἀνεβόησε
λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι. οἱ δὲ ἀθηναῖοι τοιάδε ἀπε-
κρίναντο. οὔτε ἄρχομεν πολέμου ὦ ἄνδρες πελοποννήσιοι
οὔτε τὰς σπονδὰς λύομεν. κερκυραίοις δὲ τοῖσδε ξυμμάχοις
οὖσι βοηθοὶ ἤλθομεν. εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ
κωλύομεν. εἰ δὲ ἐπὶ κέρκυραν πλευσεῖσθε, ἢ ἐς τῶν ἐκείνων
τι χωρίων οὐ περιοψόμεθα κατὰ τὸ δυνατόν. τοιαῦτα τῶν ἀ-
θηναίων ἀποκριναμένων, οἱ μὲν κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ'
οἴκου παρεσκευάζοντο. καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπεί-
ρῳ συβότοις. οἱ δὲ κερκυραῖοι τά τε ναυάγια καὶ τοὺς νεκροὺς
ἀνείλοντο τὰ κατὰ σφᾶς ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ ἀ-
νέμου. ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ. καὶ τροπαῖον ἀντέστησαν, ἐν ταῖς ἐν τῇ νήσῳ συβότοις, ὡς νε-
νικηκότες. γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιή-
σαντο. κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτὸς
ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι, καὶ
ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων. ναῦς
τε καταδύσαντες περὶ ἑβδομήκοντα ἔστησαν τροπαῖον.
κερκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα διαφθείραντες.
καὶ ἐπειδὴ ἀθηναῖοι ἦλθον ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτῶν

ναυάγια καὶ νεκρούς· καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν
κρουόμενοι ὑπεχώρησαν οἱ κορίνθιοι ἰδόντες τὰς ἀττικὰς
ναῦς· καὶ ἐπειδὴ ἦλθον οἱ ἀθηναῖοι οὐκ ἀντέπλεον ἐκ τῶν συ-
βότων· διὰ ταῦτα τροπαῖον ἔστησαν· οὕτω μὲν ἑκάτεροι νι-
κᾶν ἠξίουν· οἱ δὲ κορίνθιοι ἀποπλέοντες ἐπ᾽ οἴκου, ἀνακτό-
ριον ὅ ἐστιν ἐπὶ τῷ στόματι τοῦ ἀμπρακικοῦ κόλπου, ἀπάτῃ
εἷλον· ἦν δὲ κοινὸν κερκυραίων καὶ ἐκείνων· καὶ καταστήσαντες
ἐν αὐτῷ κορινθίους οἰκήτορας ἀνεχώρησαν ἐπ᾽ οἴκου· καὶ τῶν
κερκυραίων ὀκτακοσίους μὲν οἳ ἦσαν δοῦλοι, ἀπέδοντο· πεν-
τήκοντα δὲ καὶ διακοσίους δήσαντες, ἐφύλασσον· καὶ ἐν θεραπείᾳ
εἶχον πολλῇ· ὅπως αὐτοῖς τὴν κέρκυραν ἀναχωρήσαντες
προσποιήσειαν· ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι
ὄντες τῆς πόλεως· ἡ μὲν οὖν κέρκυρα οὕτω περιγίνεται τῷ πολέμῳ
τῶν κορινθίων· καὶ αἱ νῆες τῶν ἀθηναίων ἀνεχώρησαν ἐξ αὐ-
τῆς· αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ πολέμου κορινθίοις ἐς
τοὺς ἀθηναίους· ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ κερκυραίων ἐναυ-
μάχουν· μετὰ ταῦτα δ᾽ εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι τοῖς
ἀθηναίοις καὶ πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν· τῶν
γὰρ κορινθίων πρασσόντων ὅπως τιμωρήσονται αὐτούς, ὑποτο-
πήσαντες τὴν ἔχθραν αὐτῶν οἱ ἀθηναῖοι, ποτιδεάτας οἳ οἰκοῦσι
ἐπὶ τῷ ἰσθμῷ τῆς παλλήνης, ὄντας κορινθίων ἀποίκους ἑαυτῶν
δὲ ξυμμάχους φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς παλλήνην
τεῖχος καθελεῖν καὶ ὁμήρους δοῦναι· τούς τε ἐπιδημιουργοὺς
ἐκπέμπειν· καὶ τὸ λοιπὸν μὴ δέχεσθαι· οὓς κατὰ ἔτος ἕκαστον
κορίνθιοι ἔπεμπον· δείσαντες μὴ ἀποστῶσιν ὑπό τε περδίκκου
πειθόμενοι καὶ κορινθίων· τούς τε ἄλλους τοὺς ἐπὶ θρᾴκης ξυναπο-
στήσωσι ξυμμάχους· ταῦτα δὲ περὶ τοὺς ποτιδεάτας οἱ ἀθη-
ναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν κερκύρᾳ ναυμα-
χίαν· οἵ τε γὰρ κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν· περδίκ-

τε ὁ ἀλεξάνδρου μακεδόνων βασιλεύς, ἐπεπολέμωτο ξύμ-
μαχος πρότερον καὶ φίλος ὤν. ἐπολεμώθη δὲ ὅτι φιλίππῳ τῷ
ἑαυτοῦ ἀδελφῷ καὶ δέρδᾳ κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις, οἱ
ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. δεδιώς τε ἔπρασσεν ἔς τε τὴν λα-
κεδαίμονα πέμπων ὅπως πόλεμος γένηται αὐτοῖς ἀθηναίοις πρὸς πελοπον-
νησίους. καὶ τοὺς κορινθίους προσεποιεῖτο τῆς ποτιδαίας ἕνεκα
ἀποστάσεως. προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ θρᾴκης χαλκι-
δεῦσι καὶ βοττιαίοις ξυναποστῆναι. νομίζων εἰ ξύμμαχα ταῦτα
ἔχοι, ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι.
ὧν οἱ ἀθηναῖοι αἰσθόμενοι καὶ βουλόμενοι προκαταλαμβάνειν
τῶν πόλεων τὰς ἀποστάσεις. ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλ-
λοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, ἀρχεστράτου τοῦ
λυκομήδους μετ' ἄλλων δέκα στρατηγοῦντος, ἐπιστέλλουσι τοῖς
ἄρχουσι τῶν νεῶν, ποτιδαιατῶν τε ὁμήρους λαβεῖν καὶ τὸ τεῖχος
καθελεῖν. τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν ὅπως μὴ
ἀποστήσωνται. ποτιδαιᾶται μὲν πέμψαντες μὲν καὶ παρ' ἀθηναίους
πρέσβεις ὅπως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδέν, ἐλ-
θόντες δὲ καὶ ἐς τὴν λακεδαίμονα μετὰ κορινθίων, ἔπρασσον ὅπως
ἑτοιμάσαιντο τιμωρίαν ἢν δέῃ. ἐπειδὴ ἔκ τε ἀθηναίων ἐκ
πολλοῦ πράσσοντες οὐδὲν ηὕροντο ἐπιτήδειον. ἀλλ' αἱ νῆες αἱ
ἐπὶ μακεδονίαν, καὶ ἐπὶ σφᾶς ὁμοίως ἔπλεον. καὶ τὰ τέλη τῶν
λακεδαιμονίων ὑπέσχετο αὐτοῖς ἢν ἐπὶ ποτίδαιαν ἴωσιν
ἀθηναῖοι. ἐς τὴν ἀττικὴν ἐσβαλεῖν. τότε δὴ κατὰ τὸν καιρὸν
τοῦτον ἀφίστανται μετὰ τῶν χαλκιδέων καὶ βοττιαίων κοινῇ
ξυνομόσαντες. καὶ περδίκκας πείθει χαλκιδέας. τὰς ἐπὶ
θαλάσσῃ πόλεις ἐκλιπόντας καὶ καταβαλόντας ἀνοικίσασθαι
ἐς ὄλυνθον μίαν τε πόλιν ἰσχυρὰν ταύτην ποιήσασθαι. τοῖς τε
ἐκλιποῦσι τούτοις τῆς ἑαυτοῦ γῆς τῆς μυγδονίας περὶ τὴν βόλβην
λίμνην ἔδωκε νέμεσθαι. ἕως ἂν ὁ πρὸς ἀθηναίους πόλεμος ᾖ.

καὶ οἱ μὲν ἀγωνίζοντο ὅτι καθαιροῦνται τὰς πόλεις· καὶ σὺν πό-
λεμον προσδοκάζοντο· αἱ δὲ τριάκοντα νῆες τῶν ἀθηναίων
ἀφικνοῦνται ἐς τὰ ἐπὶ θρᾴκης καὶ καταλαμβάνουσι τὴν πο-
τίδαιαν· καὶ τἆλλα ἀφεστηκότα· νομίσαντες δὲ οἱ στρατηγοὶ πρός τε
περδίκκαν πολεμεῖν ἀδύνατα εἶναι τῇ παρούσῃ δυνάμει καὶ τὰ
ξυναφεστῶτα χωρία, τρέπονται ἐπὶ τὴν μακεδονίαν· ἐφ᾽ ὅπερ
καὶ τὸ πρῶτον ἐξεπέμποντο· καὶ καταστάντες ἐπολέμουν μετὰ
φιλίππου καὶ τῶν δέρδου ἀδελφῶν ἄνωθεν στρατιᾷ ἐσβεβλη-
κότων· καὶ ἐν τούτῳ οἱ κορίνθιοι τῆς ποτιδαίας ἀφεστηκυίας
καὶ τῶν ἀττικῶν νεῶν περὶ μακεδονίαν οὐσῶν, δεδιότες περὶ
τῷ χωρίῳ καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι, πέμπουσιν ἑ-
αυτῶν τε ἐθελοντὰς καὶ τῶν ἄλλων πελοποννησίων μισθῷ πεί-
σαντες ἑξακοσίους καὶ χιλίους τοὺς πάντας ὁπλίτας καὶ ψιλοὺς
τετρακοσίους· ἐστρατήγει δὲ αὐτῶν ἀριστεὺς ὁ ἀδειμάντου· κα-
τὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ κορίνθου στρατιῶται
ἐθελονταὶ ξυνέσποντο· ἦν γὰρ τοῖς ποτιδαιάταις ἀεί ποτε ἐπιτήδειος.
καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ θρᾴκης ἢ πο-
τίδαια ἀπέστη· ἦλθε δὲ καὶ τοῖς ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν
πόλεων ὅτι ἀφεστᾶσι· καὶ πέμπουσιν ὡς ᾔσθοντο καὶ τοὺς μετὰ
ἀριστέως ἐπιπαριόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας· καὶ τεσ-
σαράκοντα ναῦς πρὸς τὰ ἀφεστῶτα· καὶ καλλίαν τὸν καλ-
λιάδου πέμπτον αὐτὸν στρατηγόν· οἱ ἀφικόμενοι ἐς μα-
κεδονίαν πρῶτον καταλαμβάνουσι τοὺς προτέρους χιλίους
θέρμην ἄρτι ᾑρηκότας· καὶ πύδναν πολιορκοῦντας· προσ-
καθεζόμενοι δὲ καὶ αὐτοὶ τὴν πύδναν ἐπολιόρκησαν μέν. ἔ-
πειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμμαχίαν ἀναγκαίαν
πρὸς τὸν περδίκκαν, ὡς αὐτοὺς κατῆγεν ἡ ποτίδαια· καὶ ὁ
ἀριστεὺς παρεληλυθώς, ἀπανίστανται ἐκ τῆς μακεδονίας·
καὶ ἀφικόμενοι ἐς βέροιαν κἀκεῖθεν ἐπιστρέψαντες καὶ πειρά-
σαντες

πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες, ἐπορεύοντο κατὰ γῆν πρὸς
τὴν ποτίδαιαν· τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν· χωρὶς δὲ τῶν
ξυμμάχων πολλοῖς· ἱππεῦσι δὲ ἑξακοσίοις μακεδόνων τοῖς μετὰ
φιλίππου καὶ παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομήκοντα
κατ' ὀλίγον δὲ προϊόντες, τριταῖοι ἀφίκοντο ἐς γίγωνον· καὶ
ἐστρατοπεδεύσαντο· ποτιδαιᾶται δὲ καὶ οἱ μετὰ ἀριστέως προσ-
δεχόμενοι τοὺς ἀθηναίους, ἐστρατοπεδεύοντο πρὸς ὀλύνθου ἐν
τῷ ἰσθμῷ· καὶ ἀγορὰν ἔξω τῆς πόλεως ἐπεποίηντο· στρατηγὸν
τοῦ μὲν πεζοῦ παντὸς ᾕρηντο οἱ ξύμμαχοι ἀριστέα· τῆς δὲ ἵππου
περδίκκαν· ἀπέστη γὰρ πάλιν εὐθὺς τῶν ἀθηναίων· καὶ ξυνε-
μάχει τοῖς ποτιδαιάταις, ἰόλαον ἀνθ' αὑτοῦ καταστήσας ἄρχοντα·
ἦν δὲ ἡ γνώμη τοῦ ἀριστέως, τὸ μὲν μεθ' αὑτοῦ στρατόπεδον ἔ-
χοντα ἐν τῷ ἰσθμῷ, ἐπιτηρεῖν τοὺς ἀθηναίους ἢν ἐπίωσι· χαλκιδέας δὲ
δὲ καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους, καὶ τὴν παρὰ περδίκκου
διακοσίαν ἵππον, ἐν ὀλύνθῳ μένειν· καὶ ὅταν ἀθηναῖοι ἐπὶ
σφᾶς χωρῶσι κατὰ νώτου βοηθοῦντας, ἐν μέσῳ ποιεῖν αὐτῶν
τοὺς πολεμίους· καλλίας δ' αὖ ὁ τῶν ἀθηναίων στρατηγὸς καὶ οἱ ξυ-
νάρχοντες, τοὺς μὲν μακεδόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους
ἐπὶ ὀλύνθου ἀποπέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβο-
ηθεῖν· αὐτοὶ δὲ ἀναστήσαντες τὸ στρατόπεδον, ἐχώρουν ἐπὶ τὴν
ποτίδαιαν· καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο, καὶ εἶδον τοὺς
ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίσταντο καὶ
αὐτοί· καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον· καὶ αὐτὸ μὲν τὸ τοῦ ἀρι-
στέως κέρας, καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν κορινθίων τε καὶ τῶν
ἄλλων λογάδες, ἔτρεψαν τὸ καθ' ἑαυτοὺς καὶ ἐπεξῆλθον διώκοντες
ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον τῶν τε ποτιδαιατῶν καὶ τῶν
πελοποννησίων, ἡσσᾶτο ὑπὸ τῶν ἀθηναίων· καὶ ἐς τὸ τεῖχος
κατέφυγεν· ἐπαναχωρῶν δὲ ὁ ἀριστεὺς ἀπὸ τῆς διώξεως, ὡς ὁ-
ρᾷ τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μὲν ὁποτέρωσε

διακινδυνεύσῃ χωρήσας, ἢ ἐπὶ τῆς ὀλύνθου, ἢ ἐς τὴν ποτίδαιαν· ἔδο
ξε δ' οὖν ξυναγαγόντι τοὺς μεθ' αὐτοῦ ὡς ἐς ἐλάχιστον χωρίον, δρό
μῳ βιάσασθαι ἐς τὴν ποτίδαιαν· καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ
τῆς θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς ὀλίγους μέν τινας ἀπο
βαλών· τοὺς δὲ πλείους διασώσας· οἱ δ' ἀπὸ τῆς ὀλύνθου τοῖς ποτι
δαιάταις βοηθοί, ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους, καὶ
ἔστι καταφανές, ὡς ἡ μάχη ἐγίγνετο, καὶ τὰ σημεῖα ἤρθη
βραχύ μέν τι προῆλθον ὡς βοηθήσοντες· καὶ οἱ μακεδόνες
ἱππῆς, ἀντιπαρετάξαντο ὡς κωλύσοντες· ἐπειδὴ δὲ διὰ τα
χους ἡ νίκη τῶν ἀθηναίων ἐγίγνετο, καὶ τὰ σημεῖα κατεσπά
σθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος καὶ οἱ μακεδόνες παρὰ
τοὺς ἀθηναίους· ἱππῆς δ' οὐδετέροις παρεγένοντο· μετὰ δὲ τὴν
μάχην τροπαῖον ἔστησαν οἱ ἀθηναῖοι· καὶ τοὺς νεκροὺς ὑποσπόν
δους ἀπέδοσαν τοῖς ποτιδαιάταις· ἀπέθανον δὲ ποτιδαιατῶν
μὲν καὶ τῶν ξυμμάχων, ὀλίγῳ ἐλάσσους πεντακοσίων· ἀθη-
ναίων δὲ αὐτῶν πεντήκοντα καὶ ἑκατὸν· καὶ καλλίας ὁ στρα
τηγός· τὸ δὲ ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ ἀθηναῖοι ἀποτειχί
σαντες, ἐφρούρουν· τὸ δὲ ἐς τὴν παλλήνην ἀτείχιστον ἦν· οὐ γὰρ
ἱκανοὶ ἐνόμιζον εἶναι· ἔν τε τῷ ἰσθμῷ φρουρεῖν καὶ ἐς τὴν πα
λλήνην διαβάντες τειχίζειν· δεδιότες μὴ σφίσιν οἱ ποτιδαιᾶται
καὶ οἱ ξύμμαχοι γιγνομένοις δίχα ἐπιθῶνται, καὶ πυνθανό
μενοι οἱ ἐν τῇ πόλει ἀθηναῖοι τὴν παλλήνην ἀτείχιστον οὖσαν χρό
νῳ ὕστερον, πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν
καὶ φορμίωνα τὸν ἀσωπίου στρατηγόν· ὃς ἀφικόμενος ἐς τὴν
παλλήνην, καὶ ἐξ ἀφύτιος ὁρμώμενος, προσήγαγε τῇ ποτιδαίᾳ
τὸν στρατὸν κατὰ βραχὺ προϊών, καὶ κείρων ἅμα τὴν γῆν·
ὡς δὲ οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς παλλήνης
τεῖχος· καὶ οὕτως ἤδη κατὰ κράτος ἡ ποτίδαια ἀμφοτέρωθεν
ἐπολιορκεῖτο· καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις·

ἀριστεὺς δὲ ἀποτειχισθείσης αὐτῆς, καὶ ἐλπίδα οὐδεμίαν ἔχων
σωτηρίας, ἢν μή τι ἀπὸ πελοποννήσου ἢ ἄλλο παρὰ λόγον γίγνηται)
ξυνεβούλευε μὲν πλὴν πεντακοσίων, ἄνεμον τηρήσασι τοῖς
ἄλλοις, ἐκπλεῦσαι· ὅπως ἐπὶ πλέον ὁ σῖτος ἀντίσχῃ· καὶ αὐτὸς
ἤθελε τῶν μενόντων εἶναι· ὡς δ' οὐκ ἔπειθε βουλόμενος τὰ
ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄ-
ριστα, ἔκπλουν ποιεῖται· λαθὼν τὴν φυλακὴν τῶν ἀθηναίων,
καὶ παραμένων ἐν χαλκιδεῦσι, τά τε ἄλλα ξυνεπολέμει, καὶ
σερμυλιῶν λοχήσας πρὸς τῇ πόλει, πολλοὺς διέφθειρεν· ἔς τε τὴν
πελοπόννησον ἔπρασσεν ὅπῃ ὠφελία τις γενήσεται· μετὰ δὲ
τῆς ποτιδαίας τὴν ἀποτείχισιν, φορμίων μὲν ἔχων τοὺς ἑξα-
κοσίους καὶ χιλίους, τὴν χαλκιδικὴν καὶ βοττικὴν ἐδῄου· καὶ
ἔστιν ἃ καὶ πολίσματα εἷλε· τοῖς δὲ ἀθηναίοις καὶ πελοπον-
νησίοις, αἰτίαι μὲν αὗται προυγεγένηντο πρὸς ἀλλήλους· τοῖς
μὲν κορινθίοις ὅτι τὴν ποτίδαιαν ἑαυτῶν οὖσαν ἀποικίαν,
καὶ ἄνδρας πελοποννησίους καὶ κορινθίων ἐν αὐτῇ ὄντας,
ἐπολιόρκουν· τοῖς δ' ἀθηναίοις ἐς τοὺς πελοποννησίους ὅτι ἑαυ-
τῶν τε πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέστησαν· καὶ
ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ ποτι-
δαιατῶν· οὐ μέντοι ὅ γε πόλεμός πω ξυνερρώγει· ἀλλ' ἔτι ἀνα-
κωχὴ ἦν· ἰδίᾳ γὰρ ταῦτα οἱ κορίνθιοι ἔπραξαν· πολιορκου-
μένης δὲ τῆς ποτιδαίας, οὐχ ἡσύχαζον ἀνδρῶν τε σφίσιν
ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες· παρεκάλουν τε
εὐθὺς ἐς τὴν λακεδαίμονα τοὺς ξυμμάχους· καὶ κατεβόων ἐλ-
θόντες τῶν ἀθηναίων· ὅτι σπονδάς τε λελυκότες εἶεν· καὶ ἀ-
δικοῖεν τὴν πελοπόννησον· αἰγινῆταί τε φανερῶς μὲν οὐ πρεσ-
βευόμενοι δεδιότες τοὺς ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιστα
μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον· λέγοντες οὐκ εἶναι αὐτόνομοι
κατὰ τὰς σπονδάς· οἱ δὲ λακεδαιμόνιοι προσπαρακαλέσαντες

τῶν ξυμμάχων καὶ εἴ τις τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ ἀθηναίων,
ξύλλογον σφῶν αὐτῶν ποιήσαντες, τὸν εἰωθότα, λέγειν ἐκέ-
λευον· καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι·
καὶ μεγαρῆς· δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα,
μάλιστα δὲ λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ ἀθηναίων ἀρχῇ·
καὶ τῆς ἀττικῆς ἀγορᾶς παρὰ τὰς σπονδάς· παρελθόντες δὲ
τελευταῖοι κορίνθιοι καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παρο-
ξῦναι τοὺς λακεδαιμονίους, ἐπεῖπον τοιάδε: δημηγο(ρία) κορινθ(ίων)

Τὸ πιστὸν ὑμᾶς ὦ λακεδαιμόνιοι, τῆς καθ' ὑμᾶς αὐτοὺς πολιτείας
καὶ ὁμιλίας, ἀπιστοτέρους ἐς τοὺς ἄλλους ἤν τι λέγωμεν καθίστησι·
καὶ ἀπ' αὐτοῦ σωφροσύνην μὲν ἔχετε· ἀμαθίᾳ δὲ πλέονι πρὸς
τὰ ἔξω πράγματα χρῆσθε· πολλάκις γὰρ προαγορευόντων
ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν
ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε· ἀλλὰ τῶν λεγόντων
μᾶλλον ὑπενοεῖτε ὡς ἕνεκα τῶν αὑτοῖς ἰδίᾳ διαφόρων λέγουσι·
καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν· ἀλλ' ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμέν, τοὺς
ξυμμάχους τούσδε παρακαλέσατε· ἐν οἷς προσήκει ἡμᾶς οὐχ ἥ-
κιστα εἰπεῖν ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν· ὑπὸ μὲν ἀθη-
ναίων ὑβριζόμενοι· ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι· καὶ εἰ μὲν ἀ-
φανεῖς που ὄντες ἠδίκουν τὴν ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ
εἰδόσι προσέδει· νῦν δὲ τί δεῖ μακρηγορεῖν· ὧν τοὺς μὲν δε-
δουλωμένους ὁρᾶτε· τοῖς δὲ ἐπιβουλεύοντας αὐτούς· καὶ οὐχ
ἥκιστα τοῖς ἡμετέροις ξυμμάχοις καὶ ἐκ πολλοῦ προπαρεσκευ-
ασμένους εἴ ποτε πολεμήσονται· οὐ γὰρ ἂν κέρκυράν τε ὑπολα-
βόντες βίᾳ ἡμῶν εἶχον· καὶ ποτείδαιαν ἐπολιόρκουν· ὧν τὸ μὲν
ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ θρᾴκης ἀποχρῆσθαι· ἡ δὲ ναυ-
τικὸν ἂν μέγιστον παρέσχε πελοποννησίοις· καὶ τῶνδε ὑμεῖς αἴ-
τιοι, τό τε πρῶτον ἐάσαντες αὐτοὺς τὴν πόλιν μετὰ τὰ μηδικὰ
κρατῦναι· καὶ ὕστερον τὰ μακρὰ στῆσαι τείχη· ἐς τόδε τε αἰεὶ ἀπο

στεροῦντες οὐ μόνον τοὺς ὑπ᾽ ἐκείνων δεδουλωμένους ἐλευθε-
ρίας, ἀλλὰ καὶ τοὺς ὑμετέρους ἤδη ξυμμάχους· οὐ γὰρ ὁ δου-
λωσάμενος· ἀλλ᾽ ὁ δυνάμενος μὲν παῦσαι περιορῶν δὲ, ἀ-
ληθέστερον αὐτὸ δρᾷ· εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς
ὡς ἐλευθερῶν τὴν πόλιν φαίνεται· μόλις δὲ νῦν γε ξυνήλ-
θομεν· καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς· χρῆν δὲ οὐκ εἰ ἀδικούμεθα
ἔτι σκοπεῖν, ἀλλὰ καθ᾽ ὅτι ἀμυνούμεθα· οἱ γὰρ δρῶντες βε-
βουλευμένοι πρὸς οὐ διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες
ἐπέρχονται· καὶ ἐπιστάμεθα οἵᾳ ὁδῷ οἱ ἀθηναῖοι· καὶ ὅτι κατ᾽
ὀλίγον χωροῦσιν ἐπὶ τοὺς πέλας· καὶ λανθάνειν μὲν οἰόμενοι,
διὰ τὸ ἀναίσθητον ὑμῶν, ἧσσον θαρσοῦσι· γνόντες δὲ εἰδότας
περιορᾶν, ἰσχυρῶς ἐγκείσονται· ἡσυχάζετε γὰρ μόνοι ἑλλήνων
ὦ λακεδαιμόνιοι· οὐ τῇ δυνάμει τινά· ἀλλὰ τῇ μελλήσει ἀμυ-
νόμενοι· καὶ μόνοι οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν
διπλασιουμένην δὲ καταλύοντες· καίτοι ἐλέγεσθε ἀσφα-
λεῖς εἶναι· ὧν ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει· τόν τε γὰρ μῆ-
δον αὐτοὶ ἴσμεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν πελοπόν-
νησον ἐλθόντα ἢ τὰ παρ᾽ ὑμῶν ἀξίως προαπαντῆσαι· καὶ νῦν
τοὺς ἀθηναίους οὐχ ἑκὰς ὥσπερ ἐκεῖνον, ἀλλ᾽ ἐγγὺς ὄντας πε-
ριορᾶτε· καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ, ἀμύνεσθαι βούλεσθε
μᾶλλον ἐπιόντας· καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρους
ἀγωνιζόμενοι καταστῆναι· ἐπιστάμενοι καὶ τὸν βάρβαρον αὐτὸν
περὶ αὑτῷ τὰ πλείω σφαλέντα· καὶ πρὸς αὐτοὺς τοὺς ἀθη-
ναίους πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρτήμασιν αὐτῶν μᾶλλον ἢ
τῇ ἀφ᾽ ὑμῶν τιμωρίᾳ περιγεγενημένους· ἐπεὶ αἵ γε ὑμέτεραι ἐλ-
πίδες, ἤδη τινάς που καὶ ἀπαρασκεύους διὰ τὸ πιστεῦσαι ἔφθει-
ραν· καὶ μηδεὶς ὑμῶν ἐπ᾽ ἔχθρᾳ τὸ πλέον ἢ αἰτίᾳ νομίσῃ τά-
δε λέγεσθαι· αἰτία μὲν γὰρ φίλων ἀνδρῶν ἐστὶν ἁμαρτανόντων
κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων· καὶ ἅμα εἴπερ τινὲς καὶ

ἄμφω ἄξιοι νομίζομεν εἶναι τοῖς πέλας ψόγους ἐπενεγκεῖν·
ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων καθεστώτων· περὶ
ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε· οὐδ' ἐκλογίσασθαι
πώποτε πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας· καὶ ὅσον ὑ-
μῶν καὶ πρὸς πᾶν διαφέροντας ὁ ἀγὼν ἔσται· οἱ μέν γε
νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς· καὶ ἐπιτελέσαι ἔργῳ
ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶ-
ναι μηδέν· καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι· αὖθις
δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταί· καὶ παρὰ γνώμην
κινδυνευταί· καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον
τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι· τῆς τε γνώμης μηδὲ
τοῖς βεβαίοις πιστεῦσαι· τῶν τε δεινῶν μηδέποτε οἴεσθαι
ἀπολυθήσεσθαι· καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητάς,
καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους· οἴονται γὰρ οἱ μὲν τῇ
ἀπουσίᾳ ἄν τι κτᾶσθαι· ὑμεῖς δὲ τῷ ἐπελθεῖν καὶ τὰ ἑτοῖμα
ἂν βλάψαι· κρατοῦντές τε τῶν ἐχθρῶν, ἐπὶ πλεῖστον ἐξέρ-
χονται· καὶ νικώμενοι ἐπ' ἐλάχιστον ἀναπίπτουσιν· ἔτι δὲ τοῖς
μὲν σώμασιν ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται· τῇ
γνώμῃ οἰκειοτάτῃ ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς· καὶ ἃ μὲν
ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται·
ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν
πράξαντες· ἢν δ' ἄρα του καὶ πείρᾳ σφαλῶσιν, ἀντελπίσαν-
τες ἄλλα, ἐπλήρωσαν τὴν χρείαν· μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ
ἐλπίζουσιν ἃ ἂν ἐπινοήσωσι· διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν
ποιεῖσθαι ὧν ἂν γνῶσι· καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κιν-
δύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι· καὶ ἀπολαύουσιν ἐλάχι-
στα τῶν ὑπαρχόντων διὰ τὸ αἰεὶ κτᾶσθαι· καὶ μήτε ἑορτὴν ἄλλο
τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι· ξυμφοράν τε οὐχ ἧσσον
ἡσυχίαν ἀπράγμονα, ἢ ἀσχολίαν ἐπίπονον· ὥστε εἴ τις αὐτοὺς

φαίη ξυνελών τις φῦναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχί-
μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι. ταύτης μέντοι
τοιαύτης ἀντικαθεστηκυίης πόλεως, ὦ λακεδαιμόνιοι, δια-
μέλλετε· καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπὶ
πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι
τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες· ἀλλ'
ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτε-
σθαι τὸ ἴσον νέμετε· μόλις δ' ἂν πόλει ὁμοίᾳ παροικοῦντες
ἐτυγχάνετε τούτου· νῦν δ' ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαι-
ότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν· ἀνάγκη δὲ
ὥσπερ τέχνης αἰεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυχαζούσῃ
μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα· πρὸς πολλὰ δὲ ἀναγ-
καζομένοις ἰέναι, πολλῆς καὶ ἐπιτεχνήσεως δεῖ· δι' ὅπερ καὶ
τὰ τῶν ἀθηναίων, ἀπὸ τῆς πολυπειρίας ἐπὶ πλέον ὑμῶν κεκαί-
νωται. μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής· νῦν
δὲ τοῖς τε ἄλλοις καὶ ποτιδαιάταις ὥσπερ ὑπεδέξασθε, βοηθή-
σατε κατὰ τάχος ἐσβαλόντες ἐς τὴν ἀττικήν· ἵνα μὴ ἄνδρας
τε καὶ φίλους καὶ ξυγγενεῖς, τοῖς ἐχθίστοις προῆσθε· καὶ ἡμᾶς
τοὺς ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμμαχίαν τρέψητε· δρῷ-
μεν δ' ἂν ἄδικον οὐδὲν· οὔτε πρὸς θεῶν τῶν ὁρκίων, οὔτε πρὸς
ἀνθρώπων τῶν αἰσθανομένων· λύουσι γὰρ τὰς σπονδὰς οὐχ οἱ δι' ἐρη-
μίαν ἄλλοις προσιόντες· ἀλλ' οἱ μὴ βοηθοῦντες οἷς ἂν ξυνομό-
σωσι. βουλομένων δὲ ὑμῶν προθύμων εἶναι, μενοῦμεν· οὔτε
γὰρ ὅσια ἂν ποιοῖμεν μεταβαλλόμενοι, οὔτε ξυνηθεστέρους
ἂν ἄλλους εὕροιμεν· πρὸς τάδε βουλεύεσθε εὖ· καὶ τὴν πελοπόν-
νησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι ἢ οἱ πατέρες ὑμῖν παρέ-
δοσαν. Τοιαῦτα μὲν οἱ κορίνθιοι εἶπον. τῶν δὲ ἀθηναίων
ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ λακεδαίμονι περὶ ἄλλων
παροῦσα· καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα

ἐς τοὺς λακεδαιμονίους εἶναι· τῶν μὲν ἐγκλημάτων πέρι μηδὲν ἀπολογησομένους ὧν αἱ πόλεις ἐνεκάλουν· δηλῶσαι δὲ περὶ τοῦ παντός, ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη· ἀλλ' ἐν πλέονι σκεπτέον· καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι ὅση εἴη δύναμιν· καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς τε πρεσβυτέροις ὧν ᾔδεσαν· καὶ τοῖς νεωτέροις ἐξήγησιν ὧν ἄπειροι, ἦσαν· νομίζοντες μᾶλλον ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι, ἢ πρὸς τὸ πολεμεῖν· προσελθόντες οὖν τοῖς λακεδαιμονίοις ἔφασαν βούλεσθαι καὶ αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἴ τι μὴ ἀποκωλύοι· οἱ δὲ ἐκέλευόν τε παριέναι· καὶ παρελθόντες οἱ ἀθηναῖοι ἔλεγον τοιάδε: δημηγορία ἀθηναίων

μὲν πρέσβευσις ἡμῶν, οὐκ ἐς ἀντιλογίαν τοῖς ὑμετέροις ξυμμάχοις ἐγένετο· ἀλλὰ περὶ ὧν ἡ πόλις ἔπεμψεν· αἰσθόμενοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν, παρήλθομεν· οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες· οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν οὔτε ἡμῶν, οὔτε τούτων οἱ λόγοι ἂν γίγνοιντο· ἀλλ' ὅπως μὴ ῥᾳδίως περὶ μεγάλων πραγμάτων τοῖς ξυμμάχοις πειθόμενοι, χεῖρον βουλεύσησθε· καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι, ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα· ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστί· καὶ τὰ μὲν πάνυ παλαιά, τί δεῖ λέγειν ὧν ἀκοαὶ λόγων μᾶλλον μάρτυρες ἢ ὄψις τῶν ἀκουσομένων· τὰ δὲ μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε, καὶ δι' ὄχλου μᾶλλον ἔσται αἰεὶ προβαλλομένοις, ἀνάγκη λέγειν· καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελίᾳ ἐκινδυνεύετο· ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε· τοῦ δὲ λόγου μὴ παντὸς εἴ τι ὠφελεῖ στερισκώμεθα· ῥηθήσεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα, ἢ μαρτυρίου καὶ δηλώσεως· πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλευομένοις ὁ ἀγὼν καταστήσεται· φαμὲν γὰρ μαραθῶνί τε μόνοι προ

κινδυνεῦσαι τῶν βαρβάρων· καὶ ὅτε τὸ ὕστερον ἦλθεν οὐχ ἱκανοὶ
ὄντες κατὰ γῆν ἀμύνασθαι ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ
ἐν Σαλαμῖνι ξυνναυμαχῆσαι· ὅπερ ἔσχε μὴ κατὰ πόλεις αὐτὸν
πλέοντα τὴν πελοπόννησον πορθεῖν ἀδυνάτων ἂν ὄντων πρὸς
ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν· τεκμήριον δὲ μέγιστον
αὐτὸς ἐποίησε· νικηθεὶς γὰρ ταῖς ναυσὶν ὡς οὐκέτι αὐτῷ
ὁμοίας οὔσης τῆς δυνάμεως, κατὰ τάχος τῷ πλέονι τοῦ στρα-
τοῦ ἀνεχώρησε· τοιούτου μέντοι τούτου ξυμβάντος, καὶ σα-
φῶς δηλωθέντος ὅτι ἐν ταῖς ναυσὶ τῶν ἑλλήνων τὰ πράγματα
ἐγένετο· τρία τὰ ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα· ἀ-
ριθμόν τε νεῶν πλεῖστον· καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον·
καὶ προθυμίαν ἀοκνοτάτην· ναῦς μέν γε ἐς τὰς τετρακοσίας
ὀλίγῳ ἐλάσσους δύο μοιρῶν· θεμιστοκλέα δὲ ἄρχοντα· ὃς
αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι ἐγένετο· ὅπερ σαφέστα-
τα ἔσωσε τὰ πράγματα· καὶ αὐτὸν διὰ τοῦτο δὴ μάλιστα τι-
μήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων· προθυμίαν δὲ
καὶ πολὺ τολμηροτάτην ἐδείξαμεν· οἵ γε ἐπειδὴ ἡμῖν κατὰ
γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρι ἡμῶν δουλευόντων,
ἠξιώσαμεν ἐκλιπόντες τὴν πόλιν καὶ τὰ οἰκεῖα διαφθείραντες
μηδ' ὣς τὸ τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν μη-
δὲ σκεδασθέντες ἀχρεῖοι γενέσθαι αὐτοῖς· ἀλλ' ἐσβάντες ἐς
τὰς ναῦς κινδυνεῦσαι· καὶ μὴ ὀργισθῆναι ὅτι ἡμῖν οὐ πρου-
τιμωρήσατε· ὥστε φαμὲν οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς
ἢ τυχεῖν τούτου· ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων
καὶ ἐπὶ τῷ τὸ λοιπὸν νέμεσθαι ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν
καὶ οὐχ ἡμῶν τὸ πλέον ἐβοηθήσατε· ὅτε γοῦν ἦμεν ἔτι σῷοι
οὐ παρεγένεσθε· ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώ-
μενοι, καὶ ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες
ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος, καὶ ἡμᾶς αὐτούς· εἰ δὲ

προσεχωρήσαμεν πρότερον τῷ μήδῳ, δείσαντες ὥσπερ καὶ
ἄλλοι περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον ἐσβῆναι ἐς
τὰς ναῦς, ὡς διεφθαρμένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς
μὴ ἔχοντας ναῦς ἱκανὰς ναυμαχεῖν· ἀλλὰ καθ' ἡσυχίαν ἂν
αὐτῷ προσεχώρησε τὰ πράγματα ᾗ ἐβούλετο. ἆρ' ἄξιοί
ἐσμεν ὦ λακεδαιμόνιοι καὶ προθυμίας ἕνεκα τῆς τότε καὶ
γνώμης καὶ ξυνέσεως, ἀρχῆς τε ἧς ἔχομεν, τοῖς ἕλλησι
μὴ οὕτως ἐπιφθόνως διακεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε
ἐλάβομεν οὐ βιασάμενοι· ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων
παραμεῖναι πρὸς τὰ ὑπόλοιπα· ἡμῖν δὲ προσελθόντων
τῶν ξυμμάχων καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι·
ἐξ αὐτοῦ δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προα-
γαγεῖν αὐτὴν ἐς τόδε· καὶ μάλιστα μὲν ὑπὸ δέους, ἔπειτα
καὶ τιμῆς ὕστερον καὶ ὠφελίας· καὶ οὐκ ἀσφαλὲς ἔτι ἐ-
δόκει εἶναι τοῖς πολλοῖς ἀπηχθημένους, καί τινων ἤδη ἀ-
ποστάντων, κατεστραμμένων· ὑμῶν τε ἡμῖν οὐκέτι ὁμοίως
φίλων· ἀλλ' ὑπόπτων καὶ διαφόρων ὄντων, ἀνέντας κινδυ-
νεύειν· καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. πᾶσι
δὲ ἀνεπίφθονον τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδυ-
νων εὖ τίθεσθαι. ὑμεῖς γοῦν ὦ λακεδαιμόνιοι, τὰς ἐν πε-
λοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταστησάμενοι,
ἐξηγεῖσθε· καὶ εἰ τότε ὑπομείναντες διὰ παντὸς ἀπήχθεσθε
ἐν τῇ ἡγεμονίᾳ, ὥσπερ καὶ ἡμεῖς, εὖ ἴσμεν μὴ ἂν ἧσσον ὑ-
μᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις καὶ ἀναγκασθέντας
ἂν ἢ ἄρχειν ἐγκρατῶς, ἢ αὐτοὺς κινδυνεύειν. οὕτως οὐδ' ἡμεῖς
θαυμαστὸν οὐδὲν πεποιήκαμεν· οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου· εἰ
ἀρχήν τε διδομένην ἐδεξάμεθα, καὶ ταύτην μὴ ἀνεῖμεν
ὑπὸ τῶν μεγίστων νικηθέντες, τιμῆς καὶ δέους καὶ ὠφελίας,
οὐδ' αὖ πρῶτοι τοῦ τοιούτου ὑπάρξαντες· ἀλλ' ἀεὶ καθεστῶτος τὸν

ἥσσω ἀπὸ τοῦ δυνατωτέρου κατείργεσθαι· ἄξιοί τε νομίζοντες
ἅμα εἶναι καὶ ὑμῖν δοκοῦντες μέχρι οὗ τὰ ξυμφέροντα λο-
γιζόμενοι τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε· ὃν οὐδείς πω παρατυχ-
ὸν ἰσχύι τι κτήσασθαι προθεὶς τοῦ μὴ πλέον ἔχειν, ἀπετράπετο·
ἐπαινεῖσθαί τε ἄξιοι οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει, ὥστε
ἑτέρων ἄρχειν, δικαιότεροι ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν
γένωνται· ἄλλους γ' ἂν οὖν οἰόμεθα τὰ ἡμέτερα λαβόντας, δεῖξαι
ἂν εἴ τι μετριάζομεν· ἡμῖν δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον
ἢ ἔπαινος, οὐκ εἰκότως περιέστη· καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς
ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους, δίκαις καὶ παρ' ἡμῖν αὐ-
τοῖς ἐν τοῖς ὁμοίοις νόμοις ποιήσαντες τὰς κρίσεις, φιλοδικεῖν
δοκοῦμεν· καὶ οὐδεὶς σκοπεῖ αὐτῶν· τοῖς δὲ ἄλλοθί που ἀρχὴν
ἔχουσι, καὶ ἧσσον ἡμῶν πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι, διότι
τοῦτο οὐκ ὀνειδίζεται· βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐ-
δὲν προσδέονται· οἱ δὲ, εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁ-
μιλεῖν, ἤν τι παρὰ τὸ μὴ οἴεσθαι χρῆναι ἢ γνώμῃ ἢ δυνάμει τῇ
διὰ τὴν ἀρχὴν, καὶ ὁπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλέονος μὴ
στερισκόμενοι χάριν ἔχουσιν, ἀλλὰ τοῦ ἐνδεοῦς χαλεπώτερον
φέρουσιν ἢ εἰ ἀπὸ πρώτης ἀποθέμενοι τὸν νόμον φα-
νερῶς ἐπλεονεκτοῦμεν· ἐκείνως δὲ οὐδ' ἂν αὐτοὶ ἀντέλεγον,
ὡς οὐ χρεὼν τὸν ἥσσω τῷ κρατοῦντι ὑποχωρεῖν· ἀδικούμενοί
τε οἱ ἄνθρωποι ὡς ἔοικε μᾶλλον ὀργίζονται, ἢ βιαζόμενοι· τὸ μὲν γὰρ
ἀπὸ τοῦ ἴσου δοκεῖ πλεονεκτεῖσθαι· τὸ δ' ἀπὸ τοῦ κρείσσονος
καταναγκάζεσθαι· ὑπὸ γοῦν τοῦ Μήδου δεινότερα τούτων
πάσχοντες ἠνείχοντο· ἡ δὲ ἡμετέρα ἀρχὴ χαλεπὴ δοκεῖ εἶναι εἰ-
κότως· τὸ παρὸν γὰρ αἰεὶ βαρὺ τοῖς ὑπηκόοις· ὑμεῖς γ' ἂν οὖν
εἰ καθελόντες ἡμᾶς ἄρξαιτε, τάχ' ἂν τὴν εὔνοιαν ἣν διὰ τὸ ἡ-
μέτερον δέος εἰλήφατε μεταβάλοιτε· εἴπερ οἷα καὶ τότε
πρὸς τὸν Μῆδον δι' ὀλίγου ἡγησάμενοι ὑπεδείξατε, ὅμοια

καὶ νῦν γνώσεσθε· ἄμικτα γὰρ τά τε καθ' αὑτοὺς ὑμᾶς νόμιμα
τοῖς ἄλλοις ἔχετε· καὶ προσέτι εἷς ἕκαστος ἐξιὼν, οὔτε τούτοις
χρῆται οὔθ' οἷς ἡ ἄλλη Ἑλλὰς νομίζει· Βουλεύεσθε οὖν βρα-
δέως ὡς οὐ περὶ βραχέων· καὶ μὴ ἀλλοτρίαις γνώμαις καὶ
ἐγκλήμασι πεισθέντες, οἰκεῖον πόνον πρόσθησθε· τοῦ δὲ
πολέμου τὸν παράλογον ὅσος ἐστὶ πρὶν ἐν αὐτῷ γενέσθαι
προδιάγνωτε· μηκυνόμενος γὰρ φιλεῖ ἐς τύχας τὰ πολλὰ
περιΐστασθαι· ὧν ἴσον τε ἀπέχομεν· καὶ ὁποτέρως ἔσται ἐν ἀ-
δήλῳ κινδυνεύεται· ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους τῶν
ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾶν· κακοπαθοῦν-
τες δὲ ἤδη τῶν λόγων ἅπτονται· ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοι-
αύτῃ ἁμαρτίᾳ ὄντες, οὔτ' αὐτοὶ, οὔθ' ὑμᾶς ὁρῶντες, λέγομεν
ὑμῖν ἕως ἔτι αὐθαίρετος ἡ εὐβουλία, σπονδὰς μὴ λύειν μη-
δὲ παραβαίνειν τοὺς ὅρκους· τὰ δὲ διάφορα δίκῃ λύεσθαι
κατὰ τὴν ξυνθήκην· εἰ δὲ μὴ θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιού-
μενοι, πειρασόμεθα ἀμύνεσθαι πολέμου ἄρχοντας ταύτῃ ᾗ
ἂν ὑφηγῆσθε: Τοιαῦτα μὲν οἱ Ἀθηναῖοι εἶπον· ἐπειδὴ δὲ
τῶν ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ ἐγκλήματα
τὰ ἐς τοὺς Ἀθηναίους, καὶ τῶν Ἀθηναίων ἃ ἔλεξαν, μεταστη-
σάμενοι πάντας, ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ τῶν πα-
ρόντων· καὶ τῶν μὲν πλεόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον
ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη· καὶ πολεμητέα εἶναι ἐν τάχει·
παρελθὼν δὲ Ἀρχίδαμος ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυ-
νετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεξε τοιάδε: δημηγορία ἀρχιδάμου
Καὶ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι ὦ Λακεδαιμόνιοι
καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ, ὥστε μήτε ἀπειρίᾳ
ἐπιθυμῆσαί τινα τοῦ ἔργου ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν, μήτε
ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα· εὕροιτε δ' ἂν τόνδε περὶ οὗ
νῦν βουλεύεσθε οὐκ ἂν ἐλάχιστον, εἰ σωφρόνως τις αὐτὸν

ἐκλογίζοιτο. πρὸς μὲν γὰρ τοὺς πελοποννησίους καὶ τοὺς ἀστυγεί-
τονας, παρόμοιος ἡμῶν ἡ ἀλκή· καὶ διὰ ταχέων οἷόν τε ἐφ' ἕ-
καστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας οἳ γῆν τε ἑκὰς ἔχουσι, καὶ προσέτι
θαλάσσης ἐμπειρότατοί εἰσι, καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα
ἐξήρτυνται πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ, καὶ ναυσὶ καὶ ἵπποις,
καὶ ὅπλοις, καὶ ὄχλῳ, ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ ἑλληνικῷ ἐστίν, ἔτι δὲ καὶ
ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ πρὸς τού-
τους ῥᾳδίως πόλεμον ἄρασθαι· καὶ τίνι πιστεύσαντας ἀπα-
ρασκεύους ἐπειχθῆναι· πότερον ταῖς ναυσίν; ἀλλ' ἥσσους ἐσμέν·
εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρασκευασόμεθα, χρόνος ἐνέσται·
ἀλλὰ τοῖς χρήμασι; ἀλλὰ πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν·
καὶ οὔτε ἐν κοινῷ ἔχομεν· οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν.
τάχ' ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ πλήθει ὑπερφέ-
ρομεν, ὥστε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες. τοῖς δὲ ἄλλη γῆ ἐστὶ
πολλὴ ἧς ἄρχουσι· καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξονται. εἰ δ' αὖ
τοὺς ξυμμάχους ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυ-
σὶ βοηθεῖν τὸ πλέον οὖσι νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος·
εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν, ἢ τὰς προσόδους ἀφαιρήσομεν,
ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλείω. κἀν τού-
τῳ οὐδὲ καταλύεσθαι ἔτι καλόν. ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι
μᾶλλον τῆς διαφορᾶς· μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώ-
μεθα, ὡς ταχὺ ὁ πόλεμος παυθήσεται, ἢν τὴν γῆν αὐτῶν τά-
μωμεν. δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπο-
λίπωμεν· οὕτως εἰκὸς ἀθηναίους φρονήματι μήτε τῇ γῇ δου-
λεῦσαι, μήτε ὥσπερ ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ. οὐ
μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω, τούς τε ξυμμάχους
ἡμῶν ἐᾶν βλάπτειν, καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν·
ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν· πέμπειν δὲ καὶ αἰτιᾶσθαι· μήτε
πόλεμον ἄγαν δηλοῦντας, μήθ' ὡς ἐπιτρέψομεν· κἀν τούτῳ

καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτυώμεθα· ξυμμάχων τε προσαγω-
γῇ καὶ Ἑλλήνων καὶ βαρβάρων· εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ
χρημάτων δύναμιν προσληψόμεθα· ἀνεπίφθονον δέ,
ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα, μὴ Ἕλ-
ληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασωθῆ-
ναι· καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα· καὶ ἢν μὲν ἐσακού-
σωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μή, δι-
ελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν, ἄμεινον ἤδη ἢν δοκῇ πε-
φραγμένοι ἴμεν ἐπ' αὐτούς· καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη
τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοῖα ὑποσημαίνοντας,
μᾶλλον ἂν εἴκοιεν· καὶ γῆν ἔτι ἄτμητον ἔχοντες· καὶ περὶ πα-
ρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι, μὴ
γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν· καὶ οὐχ ἧσσον
ὅσον ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον· καὶ
μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτούς, ἀληπτοτέρους ἔχειν· εἰ
γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες,
τεμοῦμεν αὐτήν, ὁρᾶτε, ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον
τῇ Πελοποννήσῳ πράξωμεν· ἐγκλήματα μὲν γὰρ καὶ πόλεων
καὶ ἰδιωτῶν, οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀ-
ραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅ τι χω-
ρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι· καὶ ἀνανδρία μηδενὶ
πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν, δοκείτω εἶναι· εἰσὶ γὰρ
καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι· καὶ
ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης· δι' ἣν
τὰ ὅπλα ὠφελεῖ· ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους·
πορισώμεθα οὖν πρῶτον αὐτήν· καὶ μὴ τοῖς τῶν ξυμμάχων
λόγοις πρότερον ἐπαιρώμεθα· οἵπερ δὲ καὶ τῶν ἀποβαι-
νόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν· οὗτοι
καὶ καθ' ἡσυχίαν τι αὐτῶν προΐδωμεν· καὶ τὸ βραδὺ καὶ μέλ-

ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε· σπεύδοντές τε
σχολαίτερον ἂν παύσαισθε διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ
ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα.
καὶ δύναται μάλιστα τοῦτο σωφροσύνη ἔμφρων εἶναι· μό
νοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν· καὶ ξυμφο
ραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐξοτρυνόντων
ἡμᾶς ἐπὶ τὰ δεινά, παρὰ τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα
ἡδονῇ· καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν μᾶλλον
ἀχθεσθέντες ἀνεπείσθημεν· πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ
εὔκοσμον γιγνόμεθα· τὸ μέν, ὅτι αἰδὼς σωφροσύνης πλεῖ
στον μετέχει· αἰσχύνης δὲ εὐψυχία· εὔβουλοι δὲ ἀμαθέστερον
τῶν νόμων τῆς ὑπεροψίας παιδευόμενοι· καὶ ξὺν χαλεπότητι
σωφρονέστερον, ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν· καὶ μὴ τὰ ἀχρεῖα ξυ
νετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς
μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι· νομίζειν δὲ τάς τε
τῶν πέλας διανοίας παραπλησίους εἶναι· καὶ τὰς προσπι
πτούσας τύχας, οὐ λόγῳ διαιρετάς· ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευο
μένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζόμεθα· καὶ οὐκ ἐξ
ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας· ἀλλ' ὡς
ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων· πολύ τε διαφέρειν
οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου· κράτιστον δὲ εἶναι ὅστις ἐν τοῖς ἀ
ναγκαιοτάτοις παιδεύεται· ταύτας οὖν ἃς οἱ πατέρες ἡμῖν παρέ
δοσαν μελέτας, καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν, μὴ
παρῶμεν· μηδὲ ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας, περὶ
πολλῶν σωμάτων καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βου
λεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν· ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων
διὰ ἰσχύν· καὶ πρὸς τοὺς ἀθηναίους πέμπετε μὲν περὶ τῆς πο
τιδαίας· πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοί φασιν ἀδικεῖ
σθαι· ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ

σθενελαΐδας

τὸν ἀδικοῦντα οὐ πρότερον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι· πα-
ρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα· ταῦτα γὰρ κράτιστα βου-
λεύσεσθε· καὶ τοῖς ἐναντίοις φοβερώτατα: καὶ ὁ μὲν ἀρχί-
δαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ σθενελαΐδας τελευταῖος
εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς λακεδαιμονίοις ὧδε·
τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν ἀθηναίων οὐ γιγνώσκω· ἐπαινέ-
σαντες γὰρ πολλὰ ἑαυτούς, οὐδαμοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι
τοὺς ἡμετέρους ξυμμάχους καὶ τὴν πελοπόννησον· καίτοι εἰ
πρὸς τοὺς μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δὲ ἡμᾶς κακοὶ
νῦν, διπλασίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ γε-
γένηνται· ἡμεῖς δὲ καὶ τότε καὶ νῦν ὅμοιοι ἐσμέν· καὶ τοὺς ξυμ-
μάχους ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικουμένους οὐδὲ
μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν· ἄλ-
λοις μὲν γὰρ χρήματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι· ἡμῖν δὲ
ξύμμαχοι ἀγαθοί· οὓς οὐ παραδοτέα τοῖς ἀθηναίοις ἐστίν· οὐ-
δὲ δίκαις καὶ λόγοις διακριτέα· μὴ λόγῳ καὶ αὐτοὺς βλαπτο-
μένους· ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει· καὶ ὡς ἡμᾶς
πρέπει βουλεύεσθαι ἀδικουμένους, μηδεὶς διδασκέτω· ἀλλὰ
τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πολὺν χρόνον πρέπει βουλεύ-
εσθαι· ψηφίζεσθε οὖν ὦ λακεδαιμόνιοι ἀξίως τῆς σπάρτης
τὸν πόλεμον, καὶ μήτε τοὺς ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι·
μήτε τοὺς ξυμμάχους καταπροδῶμεν· ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπί-
ωμεν ἐπὶ τοὺς ἀδικοῦντας: τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν
αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκκλησίαν τῶν λακεδαιμονίων· ὁ δέ,
κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ, οὐκ ἔφη διαγιγνώσκειν τὴν
βοὴν ὁποτέρα μείζων· ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς
ἀποδεικνυμένους τὴν γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι
ἔλεξεν· ὅτῳ μὲν ὦ λακεδαιμόνιοι δοκοῦσι λελύσθαι αἱ
σπονδαί· καὶ οἱ ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον

δείξας τι χωρίον αὐτοῖς· ὅτῳ δὲ μὴ δοκοῖ, ἐς τὰ ἐπὶ θάτερα·
ἀναστάντες δὲ διέστησαν· καὶ πολλῷ πλείους ἐγένοντο, οἷς ἐ-
δόκουν αἱ σπονδαὶ λελύσθαι· προσκαλέσαντές τε τοὺς ξυμ-
μάχους εἶπον· ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ ἀθηναῖοι· βου-
λεύεσθαι δέ· καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες τὴν
ψῆφον ἐπαγαγεῖν· ὅπως κοινῇ βουλευσάμενοι, τὸν πόλεμον ποι-
ῶνται ἢν δοκῇ· καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμε-
νοι ταῦτα· καὶ οἱ ἀθηναίων πρέσβεις ὕστερον ἐφ' ἅπερ ἦλ-
θον χρηματίσαντες· ἡ δὲ διάγνωσις αὕτη τῆς ἐκκλησίας, τοῦ
τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει
τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν· αἳ ἐγένοντο
μετὰ τὰ εὐβοϊκά· ἐψηφίσαντο δὲ οἱ λακεδαιμόνιοι τὰς σπον-
δὰς λελύσθαι καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων
πεισθέντες τοῖς λόγοις· ὅσον φοβούμενοι τοὺς ἀθηναίους μὴ
ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς ἑλλάδος
ὑποχείρια ἤδη ὄντα· οἱ γὰρ ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ
τὰ πράγματα ἐν οἷς ηὐξήθησαν· ἐπειδὴ μῆδοι ἀνεχώρησαν
ἐκ τῆς εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ τῶν ἑλλήνων·
καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς μυκάλην διεφθά-
ρησαν, λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν λακεδαιμονίων, ὅσπερ
ἡγεῖτο τῶν ἐν μυκάλῃ ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου, ἔχων
τοὺς ἀπὸ πελοποννήσου ξυμμάχους· οἱ δὲ ἀθηναῖοι καὶ οἱ ἀπὸ
ἰωνίας καὶ ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως,
ὑπομείναντες, σηστὸν ἐπολιόρκουν· μήδων ἐχόντων· καὶ ἐπι-
χειμάσαντες, εἷλον αὐτήν, ἐκλιπόντων τῶν βαρβάρων· καὶ μετὰ
τοῦτο ἀπέπλευσαν ἐξ ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις· ἀθη-
ναίων δὲ τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας
ἀπῆλθον, διεκομίζοντο εὐθύς, ὅθεν ὑπεξέθεντο παῖδας καὶ
γυναῖκας· καὶ τὴν περιοῦσαν κατασκευήν· καὶ τὴν πόλιν ἀνοικοδ-

μεῖν

παρεσκευάζοντο καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα ἑστήκει· καὶ οἰκίαι· αἱ μὲν πολλαὶ ἐπεπτώκεσαν· ὀλίγαι δὲ περιῆσαν ἐν αἷς αὐτοὶ ἐσκήνωσαν οἱ δυνατοὶ τῶν περσῶν. λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον, ἦλθον πρεσβείᾳ· τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ᾽ ἐκείνους μήτ᾽ ἄλλον μηδένα τεῖχος ἔχοντα· τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος· ὃ πρὶν οὐχ ὑπῆρχε· καὶ τὴν ἐς τὸν μηδικὸν πόλεμον τόλμαν γενομένην. ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν· ἀλλὰ καὶ τῶν ἔξω πελοποννήσου μᾶλλον ὅσοις ξυνειστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους· τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης, οὐ δηλοῦντες ἐς τοὺς ἀθηναίους· ὡς δὲ τοῦ βαρβάρου εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπ᾽ ἐχυροῦ ποθὲν ὥσπερ νῦν ἐκ τῶν θηβῶν ὁρμᾶσθαι. τήν τε πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν· οἱ δ᾽ ἀθηναῖοι θεμιστοκλέους γνώμῃ, τοὺς μὲν λακεδαιμονίους ταῦτ᾽ εἰπόντας, ἀποκρινάμενοι, ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δὲ ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ θεμιστοκλῆς ἐς τὴν λακεδαίμονα· ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις, μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ᾽ ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν τὸ τεῖχος ἱκανὸν ἄρωσιν· ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους. τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας· φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος ὅθεν τις ὠφελία ἔσται ἐς τὸ ἔργον· ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας καὶ ὑπειπὼν τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο· καὶ ἐς τὴν λακεδαίμονα ἐλθών, οὐ προσῄει πρὸς τὰς ἀρχάς· ἀλλὰ διῆγε καὶ προυφασίζετο· καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅτι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν· ἀσχολίας δέ τινος οὔσης

αὐτοῖς ὑπολειφθῆναι· προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν
καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν· οἱ δὲ ἀκούοντες τῷ μὲν
θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀ-
φικνουμένων καὶ σαφῶς κατηγορούντων, ὅτι τειχίζεταί τε
καὶ ἤδη ὕψος λαμβάνει· οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι·
γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι
ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστῶς
ἀπαγγελοῦσι σκεψάμενοι· ἀποστέλλουσιν οὖν· καὶ περὶ
αὐτῶν ὁ θεμιστοκλῆς τοῖς ἀθηναίοις κρύφα πέμπει· κε-
λεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν· καὶ μὴ ἀφεῖναι πρὶν
ἂν πάλιν αὐτοὶ κομισθῶσιν· ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμ-
πρέσβεις, ἀβρώνιχός τε ὁ λυσικλέους· καὶ ἀριστείδης ὁ λυ-
σιμάχου· ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος· ἐφοβεῖτο
γὰρ μὴ οἱ λακεδαιμόνιοι σφᾶς ὁπότε σαφῶς ἀκούσειαν, οὐ-
κέτι ἀφῶσιν· οἵ τε οὖν ἀθηναῖοι τοὺς ξυμπρέσβεις, ὥσπερ
ἐπεστάλη κατεῖχον· καὶ θεμιστοκλῆς ἐπελθὼν τοῖς λακεδαι-
μονίοις, ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν
τετείχισται ἤδη· ὥστε ἱκανὴ εἶναι σῴζειν τοὺς ἐνοικοῦντας·
εἰ δέ τι βούλονται λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι
παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι. τά τε
σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά· τήν τε γὰρ πόλιν ὅτε
ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι καὶ ἐς τὰς ναῦς ἐσβῆναι
ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι· καὶ ὅσα αὖ μετ᾽ ἐ-
κείνων βουλεύεσθαι, οὐδενὸς ὕστερον γνώμῃ φανῆναι· δο-
κεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος
ἔχειν· καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς ἄλλους ξυμμάχους
ὠφελιμώτερον ἔσεσθαι· οὐ γὰρ οἷόν τε εἶναι μὴ ἀπὸ ἀντι-
πάλου παρασκευῆς, ὁμοῖόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βου-
λεύεσθαι· ἢ πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν,

ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν· οἱ δὲ λακεδαιμόνιοι ἀ-
κούσαντες, ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς ἀθηναίοις·
οὐδὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοι-
νῷ ἐπρεσβεύοντο· ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε
διὰ τὴν πρὸς τὸν μῆδον προθυμίαν τὰ μάλιστα αὐτοῖς ἐτύ-
γχανον· τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες, ἀδήλως ἤχθον-
το· οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.
τοῦτον τὸν τρόπον οἱ ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ·
καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐ-
γένετο· οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται· καὶ οὐ
ξυνειργασμένων ἔστιν ᾗ· ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολ-
λαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελε-
γησαν· μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλε-
ως· καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες ἠπείγοντο· ἔπεισε
δὲ καὶ τοῦ πειραιῶς τὰ λοιπὰ ὁ θεμιστοκλῆς οἰκοδομεῖν·
ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς· ἧς κατ'
ἐνιαυτὸν ἀθηναίοις ἦρξε· νομίζων τό τε χωρίον καλὸν εἶναι
λιμένας ἔχοντα τρεῖς αὐτοφυεῖς· καὶ αὐτοὺς ναυτικοὺς γεγε-
νημένους, μέγα προφέρειν ἐς τὸ κτήσασθαι δύναμιν· τῆς
γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα
ἐστί· καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε· καὶ ᾠκοδόμη-
σαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους, ὅπερ νῦν ἔτι δῆ-
λόν ἐστι περὶ τὸν πειραιᾶ· δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλή-
λαις τοὺς λίθους ἐπῆγον· ἐντὸς δὲ οὔτε χάλιξ οὔτε πηλὸς
ἦν· ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι καὶ ἐντομῇ ἐγ-
γώνιοι· σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ
δεδεμένοι· τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενο-
εῖτο· ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς
τῶν πολεμίων ἐπιβουλάς· ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ

τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακήν· τοὺς δ' ἄλλους ἐς τὰς
ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο· ἰδὼν
ὡς ἐμοὶ δοκεῖ τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν
ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε πειραιᾶ
ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως· καὶ πολλάκις
τοῖς ἀθηναίοις παρῄνει ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, κα
ταβάντας ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. ἀ
θηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν· καὶ τἆλλα κατεσκευάζοντο εὐθὺς
μετὰ τὴν μήδων ἀναχώρησιν. παυσανίας δὲ ὁ κλεομβρό
του ἐκ λακεδαίμονος στρατηγὸς τῶν ἑλλήνων ἐξεπέμφθη
μετὰ εἴκοσι νεῶν ἀπὸ πελοποννήσου· ξυνέπλεον δὲ καὶ ἀ
θηναῖοι τριάκοντα ναυσί· καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος·
καὶ ἐστράτευσαν ἐς κύπρον· καὶ αὐτῆς τὰ πολλὰ κατεστρέ
ψαντο· καὶ ὕστερον ἐς βυζάντιον μήδων ἐχόντων· καὶ ἐ
ξεπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ. ἤδη δὲ βιαίου ὄντος
αὐτοῦ, οἵ τε ἄλλοι ἕλληνες ἤχθοντο· καὶ οὐχ ἥκιστα οἱ ἴωνες·
καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές
τε πρὸς τοὺς ἀθηναίους, ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν
γενέσθαι κατὰ τὸ ξυγγενές· καὶ παυσανίᾳ μὴ ἐπιτρέπειν
ἤν που βιάζηται. οἱ δὲ ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους καὶ
προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι· τἆλλά τε καταστη
σόμενοι ᾗ φαίνοιτο ἄριστα αὐτοῖς. ἐν τούτῳ δὲ οἱ λακεδαι
μόνιοι μετεπέμποντο τὸν παυσανίαν, ἀνακρινοῦντες ὧν
πέρι ἐπυνθάνοντο· καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ
ὑπὸ τῶν ἑλλήνων τῶν ἀφικνουμένων· καὶ τυραννίδος
μᾶλλον ἐφαίνετο μίμησις ἢ στρατηγία. ξυνέβη τε αὐτῷ
καλεῖσθαί τε ἅμα· καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει
παρὰ ἀθηναίους μετατάξασθαι πλὴν τῶν ἀπὸ πελοποννήσου
στρατιωτῶν. ἐλθὼν δὲ ἐς λακεδαίμονα, τῶν μὲν ἰδίᾳ

πρός τινα ἀδικήματα εὐθυνθῆ· τὰ δὲ μέγιστα ἀπολύεται
μὴ ἀδικεῖν· κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα μηδισμός·
καὶ ἐδόκει σαφέστατον εἶναι· καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκ-
πέμπουσιν ἄρχοντα· δόρκιν δὲ καὶ ἄλλους τινὰς μετ' αὐτοῦ
στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμ-
μαχοι τὴν ἡγεμονίαν· οἱ δὲ αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους
οὐκέτι ἐξέπεμψαν οἱ λακεδαιμόνιοι· φοβούμενοι μὴ
σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται· ὅπερ καὶ ἐν τῷ παυ-
σανίᾳ ἐνεῖδον· ἀπαλλαξείοντες δὲ καὶ τοῦ μηδικοῦ πολέ-
μου· καὶ τοὺς ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι·
καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους· παραλαβόντες
δὲ οἱ ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν
ξυμμάχων διὰ τὸ παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν
τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον· καὶ ἃς ναῦς·
πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν ἔπαθον δῃοῦντας τὴν βα-
σιλέως χώραν· καὶ ἑλληνοταμίαι τότε πρῶτον ἀθηναίοις
κατέστη ἀρχή· οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη
τῶν χρημάτων ἡ φορά· ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τε-
τρακόσια τάλαντα καὶ ἑξήκοντα· ταμιεῖόν τε δῆλος ἦν αὐτοῖς·
καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο· ἡγούμενοι δὲ αὐτονό-
μων τὸ πρῶτον τῶν ξυμμάχων, καὶ ἀπὸ κοινῶν ξυνόδων
βουλευόντων, τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ μεταχειρίσει
πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ μηδικοῦ, ἃ
ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς· καὶ πρὸς τοὺς σφετέ-
ρους ξυμμάχους νεωτερίζοντας· καὶ πελοποννησίων τοὺς αἰεὶ
προστυγχάνοντας ἐν ἑκάστῳ· ἔγραψα δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν
τοῦ λόγου ἐποιησάμην, διὰ τόδε· ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν
ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον· καὶ ἢ τὰ πρὸ τῶν μηδικῶν ἑλλη-
νικὰ ξυνετίθεσαν, ἢ αὐτὰ τὰ μηδικά· τούτων δὲ ὅσπερ

κατὰ τὸν ἀττικὸν ξυνέγραψεν ἑλλάνικος, βραχέως τε καὶ τοῖς
χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη· ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπό
δειξιν ἔχει τῆς τῶν ἀθηναίων ἐν οἵῳ τρόπῳ κατέστη· πρῶτον μὲν
ἠϊόνα τὴν ἐπὶ στρυμόνι μήδων ἐχόντων, πολιορκίᾳ εἷλον καὶ
ἠνδραπόδισαν, κίμωνος τοῦ μιλτιάδου στρατηγοῦντος· ἔπειτα
σκῦρον τὴν ἐν τῷ αἰγαίῳ νῆσον· ἣν ᾤκουν δόλοπες ἠνδραπόδισαν
καὶ ᾤκισαν αὐτοί· πρὸς δὲ καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων
εὐβοέων πόλεμος ἐγένετο· καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολο
γίαν· ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν· καὶ πολιορ
κίᾳ παρεστήσαντο· πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ κα
θεστηκὸς ἐδουλώθη· ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστῃ ξυνέ
βη· αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων· καὶ μέγισται αἱ
τῶν φόρων· καὶ νεῶν ἔκδειαι· καὶ λιποστράτιον εἴ τῳ ἐ
γένετο· οἱ γὰρ ἀθηναῖοι ἀκριβῶς ἔπρασσον· καὶ λυπηροὶ
ἦσαν οὐκ εἰωθόσιν, οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσα-
γαγόντες τὰς ἀνάγκας· ἦσαν δέ πως καὶ ἄλλως οἱ ἀθηναῖοι,
οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες· καὶ οὔτε ξυνεστράτευον
ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφι
σταμένους, ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι· διὰ γὰρ τὴν
ἀπόκνησιν ταύτην τῶν στρατειῶν, οἱ πλείους αὐτῶν ἵνα μὴ ἀπ'
οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν, τὸ ἱκνούμενον
ἀνάλωμα φέρειν· καὶ τοῖς μὲν ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν
ἀπὸ τῆς δαπάνης ἣν ἐκεῖνοι ξυμφέροιεν· αὐτοὶ δὲ ὁπότε ἀ
ποσταῖεν, ἀπαράσκευοι καὶ ἄπειροι ἐς τὸν πόλεμον καθί
σταντο· ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' εὐρυμέδοντι ποταμῷ,
ἐν παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία ἀθηναίων καὶ
τῶν ξυμμάχων πρὸς μήδους· καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ
ἀμφότερα ἀθηναῖοι κίμωνος τοῦ μιλτιάδου στρατηγοῦντος·
καὶ εἷλον τριήρεις φοινίκων· καὶ διέφθειραν τὰς πάσας·

διακοσίας. χρόνῳ δὲ ὕστερον ξυνέβη θασίους αὐτῶν ἀπο
στῆναι. διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας θρᾴκῃ ἐμ
πορίων καὶ τοῦ μετάλλου ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ
θάσον πλεύσαντες οἱ ἀθηναῖοι, ναυμαχίᾳ ἐκράτησαν· καὶ ἐς
τὴν γῆν ἀπέβησαν. ἐπὶ δὲ στρυμόνα πέμψαντες μυρίους
οἰκήτορας αὐτῶν. καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρό
νους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας ἐννέα ὁδούς,
νῦν δὲ ἀμφίπολιν. τῶν μὲν ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν
ἃς εἶχον ἠδωνοί. προελθόντες δὲ τῆς θρᾴκης ἐς μεσό
γαιαν. διεφθάρησαν ἐν δραβήσκῳ τῇ ἠδωνικῇ ὑπὸ τῶν
θρᾳκῶν ξυμπάντων. οἷς πολέμιον ἦν τὸ χωρίον καὶ ἐν τῇ
ὁδῷ κτιζόμενον. θάσιοι δὲ νικηθέντες μάχαις καὶ πολι
ορκούμενοι, λακεδαιμονίους ἐπεκαλοῦντο. καὶ ἐπαμύ
νειν ἐκέλευον ἐσβαλόντας ἐς τὴν ἀττικήν. οἱ δέ, ὑπέσχον
το μὲν κρύφα τῶν ἀθηναίων. καὶ ἔμελλον. διεκωλύθησαν
δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ. ἐν ᾧ καὶ οἱ εἵλωτες αὐτοῖς καὶ
τῶν περιοίκων, θουριᾶταί τε καὶ αἰθεῆς, ἐς ἰθώμην ἀπέ
στησαν. πλεῖστοι δὲ τῶν εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν με
σσηνίων δουλωθέντων τότε ἀπόγονοι. ᾗ καὶ μεσσήνιοι ἐκλήθησαν
οἱ πάντες. πρὸς μὲν οὖν τοὺς ἐν ἰθώμῃ, πόλεμος καθειστήκει
λακεδαιμονίοις. θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι, ὡμολόγη
σαν ἀθηναίοις τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες. χρή
ματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι. καὶ τὸ λοιπὸν φέρειν.
τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες. λακεδαιμόνιοι δέ ὡς
αὐτοῖς πρὸς τοὺς ἐν ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπε
καλέσαντο ξυμμάχους καὶ ἀθηναίους. οἱ δέ, ἦλθον κίμωνος
στρατηγοῦντος, πλήθει οὐκ ὀλίγῳ. μάλιστα δ᾽ αὐτοὺς ἐπεκαλέ
σαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι. τῆς δὲ πολιορ
κίας μακρᾶς καθεστηκυίας, τούτου ἐνδεᾶ ἐφαίνετο. βίᾳ γὰρ

ἂν εἷλον τὸ χωρίον· καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατιᾶς πρῶτον
λακεδαιμονίοις καὶ ἀθηναίοις φανερὰ ἐγένετο· οἱ γὰρ λα-
κεδαιμόνιοι ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν
ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιίαν, καὶ ἀλλοφύλους
ἅμα ἡγησάμενοι μή τι ἢν παραμείνωσιν ὑπὸ τῶν ἐν ἰθώμῃ πεισ-
θέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν· τὴν
μὲν ὑποψίαν οὐ δηλοῦντες· εἰπόντες δὲ ὅτι οὐδὲν προσδέονται
αὐτῶν ἔτι· οἱ δ' ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀ-
ποπεμπόμενοι· ἀλλά τινος ὑπόπτου γενομένου· καὶ δεινὸν
ποιησάμενοι καὶ οὐκ ἀξιώσαντες ὑπὸ τῶν λακεδαιμονίων
τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην
ξυμμαχίαν ἐπὶ τῷ μήδῳ πρὸς αὐτούς, ἀργείοις τοῖς ἐκείνων πο-
λεμίοις ξύμμαχοι ἐγένοντο· καὶ πρὸς θεσσαλοὺς ἅμα ἀμφο-
τέροις. οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη· οἱ δ' ἐν ἰθώμῃ δε-
κάτῳ ἔτει ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς
λακεδαιμονίους· ἐφ' ᾧ τε ἐξίασιν ἐκ πελοποννήσου ὑπόσπον-
δοι· καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ
λαβόντος εἶναι δοῦλον· ἦν δέ τι καὶ χρηστήριον τοῖς λακε-
δαιμονίοις καὶ πρὸ τοῦ, πυθικόν, τὸν ἱκέτην τοῦ διὸς τοῦ ἰθω-
μήτα ἀφιέναι· ἐξῆλθον δὲ αὐτοὶ καὶ παῖδες καὶ γυναῖκες:
καὶ αὐτοὺς ἀθηναῖοι δεξάμενοι κατὰ ἔχθος ἤδη τὸ λακεδαιμο-
νίων, ἐς ναύπακτον κατῴκισαν· ἣν ἔτυχον ᾑρηκότες νεωστὶ λο-
κρῶν τῶν ὀζολῶν ἐχόντων· προσεχώρησαν δὲ καὶ μεγαρῆς τοῖς
ἀθηναίοις ἐς ξυμμαχίαν, λακεδαιμονίων ἀποστάντες· ὅτι αὐ-
τοὺς κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον· καὶ ἔσχον ἀθη-
ναῖοι μέγαρα καὶ πηγάς· καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν
μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς νίσαιαν· καὶ ἐφρούρουν
αὐτοί· καὶ κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν
μῖσος ἤρξατο πρῶτον ἐς ἀθηναίους γενέσθαι· ἰνάρως δὲ ὁ

ψαμμητίχου λίβυς, βασιλεὺς λιβύων τῶν πρὸς αἰγύπτῳ, ὁρμώμενος ἐκ μαρείας τῆς ὑπὲρ φάρου πόλεως, ἀπέστησεν αἰγύπτου τὰ πλείω ἀπὸ βασιλέως ἀρταξέρξου· καὶ αὐτὸς ἄρχων γενόμενος ἀθηναίους ἐπηγάγετο· οἱ δὲ, ἔτυχον γὰρ ἐς κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων, ἦλθον ἀπολιπόντες τὴν κύπρον· καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες καὶ τῆς μέμφιδος τῶν δύο μερῶν πρὸς τὸ τρίτον μέρος ὃ καλεῖται λευκὸν τεῖχος, ἐπολέμουν· ἐνῆσαν δὲ αὐτόθι περσῶν καὶ μήδων οἱ καταφυγόντες καὶ αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς ἁλιὰς, πρὸς κορινθίους καὶ ἐπιδαυρίους μάχη ἐγένετο· καὶ ἐνίκων κορίνθιοι· καὶ ὕστερον ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ κεκρυφαλείᾳ πελοποννησίων ναυσὶ καὶ ἐνίκων ἀθηναῖοι· πολέμου δὲ καταστάντος πρὸς αἰγινήτας ἀθηναίοις, μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' αἰγίνῃ μεγάλη ἀθηναίων καὶ αἰγινητῶν· καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν· καὶ ἐνίκων ἀθηναῖοι· καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν, ἐς τὴν γῆν ἀπέβησαν καὶ ἐπολιόρκουν, λεωκράτους τοῦ στροίβου στρατηγοῦντος· ἔπειτα πελοποννήσιοι ἀμύνειν βουλόμενοι αἰγινήταις, ἐς μὲν τὴν αἴγιναν τριακοσίους ὁπλίτας πρότερον κορινθίων καὶ ἐπιδαυρίων ἐπικούρους διεβίβασαν· τὰ δὲ ἄκρα τῆς γερανείας κατέλαβον· καὶ ἐς τὴν μεγαρίδα κατέβησαν κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀδυνάτους ἔσεσθαι ἀθηναίους βοηθεῖν τοῖς μεγαρεῦσιν· ἔν τε αἰγίνῃ ἀπούσης στρατιᾶς πολλῆς καὶ ἐν αἰγύπτῳ· ἢν δὲ καὶ βοηθῶσιν ἀπ' αἰγίνης ἀναστήσεσθαι αὐτούς· οἱ δὲ ἀθηναῖοι, τὸ μὲν πρὸς αἰγίνῃ στράτευμα, οὐκ ἐκίνησαν· τῶν δὲ ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι, ἀφικνοῦνται ἐς τὰ μέγαρα μυρωνίδου στρατηγοῦντος·

καὶ μάχης γενομένης ἰσορρόπου πρὸς κορινθίους. διεκρί-
θησαν ἀπ' ἀλλήλων· καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον
ἔχειν ἐν τῷ ἔργῳ· καὶ οἱ μὲν ἀθηναῖοι ἐκράτησαν γάρ· ὅμως
μᾶλλον ἀπελθόντων τῶν κορινθίων τροπαῖον ἔστησαν· οἱ δὲ
κορίνθιοι κακιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων καὶ πα-
ρασκευασάμενοι ἡμέραις ὕστερον μάλιστα δώδεκα, ἐλθόντες
ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ ὡς νικήσαντες· καὶ οἱ ἀθηναῖοι
ἐκβοηθήσαντες ἐκ τῶν μεγάρων, τούς τε τὸ τροπαῖον ἱστάντας
διαφθείρουσι, καὶ τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν· οἱ δὲ
νικώμενοι, ὑπεχώρουν· καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσ-
βιασθὲν καὶ διαμαρτὸν τῆς ὁδοῦ, ἐσέπεσεν ἔς του χωρίον ἰδι-
ώτου. ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον· καὶ οὐκ ἦν ἔξοδος.
οἱ δὲ ἀθηναῖοι γνόντες κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις.
καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς, κατέλευσαν πάντας τοὺς
ἐσελθόντας· καὶ πάθος τοῦτο μέγα κορινθίοις ἐγένετο· τὸ δὲ
πλῆθος ἀπεχώρησεν τῆς στρατιᾶς αὐτοῖς ἐπ' οἴκου. ἤρξαντο
κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη ἐς θάλασσαν
ἀθηναῖοι οἰκοδομεῖν· τό τε φαληρόνδε καὶ τὸ ἐς πειραιᾶ·
καὶ φωκέων στρατευσάντων ἐς δωριᾶς τὴν λακεδαιμονίων
μητρόπολιν, βοιὸν καὶ κυτίνιον καὶ ἐρινεόν· καὶ ἑλόντων
ἓν τῶν πολισμάτων τούτων, οἱ λακεδαιμόνιοι νικομήδους τοῦ
κλεομβρότου ὑπὲρ πλειστοάνακτος τοῦ παυσανίου βασιλέ-
ως νέου ἔτι ὄντος, ἡγουμένου, ἐβοήθησαν τοῖς δωριεῦσι ἑ-
αυτῶν πεντακοσίοις καὶ χιλίοις ὁπλίταις· καὶ τῶν ξυμ-
μάχων μυρίοις· καὶ τοὺς φωκέας ὁμολογίᾳ ἀναγκάσαντες
ἀποδοῦναι τὴν πόλιν, ἀπεχώρουν πάλιν· καὶ κατὰ θάλασ-
σαν μὲν αὐτοὺς διὰ τοῦ κρισαίου κόλπου, εἰ βούλοιντο
περαιοῦσθαι, ἀθηναῖοι ναυσὶ περιπλεύσαντες, ἔμελλον
κωλύσειν· διὰ δὲ τῆς γερανείας οὐκ ἀσφαλὲς ἐφαίνετο

αὐτοῖς ἀθηναίων ἐχόντων μέγαρα καὶ πηγὰς πορεύεσθαι· δύ
σοδός τε γὰρ ἡ γεράνεια· καὶ ἐφρουρεῖτο αἰεὶ ὑπὸ ἀθηναίων·
καὶ τότε ᾐσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν·
ἔδοξε δ' αὐτοῖς ἐν βοιωτοῖς περιμείνασι σκέψασθαι ὅτῳ τρό
πῳ ἀσφαλέστατα διαπορεύσονται. τὸ δέ τι καὶ ἄνδρες τῶν
ἀθηναίων ἐπῆγον αὐτοὺς κρύφα· ἐλπίσαντες τὸν δῆμον κα
ταπαύσειν καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. ἐβοή
θησαν δὲ ἐπ' αὐτοὺς ἀθηναῖοι πανδημεὶ· καὶ ἀργείων χίλι
οι καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι· ξύμπαντες δὲ ἐγένοντο
τετρακισχίλιοι καὶ μύριοι. νομίσαντες δὲ ἀπορεῖν ὅπῃ δι
έλθωσιν ἐπεστράτευσαν αὐτοῖς· καί τι καὶ τοῦ δήμου κατα
λύσεως ὑποψίᾳ. ἦλθον δὲ καὶ θεσσαλῶν ἱππῆς τοῖς ἀθη
ναίοις κατὰ τὸ ξυμμαχικόν· οἳ μετέστησαν ἐν τῷ ἔργῳ πα
ρὰ τοὺς λακεδαιμονίους. γενομένης δὲ μάχης ἐν τανάγρᾳ
τῆς βοιωτίας ἐνίκων λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ φό
νος ἐγένετο ἀμφοτέρων πολύς· καὶ λακεδαιμόνιοι μὲν ἐς
τὴν μεγαρίδα ἐλθόντες καὶ δενδροτομήσαντες, πάλιν ἀπῆλ
θον ἐπ' οἴκου διὰ γερανείας καὶ ἰσθμοῦ. ἀθηναῖοι δὲ δευτέρᾳ
καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην, ἐστράτευσαν ἐς βοι
ωτοὺς μυρωνίδου στρατηγοῦντος· καὶ μάχῃ ἐν οἰνοφύτοις
τοὺς βοιωτοὺς νικήσαντες, τῆς τε χώρας ἐκράτησαν τῆς βοι-
ωτίας καὶ φωκίδος· καὶ ταναγραίων τὸ τεῖχος περιεῖλον· καὶ
λοκρῶν τῶν ὀπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλου
σιωτάτους ἔλαβον· τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἀπε
τέλεσαν. ὡμολόγησαν δὲ καὶ αἰγινῆται μετὰ ταῦτα τοῖς ἀ
θηναίοις· τείχη τε περιελόντες καὶ ναῦς παραδόντες· φόρον
τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. καὶ πελοπόννησον περιέ-
πλευσαν ἀθηναῖοι τολμίδου τοῦ τολμαίου στρατηγοῦντος·
καὶ τὸ νεώριον τὸ λακεδαιμονίων ἐνέπρησαν· καὶ χαλκίδα

κορινθίων πόλιν εἷλον· καὶ σικυωνίους ἐν ἀποβάσει τῆς γῆς
μάχῃ ἐκράτησαν· οἱ δ' ἐν τῇ αἰγύπτῳ ἀθηναῖοι καὶ οἱ ξύμ-
μαχοι ἐπέμενον· καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κα-
τέστησαν. τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς αἰγύπτου οἱ ἀθη-
ναῖοι· καὶ βασιλεὺς πέμπει ἐς λακεδαίμονα μεγάβαζον
ἄνδρα πέρσην χρήματα ἔχοντα ὅπως ἐς τὴν ἀττικὴν ἐσ-
βαλεῖν πεισθέντων τῶν πελοποννησίων, ἀπ' αἰγύπτου ἀπα-
γάγῃ ἀθηναίους· ὡς δὲ αὐτῷ οὐ προυχώρει καὶ τὰ χρήματα
ἄλλως ἀναλοῦτο, ὁ μὲν μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρη-
μάτων, πάλιν ἐς τὴν ἀσίαν ἐκομίσθη· μεγάβαζον δὲ τὸν
ζωπύρου πέμπει ἄνδρα πέρσην, μετὰ στρατιᾶς πολλῆς· ὃς
ἀφικόμενος κατὰ γῆν, τούς τε αἰγυπτίους καὶ τοὺς ξυμμάχους
μάχῃ ἐκράτησε· καὶ ἐκ τῆς μέμφιδος ἐξήλασε τοὺς ἕλληνας·
καὶ τέλος ἐς προσωπίτιδα τὴν νῆσον, κατέκλῃσε· καὶ ἐπο-
λιόρκει ἐν αὐτῇ ἐνιαυτὸν, καὶ ἓξ μῆνας, μέχρι οὗ ξηράνας
τὴν διώρυχα καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ, τάς τε ναῦς ἐπὶ
τοῦ ξηροῦ ἐποίησε· καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον· καὶ
διαβὰς εἷλε τὴν νῆσον πεζῇ· οὕτω μὲν τὰ τῶν ἑλλήνων
πράγματα διεφθάρη ἓξ ἔτη πολεμήσαντα· καὶ ὀλίγοι ἀπὸ
πολλῶν πορευόμενοι διὰ τῆς λιβύης, ἐς κυρήνην ἐσώθησαν·
οἱ δὲ πλεῖστοι ἀπώλοντο· αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέα
ἐγένετο· πλὴν ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον
διὰ μέγεθός τε τοῦ ἕλους, οὐκ ἐδύναντο ἑλεῖν· καὶ ἅμα μα-
χιμώτατοί εἰσι τῶν αἰγυπτίων οἱ ἕλειοι· ἰνάρως δὲ ὁ λιβύων
βασιλεὺς ὃς τὰ πάντα ἔπραξε περὶ τῆς αἰγύπτου, προδοσίᾳ
ληφθεὶς ἐσταυρώθη· ἐκ δὲ τῶν ἀθηναίων καὶ τῆς ἄλλης ξυμ-
μαχίδος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς αἴγυ-
πτον, ἔσχον κατὰ τὸ μενδήσιον κέρας· οὐκ εἰδότες τῶν
γεγενημένων οὐδέν· καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες,

πεζοὶ καὶ ἐκ θαλάσσης φοινίκων ναυτικῷ. διέφθειραν τὰς
πολλὰς τῶν νεῶν· αἱ δὲ ἐλάσσους διέφυγον πάλιν. τὰ μὲν δὴ
κατὰ τὴν μεγάλην στρατείαν ἀθηναίων τε καὶ τῶν ξυμμά-
χων ἐς αἴγυπτον, οὕτως ἐτελεύτησεν. ἐκ δὲ θεσσαλίας ὀρέστης
ὁ ἐχεκρατίδου υἱὸς τοῦ θεσσαλῶν βασιλέως φεύγων, ἔπει-
σεν ἀθηναίους αὐτὸν κατάγειν. καὶ παραλαβόντες τοὺς βοιω-
τοὺς φωκέων ὄντας ξυμμάχους οἱ ἀθηναῖοι, ἐστράτευσαν
τῆς θεσσαλίας ἐπὶ φάρσαλον. καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα
μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων. οἱ γὰρ ἱππῆς τῶν θεσ-
σαλῶν εἶργον. τὴν δὲ πόλιν οὐχ εἷλον. οὐδ᾽ ἄλλο προυχώρει
αὐτοῖς οὐδὲν ὧν ἕνεκα ἐστράτευσαν. ἀλλ᾽ ἀπεχώρησαν πά-
λιν ὀρέστην ἔχοντες ἄπρακτοι. μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕ-
στερον χίλιοι ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν πηγαῖς, ἐπιβάν-
τες. εἶχον δ᾽ αὐτοὶ τὰς πηγάς, παρέπλευσαν ἐς σικυῶνα,
περικλέους τοῦ ξανθίππου στρατηγοῦντος. καὶ ἀποβάντες
σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. καὶ εὐθὺς
παραλαβόντες ἀχαιοὺς καὶ διαπλεύσαντες πέραν τῆς ἀ-
καρνανίας ἐς οἰνιάδας ἐστράτευσαν καὶ ἐπολιόρκουν. οὐ
μέντοι γε εἷλον. ἀλλ᾽ ἀπεχώρησαν ἐπ᾽ οἴκου. ὕστερον δὲ δια-
λιπόντων ἐτῶν τριῶν, σπονδαὶ γίγνονται πελοποννησίοις καὶ
ἀθηναίοις πεντέτεις. καὶ ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ
ἀθηναῖοι. ἐς δὲ κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις, αὐ-
τῶν τε καὶ τῶν ξυμμάχων κίμωνος στρατηγοῦντος. καὶ ἑξή-
κοντα μὲν νῆες ἐς αἴγυπτον ἀπ᾽ αὐτῶν ἔπλευσαν, ἀμυρταίου
μεταπέμποντος, τοῦ ἐν τοῖς ἕλεσι βασιλέως. αἱ δὲ ἄλλαι
κίτιον ἐπολιόρκουν. κίμωνος δὲ ἀποθανόντος καὶ λιμοῦ
γενομένου, ἀπεχώρησαν ἀπὸ κιτίου. καὶ πλεύσαντες ὑπὲρ
σαλαμῖνος τῆς ἐν κύπρῳ. φοίνιξι καὶ κίλιξιν ἐναυμά-
χησαν. καὶ ἐπεζομάχησαν ἅμα. καὶ νικήσαντες ἀμφότερα

n

ἀπεχώρησαν ἐπ' οἴκου· καὶ αἱ ἐξ αἰγύπτου νῆες πάλιν ἐλθοῦσαι
μετ' αὐτῶν· λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν κα-
λούμενον πόλεμον ἐστράτευσαν· καὶ κρατήσαντες τοῦ ἐν
δελφοῖς ἱεροῦ, παρέδοσαν δελφοῖς· καὶ αὖθις ὕστερον ἀ-
θηναῖοι ἀποχωρησάντων αὐτῶν, στρατεύσαντες καὶ κρα-
τήσαντες, παρέδοσαν φωκεῦσι· καὶ χρόνου ἐγγενομένου
μετὰ ταῦτα, ἀθηναῖοι βοιωτῶν φευγόντων, ἐχόντων ὀρχο-
μενὸν καὶ χαιρώνειαν, καὶ ἄλλ' ἄττα χωρία τῆς βοιωτίας,
ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις ὁπλίταις· τῶν δὲ ξυμμά-
χων ὡς ἑκάστοις, ἐπὶ τὰ χωρία ταῦτα πολέμια ὄντα· τολ-
μίδου τοῦ τολμαίου στρατηγοῦντος· καὶ χαιρώνειαν ἑλόν-
τες, ἀπεχώρουν φυλακὴν καταστήσαντες· πορευομένοις δ'
αὐτοῖς ἐν κορωνείᾳ, ἐπιτίθενται οἵ τε ἐκ τῆς ὀρχομενοῦ φυ-
γάδες βοιωτῶν· καὶ λοκροὶ μετ' αὐτῶν καὶ εὐβοέων φυγά-
δες, καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες
τοὺς μὲν, διέφθειραν τῶν ἀθηναίων, τοὺς δὲ ζῶντας ἔλαβον·
καὶ τὴν βοιωτίαν ἐξέλιπον πᾶσαν οἱ ἀθηναῖοι, σπονδὰς
ποιησάμενοι, ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται· καὶ οἱ φεύγοντες
βοιωτῶν κατελθόντες καὶ οἱ ἄλλοι πάντες, αὐτόνομοι πάλιν
ἐγένοντο· μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον εὔβοια ἀπέστη ἀπὸ
ἀθηναίων· καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη περικλέους στρα-
τιᾷ ἀθηναίων, ἠγγέλθη αὐτῷ ὅτι μέγαρα ἀφέστηκε· καὶ πελο-
ποννήσιοι μέλλουσιν ἐσβαλεῖν ἐς τὴν ἀττικήν· καὶ οἱ φρουροὶ
ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ μεγαρέων· πλὴν ὅσοι ἐς νί-
σαιαν ἀπέφυγον· ἐπαγαγόμενοι δὲ κορινθίους καὶ σικυω-
νίους, καὶ ἐπιδαυρίους, ἀπέστησαν οἱ μεγαρῆς· ὁ δὲ περι-
κλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς εὐβοίας·
καὶ μετὰ τοῦτο οἱ πελοποννήσιοι τῆς ἀττικῆς ἐς ἐλευσῖνα καὶ
θριῶζε ἐσβαλόντες, ἐδῄωσαν· πλειστοάνακτος τοῦ παυσανί-

βασιλέως λακεδαιμονίων ἡγουμένου· καὶ τὸ πλέον οὐκέτι προ-
ελθόντες ἀπεχώρησαν ἐπ' οἴκου· καὶ ἀθηναῖοι πάλιν ἐς εὔ-
βοιαν διαβάντες, περικλέους στρατηγοῦντος, κατεστρέψαν-
το πᾶσαν· καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο· ἑστιαι-
ᾶς δὲ ἐξοικίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον· ἀναχωρήσαντες δὲ
ἀπὸ εὐβοίας οὐ πολλῷ ὕστερον, σπονδὰς ἐποιήσαντο πρὸς
λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις· ἀποδόν-
τες νίσαιαν καὶ πηγὰς καὶ τροιζῆνα καὶ ἀχαΐαν· ταῦτα γὰρ
εἶχον ἀθηναῖοι πελοποννησίων. ἕκτῳ δὲ ἔτει σαμίοις καὶ
μιλησίοις πόλεμος ἐγένετο περὶ πριήνης· καὶ οἱ μιλήσιοι
ἐλασσούμενοι τῷ πολέμῳ, παρ' ἀθηναίους ἐλθόντες, κατε-
βόων τῶν σαμίων· ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς
σάμου ἄνδρες ἰδιῶται, βουλόμενοι νεωτερίσαι τὴν πολιτεί-
αν· πλεύσαντες οὖν ἀθηναῖοι ἐς σάμον ναυσὶ τεσσαράκοντα,
δημοκρατίαν κατέστησαν· καὶ ὁμήρους ἔλαβον τῶν σαμίων
πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας· καὶ κατέθεντο ἐς
λῆμνον· καὶ φρουρὰν ἐγκαταλιπόντες ἀνεχώρησαν· τῶν δὲ
σαμίων, ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμενον, ἀλλ' ἔφυγον ἐς τὴν
ἤπειρον, ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις καὶ
πισσούθνῃ τῷ ὑστάσπου ξυμμαχίαν, ὃς εἶχε σάρδεις τότε, ἐπι-
κούρους τε ξυλλέξαντες ἐς ἑπτακοσίους, διέβησαν ὑπὸ νύ-
κτα ἐς τὴν σάμον· καὶ πρῶτον μὲν τῷ δήμῳ ἐπανέστησαν
καὶ ἐκράτησαν τῶν πλείστων· ἔπειτα τοὺς ὁμήρους κλέψαν-
τες ἐκ λήμνου τοὺς αὐτῶν, ἀπέστησαν· καὶ τοὺς φρουροὺς τοὺς ἀ-
θηναίων καὶ τοὺς ἄρχοντας, οἳ ἦσαν παρὰ σφίσιν, ἐξέδοσαν
πισσούθνῃ· ἐπί τε μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν·
ξυναπέστησαν δὲ αὐτοῖς καὶ βυζάντιοι· ἀθηναῖοι δὲ ὡς ᾔσθοντο,
πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ σάμου, ταῖς μὲν ἑκκαίδεκα
τῶν νεῶν οὐκ ἐχρήσαντο· ἔτυχον γὰρ αἱ μὲν ἐπὶ καρίας ἐς προ-

σκοπὴν

τῶν φοινισσῶν νεῶν οἰχόμεναι· αἱ δὲ, ἐπὶ χίου καὶ λέσβου πε-
ριαγγέλλουσαι βοηθεῖν· τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι
περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος, ἐναυμάχησαν
πρὸς τραγίᾳ τῇ νήσῳ, σαμίων ναυσὶν ἑβδομήκοντα· ὧν ἦ-
σαν αἱ εἴκοσι στρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ μιλή-
του πλέουσαι· καὶ ἐνίκων ἀθηναῖοι· ὕστερον δὲ αὐτοῖς ἐβοήθησαν
ἐκ τῶν ἀθηνῶν νῆες τεσσαράκοντα· καὶ χίων καὶ λεσβίων
πέντε καὶ εἴκοσι· καὶ ἀποβάντες καὶ κρατοῦντες τῷ πεζῷ, ἐ-
πολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν· καὶ ἐκ θαλάσσης ἅμα·
περικλῆς δὲ λαβὼν ἑξήκοντα ναῦς, ἀπὸ τῶν ἐφορμουσῶν,
ᾤχετο κατὰ τάχος ἐπὶ καύνου καὶ καρίας, ἐσαγγελθέν-
των, ὅτι φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ
ἐκ τῆς σάμου πέντε ναυσὶ στησαγόρας καὶ ἄλλοι ἐπὶ τὰς φοινίσ-
σας· ἐν τούτῳ δὲ οἱ σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησά-
μενοι ἀφάρκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες, τάς τε προφυ-
λακίδας ναῦς διέφθειραν· καὶ ναυμαχοῦντες, τὰς ἀντα-
ναγομένας ἐνίκησαν· καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς, ἐ-
κράτησαν ἡμέρας περὶ τέσσαρας καὶ δέκα· καὶ ἐσεκομί-
σαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο· ἐλθόντος δὲ περι-
κλέους ταῖς ναυσὶ κατεκλήσθησαν· καὶ ἐκ τῶν ἀθηνῶν ὕ-
στερον προσεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ θουκυ-
δίδου· καὶ ἅγνωνος καὶ φορμίωνος νῆες· εἴκοσι δὲ αἱ
μετὰ τληπολέμου καὶ ἀντικλέους· ἐκ δὲ χίου καὶ λέσβου,
τριάκοντα· καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο
οἱ σάμιοι· ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν, ἐξεπολιορκήθησαν
ἐνάτῳ μηνί· καὶ προσεχώρησαν ὁμολογίᾳ· τεῖχός τε καθε-
λόντες καὶ ὁμήρους δόντες καὶ ναῦς παραδόντες καὶ χρήματα
τὰ ἀναλωθέντα, κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι· ξυνέ-
βησαν δὲ καὶ βυζάντιοι ὥσπερ καὶ πρότερον ὑπήκοοι εἶναι·

μετὰ ταῦτα δὲ οὐ πολλοῖς ἔτεσιν ὕστερον, γίγνεται τὰ προειρη-
μένα κερκυραϊκὰ καὶ τὰ ποτιδαιατικά· καὶ ὅσα πρόφα-
σις τοῦδε τοῦ πολέμου κατέστη· ταῦτα δὲ ξύμπαντα ὅσα ἔ-
πραξαν οἱ ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον, ἐγέ-
νετο ἐν ἔτεσι πεντήκοντα μάλιστα, μεταξὺ τῆς ξέρξου ἀνα-
χωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς ἀθηναῖ-
οι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο· καὶ αὐτοὶ ἐπὶ μέ-
γα ἐχώρησαν δυνάμεως· οἱ δὲ λακεδαιμόνιοι αἰσθόμενοι,
οὔτε ἐκώλυον εἰ μὴ ἐπὶ βραχύ· ἡσύχαζόν τε τὸ πλέον
τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς
πολέμους εἰ μὴ ἀναγκάζοιντο· τὸ δέ τι καὶ πολέμοις οἰ-
κείοις ἐξειργόμενοι· πρὶν δὴ ἡ δύναμις τῶν ἀθηναίων
σαφῶς ἤρετο· καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο· τότε δὲ οὐκ-
έτι ἀνασχετὸν ἐποιοῦντο· ἀλλ' ἐπιχειρητέα εἶναι ἐδό-
κει πάσῃ προθυμίᾳ· καὶ καθαιρετέα ἡ ἰσχὺς ἢν δύνωνται
ἀραμένοις τόνδε τὸν πόλεμον· αὐτοῖς μὲν οὖν τοῖς λακε-
δαιμονίοις διέγνωστο λελύσθαι τὰς σπονδὰς καὶ τοὺς ἀ-
θηναίους ἀδικεῖν· πέμψαντες δὲ ἐς δελφοὺς ἐπηρώτων τὸν
θεόν, εἰ πολεμοῦσιν ἄμεινον ἔσται· ὁ δὲ ἀνεῖλεν αὐτοῖς ὡς
λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι· καὶ αὐτὸς
ἔφη ξυλλήψεσθαι· καὶ παρακαλούμενος, καὶ ἄκλητος· αὖ-
θις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες, ψῆφον ἐβούλον-
το ἐπαγαγεῖν εἰ χρὴ πολεμεῖν· καὶ ἐλθόντων τῶν πρέσβεων
ἀπὸ τῆς ξυμμαχίας καὶ ξυνόδου γενομένης, οἵ τε ἄλλοι
εἶπον ἃ ἐβούλοντο κατηγοροῦντες οἱ πλείους τῶν ἀθηναί-
καὶ τὸν πόλεμον ἀξιοῦντες γίγνεσθαι· καὶ οἱ κορίνθιοι δε-
ηθέντες μὲν καὶ κατὰ πόλεις, πρότερον ἑκάστων ἰδίᾳ ὥστε
ψηφίσασθαι τὸν πόλεμον, δεδιότες περὶ τῇ ποτιδαίᾳ
μὴ προδιαφθαρῇ· παρόντες δὲ καὶ τότε καὶ τελευταῖοι

ἐπελθόντες, ἔλεγον τοιάδε· Δημηγορία Κορινθίων

Τοὺς μὲν Λακεδαιμονίους ὦ ἄνδρες ξύμμαχοι οὐκ ἂν αἰτια-
σαίμεθα, ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰ-
σι, καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυναγαγόντες· χρὴ γὰρ τοὺς ἡγεμό-
νας τὰ ἴδια ἐξ ἴσου νέμοντας, τὰ κοινὰ προσκοπεῖν, ὥσπερ
καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται· ἡμῶν δὲ ὅσοι μὲν Ἀθη-
ναίοις ἤδη ἐνηλλάγησαν, οὐχὶ διδαχῆς δέονται ὥστε φυλά-
ξασθαι αὐτούς· τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ
κατῳκημένους, εἰδέναι χρὴ ὅτι τοῖς κάτω ἢν μὴ ἀμύνωσι,
χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν ὡραίων· καὶ πά-
λιν ἀντίληψιν ὧν ἡ θάλασσα τῇ ἠπείρῳ δίδωσι· καὶ τῶν νῦν λε-
γομένων μὴ κακοὺς κριτὰς ὡς μὴ προσηκόντων εἶναι· προσ-
δέχεσθαι δέ ποτε εἰ τὰ κάτω πρόοιντο κἂν μέχρι σφῶν τὸ δεινὸν
προελθεῖν· καὶ περὶ αὐτῶν οὐχ ἧσσον νῦν βουλεύεσθαι· δι' ὅπερ
καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ' εἰρήνης μεταλαμ-
βάνειν· ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν εἰ μὴ ἀδικοῖντο,
ἡσυχάζειν· ἀγαθῶν δὲ ἀδικουμένους ἐκ μὲν εἰρήνης πολε-
μεῖν· εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν ξυμβῆναι· καὶ
μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσυχίῳ
τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι· ὅ τε γὰρ διὰ τὴν ἡδονὴν
ὀκνῶν, τάχιστ' ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν δι' ὅ-
περ ὀκνεῖ εἰ ἡσυχάζοι· ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων,
οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος· πολλὰ γὰρ
κακῶς γνωσθέντα, ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα
κατωρθώθη· καὶ ἔτι πλείω καλῶς δοκοῦντα βουλευθῆναι
ἐς τοὐναντίον αἰσχρῶς περιέστη· ἐνθυμεῖται γὰρ οὐδεὶς ὁ-
μοίᾳ τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται· ἀλλὰ μετ' ἀσφα-
λείας μὲν δοξάζομεν· μετὰ δέους δὲ ἐν τῷ ἔργῳ ἐλλείπομεν·
ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγείρομεν καὶ

ἱκανὰ ἔχοντες ἐγκλήματα· καὶ ὅταν ἀμυνώμεθα ἀθη-
ναίους, καταθησόμεθα αὐτὸν ἐν καιρῷ· κατὰ πολλὰ δὲ
εἰκὸς ἡμᾶς ἐπικρατῆσαι· πρῶτον μὲν πλήθει προύχοντας
καὶ ἐμπειρίᾳ πολεμικῇ· ἔπειτα ὁμοίως πάντας ἐς τὰ πα-
ραγγελλόμενα ἰόντας· ναυτικόν τε ᾧ ἰσχύουσιν, ἀπὸ τῆς ὑ-
παρχούσης τε ἑκάστοις οὐσίας ἐξαρτυσόμεθα· καὶ ἀπὸ
τῶν ἐν δελφοῖς καὶ ὀλυμπίᾳ χρημάτων· δάνεισμα γὰρ
ποιησάμενοι ὑπολαβεῖν οἷοί τε ἐσμὲν μισθῷ μείζονι τοὺς
ξένους αὐτῶν ναυβάτας· ὠνητὴ γὰρ ἀθηναίοις ἡ δύναμις
μᾶλλον ἢ οἰκεία· ἡ δὲ ἡμετέρα ἧσσον ἂν τοῦτο πάθοι τοῖς
σώμασι τὸ πλέον ἰσχύουσα ἢ τοῖς χρήμασι· μιᾷ τε νίκῃ
ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται· εἰ δ' ἀντίσχοιεν, μελε-
τήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικά· καὶ
ὅταν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστήσωμεν, τῇ εὐψυχίᾳ δή-
που περιεσόμεθα· ὃ γὰρ ἡμεῖς ἔχομεν φύσει ἀγαθόν, ἐκείνοις
οὐκ ἂν γένοιτο διδαχῇ· ὃ δ' ἐκεῖνοι ἐπιστήμῃ προύχουσι,
καθαιρετὸν ἡμῖν ἐστὶ μελέτῃ· χρήματα δὲ ὥστε ἔχειν ἐς αὐ-
τὰ οἴσομεν· ἢ δεινὸν ἂν εἴη· εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι ἐπὶ
δουλείᾳ τῇ αὐτῶν φέροντες οὐκ ἀπεροῦσιν· ἡμεῖς δὲ ἐ-
πὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι,
οὐκ ἄρα δαπανήσομεν· καὶ ἐπὶ τῷ μὴ ὑπ' ἐκείνων αὐτὰ
ἀφαιρεθέντες αὐτοῖς τούτοις κακῶς πάσχειν· ὑπάρχουσι
δὲ καὶ ἄλλαι ὁδοὶ τοῦ πολέμου ἡμῖν· ξυμμάχων τε ἀπόστα-
σις, μάλιστα παραίρεσις οὖσα τῶν προσόδων αἷς ἰσχύουσι
καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ· ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν προΐ-
δοι· ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ· αὐτὸς δὲ ἀφ'
αὐτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχάνον· ἐν ᾧ ὁ μὲν
εὐοργήτως αὐτῷ προσομιλήσας, βεβαιότερος· ὁ δ' ὀργι-
σθεὶς περὶ αὐτὸν οὐκ ἐλάσσω πταίει· ἐνθυμώμεθα δὲ καὶ

ὅτι εἰ μὲν ἦσαν ἡμῶν ἑκάστοις πρὸς ἀντιπάλους περὶ γῆς
ὅρων διαφοραί, οἰστὸν ἂν ἦν· νῦν δὲ πρὸς ξύμπαντάς
τε ἡμᾶς ἀθηναῖοι ἱκανοί· καὶ κατὰ πόλιν ἔτι δυνατώτεροι·
ὥστε εἰ μὴ καὶ ἀθρόοι καὶ κατὰ ἔθνη ἕκαστον ἄστυ μιᾷ γνώ-
μῃ ἀμυνούμεθα αὐτούς, δίχα γε ὄντας ἡμᾶς ἀπόνως χειρώ-
σονται· καὶ τὴν ἧσσαν εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο
τι φέρουσαν, ἢ ἄντικρυς δουλείαν· ὃ καὶ λόγῳ ἐνδοιασθῆναι
αἰσχρὸν τῇ πελοποννήσῳ· καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς
κακοπαθεῖν· ἐν ᾧ ἢ δικαίως ἂν δοκοῖμεν πάσχειν, ἢ διὰ
δειλίαν ἀνέχεσθαι καὶ τῶν πατέρων χείρους φαίνεσθαι οἳ τὴν
ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ᾽ ἡμῖν αὐτοῖς βεβαιοῦ-
μεν αὐτό, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι πόλιν· τοὺς δ᾽
ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλύειν· καὶ οὐκ ἴσμεν ὅ-
πως τάδε τριῶν τῶν μεγίστων ξυμφορῶν οὐκ ἀπήλλακται·
ἀξυνεσίας ἢ μαλακίας ἢ ἀμελείας· οὐ γὰρ δὴ πεφευγό-
τες ταῦτα ἐπὶ τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν
κεχωρήκατε· ἣ ἐκ τοῦ πολλοὺς σφάλλειν, τὸ ἐναντίον ὄνομα
ἀφροσύνη μετωνόμασται· τὰ μὲν οὖν προγεγενημένα
τί δεῖ μακρότερον ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει αἰτιᾶσθαι·
περὶ δὲ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι βοηθοῦντας,
χρὴ ἐπιταλαιπωρεῖν· πάτριον γὰρ ὑμῖν ἐκ τῶν πόνων τὰς
ἀρετὰς κτᾶσθαι· καὶ μὴ μεταβάλλειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ
τε νῦν καὶ ἐξουσίᾳ, ὀλίγον προφέρετε· οὐ γὰρ δίκαιον ἃ
τῇ ἀπορίᾳ ἐκτήθη, τῇ ἀπουσίᾳ ἀπολέσθαι· ἀλλὰ θαρσοῦν-
τας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος
καὶ αὐτοῦ ὑποσχομένου ξυλλήψεσθαι, καὶ τῆς ἄλλης ἑλλά-
δος πάσης ξυναγωνιουμένης· τὰ μὲν φόβῳ· τὰ δὲ ὠφελίᾳ·
σπονδάς τε οὐ λύσετε πρότεροι· ἅς γε καὶ ὁ θεὸς κελεύων πο-
λεμεῖν νομίζει παραβεβάσθαι· ἠδικημέναις δὲ μᾶλλον

βοηθήσετε. λύουσι γὰρ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότε
ρον ἐπιόντες. ὥστε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πο
λεμεῖν. καὶ ἡμῶν τάδε κοινῇ παραινούντων, εἴπερ βε
βαιότατον τὸ ταὐτὰ ξυμφέροντα καὶ πόλεσι καὶ ἰδιώταις
εἶναι, μὴ μέλλετε ποτιδεάταις τε ποιοῦντες τιμωρίαν. καὶ
ὑπὸ ἰώνων πολιορκουμένοις οὗ πρότερον ἦν τοὐναντίον. καὶ
καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν. ὡς οὐκέτι ἐνδέ
χεται περιμένοντας τοὺς μὲν, ἤδη βλάπτεσθαι. τοὺς δ' εἰ γνω
σθησόμεθα ξυνελθόντες μὲν, ἀμύνεσθαι δὲ οὐ τολμῶντες, καὶ
μὴ πολὺ ὕστερον τὸ αὐτὸ πάσχειν. ἀλλὰ νομίσαντες ἐς ἀνά
γκην ἀφῖχθαι ὦ ἄνδρες ξύμμαχοι, καὶ ἅμα τάδε ἄρι
στα λέγεσθαι, ψηφίσασθε τὸν πόλεμον. μὴ φοβηθέντες τὸ
αὐτίκα δεινόν. τῆς δὲ ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυ
μήσαντες. ἐκ πολέμου μὲν γὰρ εἰρήνη βεβαιοῦται μᾶλλον.
ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον.
καὶ τὴν καθεστηκυῖαν ἐν τῇ ἑλλάδι πόλιν τύραννον, ἡγησά
μενοι ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι, ὥστε τῶν μὲν ἤδη ἄρ
χειν, τῶν δὲ, διανοεῖσθαι, παραστησώμεθα ἐπελθόντες. καὶ
αὐτοί τε ἀκινδύνως τὸ λοιπὸν οἰκῶμεν. καὶ τοὺς νῦν δεδου
λωμένους ἕλληνας ἐλευθερώσωμεν. Τοιαῦτα οἱ κορίν
θιοι εἶπον. οἱ δὲ λακεδαιμόνιοι ἐπειδὴ ἀφ' ἁπάντων ἤ
κουσαν γνώμης, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν
ὅσοι παρῆσαν ἑξῆς καὶ μείζονι καὶ ἐλάσσονι πόλει. καὶ τὸ
πλῆθος ἐψηφίσαντο πολεμεῖν. δεδογμένον δὲ αὐτοῖς, εὐ
θὺς μὲν, ἐπιχειρεῖν ἀδύνατα ἦν ἀπαρασκεύοις οὖσιν. ἐκπο
ρίζεσθαι δὲ ἐδόκει ἑκάστοις ἃ πρόσφορα ἦν. καὶ μὴ εἶναι
μέλλησιν. ὅμως δὲ καθισταμένοις ὧν ἔδει, ἐνιαυτὸς μὲν
οὐ διετρίβη. ἔλασσον δὲ πρὶν ἐσβαλεῖν ἐς τὴν ἀττικὴν καὶ
τὸν πόλεμον ἄρασθαι φανερῶς. ἐν τούτῳ δὲ ἐπρεσβεύοντο

τῷ χρόνῳ πρὸς τοὺς ἀθηναίους ἐγκλήματα ποιούμενοι, ὅπως
σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσα-
κούωσι· καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες οἱ λακεδαι-
μόνιοι, ἐκέλευον τοὺς ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ·
τὸ δὲ ἄγος ἦν τοιόνδε· κύλων ἦν ὀλυμπιονίκης ἀνὴρ
ἀθηναῖος τῶν πάλαι εὐγενής τε καὶ δυνατός· ἐγεγαμή-
κει δὲ θυγατέρα θεαγένους μεγαρέως ἀνδρός· ὃς κατ' ἐκεῖ-
νον τὸν χρόνον ἐτυράννει μεγάρων· χρωμένῳ δὲ τῷ κύλωνι
ἐν δελφοῖς ἀνεῖλεν ὁ θεὸς ἐν τοῦ διὸς τῇ μεγίστῃ ἑορτῇ κατα-
λαβεῖν τὴν ἀθηναίων ἀκρόπολιν· ὁ δὲ, παρά τε τοῦ θεα-
γένους δύναμιν λαβὼν καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ
ἐπῆλθεν ὀλύμπια τὰ ἐν πελοποννήσῳ, κατέλαβε τὴν ἀ-
κρόπολιν ὡς ἐπὶ τυραννίδι, νομίσας ἑορτήν τε τοῦ διὸς
μεγίστην εἶναι καὶ ἑαυτῷ τι προσήκειν ὀλύμπια νενικη-
κότι· εἰ δὲ ἐν τῇ ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο,
οὔτε ἐκεῖνος ἔτι κατενόησε, τό τε μαντεῖον οὐκ ἐδήλου. ἔστι
γὰρ καὶ ἀθηναίοις διάσια ἃ καλεῖται διὸς ἑορτὴ μειλιχίου
μεγίστη ἔξω τῆς πόλεως· ἐν ᾗ πανδημεὶ θύουσι πολλοὶ οὐχ
ἱερεῖα· ἀλλὰ θύματα ἐπιχώρια· δοκῶν δὲ ὀρθῶς γιγνώ-
σκειν, ἐπεχείρησε τῷ ἔργῳ· οἱ δὲ ἀθηναῖοι αἰσθόμενοι ἐ-
βοήθησάν τε πανδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτούς· καὶ προσ-
καθεζόμενοι ἐπολιόρκουν· χρόνου δὲ ἐγγιγνομένου οἱ
ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρίᾳ ἀπῆλθον οἱ πολλοί,
ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλακήν· καὶ τὸ
πᾶν αὐτοκράτορσι διαθεῖναι ᾗ ἂν ἄριστα διαγιγνώσκωσι·
τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν, οἱ ἐννέα ἄρχοντες ἔ-
πρασσον· οἱ δὲ μετὰ τοῦ κύλωνος πολιορκούμενοι φλαύ-
ρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ· ὁ μὲν οὖν κύλων καὶ
ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι ὡς ἐπιέζοντο

καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐ-
πὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει· ἀναστήσαντες δ'
αὐτοὺς οἱ τῶν ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακὴν
ὡς ἑώρων ἀποθνήσκοντας ἐν τῷ ἱερῷ ἐφ' ᾧ μηδὲν κακὸν
ποιήσουσιν ἀπαγαγόντες ἀπέκτειναν· καθεζομένους δέ
τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς ἐν τῇ πα-
ρόδῳ διεχρήσαντο· καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλιτήριοι
τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο, καὶ τὸ γένος τὸ ἀπ' ἐκείνων·
ἤλασαν μὲν οὖν καὶ οἱ ἀθηναῖοι τοὺς ἐναγεῖς τούτους· ἤλασε
δὲ καὶ κλεομένης ὁ λακεδαιμόνιος ὕστερον μετὰ ἀθηναίων
στασιαζόντων· τούς τε ζῶντας ἐλαύνοντες· καὶ τῶν τεθνε-
ώτων τὰ ὀστᾶ ἀνελόντες ἐξέβαλλον· κατῆλθον μέντοι
ὕστερον· καὶ τὸ γένος αὐτῶν ἐστὶν ἐν τῇ πόλει· τοῦτο δὴ τὸ ἄ-
γος οἱ λακεδαιμόνιοι ἐκέλευον ἐλαύνειν· τοῖς θεοῖς δῆθεν
πρῶτον τιμωροῦντες· εἰδότες δὲ περικλέα τὸν ξανθίππου
προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα, καὶ νομίζοντες ἐκπεσόν-
τος αὐτοῦ ῥᾷον ἂν σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν ἀθηναίων·
οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο, ὅσον δι-
αβολὴν οἴσειν αὐτῷ πρὸς τὴν πόλιν· ὡς καὶ διὰ τὴν ἐκείνου
ξυμφοράν, τὸ μέρος ἔσται ὁ πόλεμος· ὢν γὰρ δυνατώτατος
τῶν καθ' αὑτόν· καὶ ἄγων τὴν πολιτείαν, ἠναντιοῦτο πάντα
τοῖς λακεδαιμονίοις· καὶ οὐκ εἴα ὑπείκειν· ἀλλ' ἐς τὸν πόλεμον
ὥρμα τοὺς ἀθηναίους· ἀντεκέλευον δὲ καὶ οἱ ἀθηναῖοι τοὺς
λακεδαιμονίους τὸ ἀπὸ ταινάρου ἄγος ἐλαύνειν· οἱ
γὰρ λακεδαιμόνιοι ἀναστήσαντές ποτε ἐκ τοῦ ἱεροῦ τοῦ ποσει-
δῶνος ἀπὸ ταινάρου τῶν εἱλώτων ἱκέτας, ἀπαγαγόντες
ἀπέκτειναν· δι' ὃ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν
σεισμὸν γενέσθαι ἐν σπάρτῃ· ἐκέλευον δὲ καὶ τὸ τῆς χαλ-
κιοίκου ἄγος ἐλαύνειν αὐτούς· ἐγένετο δὲ τοιόνδε· ἐπεὶ

Παυσανίας ὁ λακεδαιμόνιος, τὸ πρῶτον μεταπεμφθεὶς
ὑπὸ σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν ἑλλησπόντῳ, καὶ κρι-
θεὶς ὑπ' αὐτῶν ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι
ἐξεπέμφθη· ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν ἑρμιονίδα,
ἄνευ λακεδαιμονίων, ἀφικνεῖται ἐς ἑλλήσποντον· τῷ
μὲν λόγῳ ἐπὶ τὸν ἑλληνικὸν πόλεμον· τῷ δὲ ἔργῳ τὰ πρὸς
βασιλέα πράγματα πράσσειν, ὥσπερ καὶ τὸ πρῶτον ἐπε-
χείρησεν· ἐφιέμενος τῆς ἑλληνικῆς ἀρχῆς· εὐεργεσίαν δὲ
ἀπὸ τοῦδε ἐς βασιλέα πρῶτον κατέθετο· καὶ τοῦ παντὸς πρά-
γματος ἀρχὴν ἐποιήσατο· βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ
παρουσίᾳ μετὰ τὴν ἐκ κύπρου ἀναχώρησιν, εἶχον δὲ μῆδοι
αὐτὸ καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς οἳ
ἑάλωσαν ἐν αὐτῷ τότε· τούτους οὓς ἔλαβεν ἀποπέμπει βα-
σιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων· τῷ δὲ λόγῳ ἀπέδρα-
σαν αὐτόν· ἔπρασσε δὲ ταῦτα, μετὰ γογγύλου τοῦ ἐρε-
τριέως ᾧ ἐπέτρεψε τότε βυζάντιον καὶ τοὺς αἰχμαλώ-
τους· ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν γόγγυλον φέροντα αὐτῷ·
ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ ὡς ὕστερον ἀνηυρέθη· Παυ-
σανίας ὁ ἡγεμὼν τῆς σπάρτης, τούσδε τέ σοι χαρίζεσθαι βου-
λόμενος ἀποπέμπει δορὶ ἑλών· καὶ γνώμην ποιοῦμαι,
εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι· καί σοι σπάρ-
την τε καὶ τὴν ἄλλην ἑλλάδα ὑποχείριον ποιῆσαι· δυνατὸς
δὲ δοκῶ ταῦτα πρᾶξαι μετὰ σοῦ βουλευόμενος· εἰ οὖν τί σε
τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν δι'
οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα. τοσαῦτα μὲν ἡ γρα-
φὴ ἐδήλου· ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ· καὶ ἀποστέλλει
ἀρτάβαζον τὸν φαρνάκου ἐπὶ θάλασσαν· καὶ κελεύει αὐ-
τὸν τήν τε δασκυλῖτιν σατραπείαν παραλαβεῖν, μεγαβάτην ἀ-
παλλάξαντα ὃς πρότερον ἦρχε· καὶ παρὰ παυσανίαν ἐς

βυζάντιον ἐπιστολὴν ἀντεπιτίθει αὐτῷ ὡς τάχιστα διαπέμ-
ψαι καὶ τὴν σφραγῖδα ἀποδεῖξαι· καὶ ἤν τι αὐτῷ παυσα-
νίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν
ὡς ἄριστα καὶ πιστότατα· ὁ δὲ ἀφικόμενος· τά τε ἄλλα
ἐποίησεν ὥσπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν·
ἀντενεγέγραπτο δὲ τάδε· ὧδε λέγει βασιλεὺς ξέρξης
παυσανίᾳ· καὶ τῶν ἀνδρῶν οὕς μοι πέραν θαλάσσης ἐκ
βυζαντίου ἔσωσας κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ
ἐς αἰεὶ ἀνάγραπτος· καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀ-
ρέσκομαι· καί σε μήτε νὺξ μήτε ἡμέρα ἐπισχέτω ὥστε
ἀνεῖναι πράσσειν τι ὧν ἐμοὶ ὑπισχνῇ· μηδὲ χρυσοῦ καὶ
ἀργύρου δαπάνῃ κεκωλύσθω· μηδὲ στρατιᾶς πλήθει
εἴ ποι δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' ἀρταβάζου ἀνδρὸς ἀ-
γαθοῦ, ὅν σοι ἔπεμψα, πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ
τὰ σὰ ὅπῃ κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις: ταῦτα
λαβὼν ὁ παυσανίας τὰ γράμματα, ὢν καὶ πρότερον ἐν
μεγάλῳ ἀξιώματι ὑπὸ τῶν ἑλλήνων διὰ τὴν πλαταιᾶσιν ἡ-
γεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο· καὶ οὐκέτι ἐδύνατο
ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν· ἀλλὰ σκευάς τε μηδικὰς
ἐνδυόμενος, ἐκ τοῦ βυζαντίου ἐξῄει· καὶ διὰ τῆς θρᾴκης
πορευόμενον αὐτὸν, μῆδοι καὶ αἰγύπτιοι ἐδορυφόρουν·
τράπεζάν τε μηδικὴν παρετίθετο· καὶ κατέχειν τὴν διάνοιαν
οὐκ ἐδύνατο· ἀλλ' ἔργοις βραχέσι προυδήλου, ἃ τῇ γνώμῃ
μειζόνως ἐς ἔπειτα ἔμελλε πράξειν· δυσπρόσοδόν
τε αὑτὸν παρεῖχε· καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς
πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προσιέναι· δι' ὅ-
περ καὶ πρὸς τοὺς ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέ-
στη· οἱ δὲ λακεδαιμόνιοι αἰσθόμενοι τότε πρῶτον δι' αὐ-
τὰ ταῦτα ἀνεκάλεσαν αὐτόν· καὶ ἐπειδὴ τῇ ἑρμιονίδι

κῆ τὸ δεύτερον ἐκπλεύσας οὐ κελευσθεὶς ὑπ' αὐτῶν τοιαῦτα ἐφαίνετο πράσσων. καὶ ἐκ τοῦ βυζαντίου βίᾳ ὑπ' ἀθηναίων ἐκπολιορκηθείς, ἐς μὲν τὴν σπάρτην οὐκ ἐπεχώρει· ἐς δὲ κολωνὰς τὰς τρῳάδας ἱδρυθείς, πράσσων τε ἐσηγγέλλετο αὐτοῖς πρὸς τοὺς βαρβάρους, καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος, οὕτω δὴ οὐκέτι ἐπέσχον· ἀλλὰ πέμψαντες κήρυκα οἱ ἔφοροι καὶ σκυτάλην, εἶπον τοῦ κήρυκος μὴ ἀπολείπεσθαι· εἰ δὲ μή, πόλεμον αὐτῷ σπαρτιάτας προαγορεύειν· ὁ δέ, βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι, καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολήν, ἀνεχώρει τὸ δεύτερον ἐς σπάρτην· καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν ἐφόρων· ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο· ἔπειτα διαπραξάμενος ὕστερον, ἐξῆλθε· καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτοῦ ἐλέγχειν· καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ σπαρτιᾶται σημεῖον· οὔτε οἱ ἐχθροὶ οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα· πλείσταρχον γὰρ τὸν λεωνίδου ὄντα βασιλέα καὶ ἔτι νέον, ἀνεψιὸς ὢν ἐπετρόπευε· ὑποψίας δὲ πολλὰς παρεῖχε τῇ τε παρανομίᾳ καὶ ζηλώσει τῶν βαρβάρων, μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι· τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴ τί που ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων· καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν δελφοῖς ὃν ἀνέθεσαν οἱ ἕλληνες ἀπὸ τῶν μήδων ἀκροθίνιον, ἠξίωσεν αὐτὸς ἐπιγράψασθαι ἰδίᾳ

› τὸ ἐλεγεῖον τόδε· ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε μή-
› δων παυσανίας, φοίβῳ μνῆμ' ἀνέθηκε τόδε·

τὸ μὲν οὖν ἐλεγεῖον οἱ λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο· καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα· τοῦ μέντοι

παυσανίου ἀδίκημα καὶ τοῦτο ἐδόκει εἶναι· καὶ ἐπειδὴ ἐν τούτῳ
καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαί-
νετο τῇ παρούσῃ διανοίᾳ· ἐπυνθάνοντο δὲ καὶ ἐς τοὺς εἱλώτων
πράσσειν τι αὐτόν· καὶ ἦν δὲ οὕτως· ἐλευθέρωσίν τε
γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι καὶ
τὸ πᾶν ξυγκατεργάσωνται· ἀλλ' οὐδ' ὣς οὐδὲ τῶν εἱλώτων
μηνυταῖς τισὶ πιστεύσαντες ἠξίωσαν νεώτερόν τι ποιεῖν ἐς
αὐτόν, χρώμενοι τῷ τρόπῳ ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐ-
τούς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς σπαρτιάτου, ἄνευ ἀ-
ναμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον· πρίν
γε δὴ αὐτοῖς ὡς λέγεται ὁ μέλλων τὰς τελευταίας βασιλεῖ
ἐπιστολὰς πρὸς ἀρτάβαζον κομιεῖν, ἀνὴρ ἀργίλιος παιδι-
κά ποτε ὢν αὐτοῦ καὶ πιστότατος ἐκείνῳ, μηνυτὴς γίγνεται· δεί-
σας κατὰ ἐνθύμησίν τινα ὅτι οὐδεὶς πω τῶν πρὸ αὐτοῦ ἀγ-
γέλων ἀφίκετο· καὶ παρασημηνάμενος σφραγῖδα ἵνα
ἢν ψευσθῇ τῆς δόξης ἢ καὶ ἐκεῖνός τι μεταγράψαι αἰτήσῃ
μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολάς· ἐν αἷς ὑπονοήσας τι τοι-
οῦτον προσεπεστάλθαι καὶ αὐτὸν ηὗρεν ἐγγεγραμμένον κτεί-
νειν. τότε δὴ οἱ ἔφοροι δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλ-
λον μὲν ἐπίστευσαν· αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι
αὐτοῦ παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου
ἐπὶ ταίναρον ἱκέτου οἰχομένου, καὶ σκηνησαμένου διπλῆν
διαφράγματι καλύβην, ἐς ἣν τῶν τε ἐφόρων τινὰς ἔκρυ-
ψεν αὐτός, καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας, ᾔσθον-
το πάντα σαφῶς αἰτιωμένου τοῦ ἀνθρώπου τά τε περὶ αὐτοῦ
γραφέντα καὶ τἆλλα ἀποφαίνοντος καθέκαστον· ὡς οὐδὲ
πώποτε αὐτὸν ἐν ταῖς πρὸς βασιλέα διακονίαις παραβάλ-
λοιτο· προτιμηθείη δ' ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων
ἀποθανεῖν· κἀκείνου αὐτὰ ταῦτα ξυνομολογοῦντος καὶ περὶ

τοῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ
διδόντος τῆς ἀναστάσεως. καὶ ἀξιοῦντος ὡς τάχιστα πορεύεσθαι
καὶ μὴ τὰ πρασσόμενα διακωλύειν. ἀκούσαντες δὲ ἀκριβῶς
τότε μὲν ἀπῆλθον οἱ ἔφοροι· βεβαίως δὲ ἤδη εἰδότες ἐν τῇ
πόλει τὴν ξύλληψιν ἐποιοῦντο. λέγεται δ' αὐτὸν μέλλοντα
ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ, ἑνὸς μὲν τῶν ἐφόρων τὸ πρόσω
πον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐχώρει· ἄλλου δὲ νεύ
ματι ἀφανεῖ χρησαμένου καὶ δηλώσαντος εὐνοίᾳ πρὸς
τὸ ἱερὸν τῆς χαλκιοίκου χωρῆσαι δρόμῳ καὶ προκαταφυ
γεῖν. ἦν δ' ἐγγὺς τὸ τέμενος. καὶ ἐς οἴκημα οὐ μέγα ὃ ἦν
τοῦ ἱεροῦ ἐσελθών, ἵνα μὴ ὑπαίθριος ταλαιπωροίη, ἡσύχαζε.
οἱ δὲ τὸ παραυτίκα μὲν ὑστέρησαν τῇ διώξει. μετὰ δὲ τοῦτο
τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον καὶ τὰς θύρας. ἔνδον
ὄντα τηρήσαντες αὐτὸν καὶ ἀπολαβόντες, ἀπῳκοδόμησαν.
προσκαθεζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ. καὶ μέλλοντος
αὐτοῦ ἀποψύχειν, ὥσπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοι, ἐξά
γουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα. καὶ ἐξαχθεὶς ἀπέθα
νε παραχρῆμα. καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν καιάδαν
οὗπερ τοὺς κακούργους ἐμβάλλειν· ἔπειτα ἔδοξε πλη
σίον που κατορύξαι. ὁ δὲ θεὸς ὁ ἐν δελφοῖς τόν τε τάφον
ὕστερον ἔχρησε τοῖς λακεδαιμονίοις μετενεγκεῖν οὗπερ
ἀπέθανε. καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι ὃ γραφῇ στῆ
λαι δηλοῦσι. καὶ ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον δύο
σώματα ἀνθ' ἑνὸς τῇ χαλκιοίκῳ ἀποδοῦναι. οἱ δέ, ποιησά
μενοι χαλκοῦς ἀνδριάντας δύο ὡς ἀντὶ παυσανίου ἀνέθεσαν.
οἱ δὲ ἀθηναῖοι ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέ
ταξαν τοῖς λακεδαιμονίοις ἐλαύνειν αὐτό. τοῦ δὲ μηδισμοῦ
τοῦ παυσανίου λακεδαιμόνιοι πρέσβεις πέμψαντες παρὰ
τοὺς ἀθηναίους, ξυνεπῃτιῶντο καὶ τὸν θεμιστοκλέα ὡς εὑρί

ἐκ τῶν περὶ παυσανίαν ἐλέγχων· ἠξίουν τε αὐτοῖς κολάζεσθαι
αὐτόν· οἱ δὲ, πεισθέντες. ἔτυχε γὰρ ὠστρακισμένος καὶ ἔχων
δίαιταν μὲν ἐν ἄργει· ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην πελο
πόννησον. πέμπουσι μετὰ τῶν λακεδαιμονίων ἑτοίμων
ὄντων ξυνδιώκειν ἄνδρας, οἷς εἴρητο ἄγειν ὅπου ἂν περιτύχωσι·
ὁ δὲ θεμιστοκλῆς προαισθόμενος φεύγει ἐκ πελοπον
νήσου ἐς κέρκυραν ὢν αὐτῶν εὐεργέτης· δεδιέναι δὲ φα
σκόντων κερκυραίων ἔχειν αὐτόν, ὥστε λακεδαιμονίοις
καὶ ἀθηναίοις ἀπεχθέσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν
ἤπειρον τὴν καταντικρύ· καὶ διωκόμενος ὑπὸ τῶν προσ-
τεταγμένων κατὰ πύστιν ᾗ χωροίη, ἀναγκάζεται κατά τι
ἄπορον παρὰ ἄδμητον τὸν μολοσσῶν βασιλέα ὄντα αὐτῷ
οὐ φίλον καταλῦσαι· καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν· ὁ δέ,
τῆς γυναικὸς ἱκέτης γενόμενος. διδάσκεται ὑπ' αὐτῆς τὸν
παῖδα σφῶν λαβὼν, καθέζεσθαι ἐπὶ τὴν ἑστίαν· καὶ ἐλ
θόντος οὐ πολὺ ὕστερον τοῦ ἀδμήτου, δηλοῖ τε ὅς ἐστι
καὶ οὐκ ἀξιοῖ εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ ἀθηναίων δεο-
μένῳ φεύγοντα τιμωρεῖσθαι· καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ
ἀσθενεστέρου ἐν τῷ παρόντι κακῶς πάσχειν· γενναῖον δὲ
εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι· καὶ ἅμα αὐτὸς
μὲν ἐκείνῳ χρείας τινὸς καὶ οὐκ ἐς τὸ σώζεσθαι ἐναντιωθῆναι·
ἐκεῖνον δ' ἂν εἰ ἐκδοίη αὐτὸν εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται σωτηρίας
αὐτὸν τῆς ψυχῆς ἀποστερῆσαι· ὁ δὲ ἀκούσας ἀνίστησί τε αὐτὸν μετὰ τοῦ
υἱέως· ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο· καὶ μέγιστον ἦν ἱκέτευ
μα τοῦτο· καὶ ὕστερον οὐ πολλῷ τοῖς λακεδαιμονίοις ἐλθοῦσι καὶ
πολλὰ εἰποῦσιν, οὐκ ἐκδίδωσιν· ἀλλ' ἀποστέλλει βουλόμενον
ὡς βασιλέα πορευθῆναι ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ ἐς πύ
δναν τὴν ἀλεξάνδρου· ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' ἰωνί
ας καὶ ἐπιβὰς, καταφέρεται χειμῶνι ἐς τὸ ἀθηναίων στρατόπε
δον

ὃ ἐπολιόρκει νάξον· καὶ ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηί, δείσας
φράζει τῷ ναυκλήρῳ ὅστις ἐστὶ καὶ δι' ὃ φεύγει· τὴν δὲ ἀσφά-
λειαν εἶναι μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς μέχρι πλοῦς γένηται·
πειθομένῳ δὲ αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν· ὁ δὲ ναύ-
κληρος ποιεῖ τε ταῦτα· καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα
ὑπὲρ τοῦ στρατοπέδου, ὕστερον ἀφικνεῖται ἐς ἔφεσον· καὶ ὁ θε-
μιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει· ἦλθε γὰρ
αὐτῷ ὕστερον ἔκ τε ἀθηνῶν παρὰ τῶν φίλων· καὶ ἐξ ἄργους ἃ
ὑπεξέκειτο· καὶ μετὰ τῶν κάτω περσῶν τινὸς πορευθεὶς ἄνω,
ἐσπέμπει γράμματα ἐς βασιλέα ἀρταξέρξην τὸν ξέρξου νε-
ωστὶ βασιλεύοντα· ἐδήλου δὲ ἡ γραφή· ὅτι θεμιστοκλῆς ἥ-
κω παρὰ σέ· ὃς κακὰ μὲν πλεῖστα ἑλλήνων εἴργασμαι τὸν
ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ
ἀνάγκῃ ἠμυνόμην· πολὺ δ' ἔτι πλείω ἀγαθά· ἐπειδὴ ἐν τῷ
ἀσφαλεῖ μὲν ἐμοί· ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀπο-
κομιδὴ ἐγίγνετο· καί μοι εὐεργεσία ὀφείλεται γράψας τήν τε
ἐκ σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως· καὶ τὴν τῶν
γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο τότε δι' αὐτὸν οὐ διάλυσιν·
καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι· διωκόμενος
ὑπὸ τῶν ἑλλήνων διὰ τὴν σὴν φιλίαν· βούλομαι δ' ἐνιαυτὸν
ἐπισχών, αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι· βασιλεὺς δέ ὡς λέγεται,
ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν· καὶ ἐκέλευε ποιεῖν οὕτως· ὁ δ'
ἐν τῷ χρόνῳ ὃν ἐπέσχε, τῆς περσίδος γλώσσης ὅσα ἐδύνατο
κατενόησε· καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας· ἀφικόμενος
δὲ μετὰ τὸν ἐνιαυτόν, γίγνεται παρ' αὐτῷ μέγας· καὶ ὅσος
οὐδείς πω ἑλλήνων· διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν· καὶ
τοῦ ἑλληνικοῦ ἐλπίδα ἣν ὑπετίθει αὐτῷ δουλώσειν· μάλιστα δὲ
ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι· ἦν γὰρ ὁ θεμισ- θεμιστοκλῆς·
τοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας· καὶ διαφερόντως τι

ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι· οἰκείᾳ γὰρ ξυνέσει καὶ οὔτε
προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ᾽ ἐπιμαθών, τῶν τε παραχρῆ-
μα δι᾽ ἐλαχίστης βουλῆς κράτιστος γνώμων· καὶ τῶν μελλόντων
ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ
χεῖρας ἔχοι καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖ-
ναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀ-
φανεῖ ἔτι προεώρα μάλιστα· καὶ τὸ ξύμπαν εἰπεῖν· φύσεως
μὲν δυνάμει, μελέτης δὲ βραχύτητι· κράτιστος δὴ οὗτος αὐ-
τοσχεδιάζειν τὰ δέοντα ἐγένετο· νοσήσας δὲ τελευτᾷ
τὸν βίον· λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀπο-
θανεῖν αὐτόν· ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ
ἃ ὑπέσχετο· μνημεῖον μὲν οὖν αὐτοῦ ἐν μαγνησίᾳ ἐστὶ τῇ
ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος
βασιλέως αὐτῷ· μαγνησίαν μὲν ἄρτον· ἣ προσέφερε
πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ· λάμψακον δὲ οἶνον·
ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι· μυοῦντα δὲ ὄψον·
τὰ δὲ ὀστᾶ φασι κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε
κελεύσαντος ἐκείνου· καὶ τεθῆναι κρύφα ἀθηναίων ἐν τῇ ἀτ-
τικῇ· οὐ γὰρ ἐξῆν θάπτειν ὡς ἐπὶ προδοσίᾳ φεύγοντος· τὰ
μὲν κατὰ παυσανίαν τὸν λακεδαιμόνιον, καὶ θεμιστοκλέα
τὸν ἀθηναῖον λαμπροτάτους γενομένους τῶν καθ᾽ ἑαυτοὺς ἑλλή-
νων, οὕτως ἐτελεύτησε· λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώ-
της πρεσβείας· τοιαῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν,
περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρὰ
ἀθηναίους, ποτιδαίας τε ἐκέλευον ἀπανίστασθαι· καὶ αἴγι-
ναν αὐτόνομον ἀφιέναι· καὶ μάλιστά γε καὶ ἐνδηλότατα
τὸ περὶ τῶν μεγαρέων ψήφισμα καθελοῦσι, μὴ ἂν γίνεσθαι
πόλεμον· ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν
τῇ ἀθηναίων ἀρχῇ· μηδὲ τῇ ἀττικῇ ἀγορᾷ· οἱ δὲ ἀθηναῖοι,

οὔτε τἆλλα ὑπήκουον, οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς· καὶ τῆς ἀορίστου· καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων· τέλος δὲ ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακεδαίμονος Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου· καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε ὅτι Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι· εἴη δ' ἂν εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε, ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι γνώμας σφίσιν αὐτοῖς προυτίθεσαν· καὶ ἐδόκει ἅπαξ περὶ ἁπάντων βουλευσαμένους ἀποκρίνασθαι· καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις· καὶ ὡς χρὴ πολεμεῖν· καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα τῆς εἰρήνης· ἀλλὰ καθελεῖν τὸν πόλεμον· καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρῄνει τοιάδε·

Τῆς μὲν γνώμης ὦ Ἀθηναῖοι αἰεὶ τῆς αὐτῆς ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις· καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας· πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους· ὁρῶ δὲ καὶ νῦν ὁμοῖα καὶ παραπλήσια ξυμβουλευτέα μοι ὄντα· καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασιν, ἢν ἄρα τι καὶ σφαλλώμεθα βοηθεῖν· ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι· ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων, οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου· διόπερ καὶ τὴν τύχην ὅσα ἂν παρὰ λόγον ξυμβῇ εἰώθαμεν αἰτιᾶσθαι· Λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν καὶ νῦν οὐχ ἥκιστα· εἰρημένον γὰρ δίκας μὲν τῶν διαφόρων ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ᾔτησαν, οὔτε ἡμῶν διδόντων

δέχονται. βούλονται δὲ πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλή-
ματα διαλύεσθαι· καὶ ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι
πάρεισι· Ποτιδαίας τε γὰρ ἀπανίστασθαι κελεύουσι καὶ Αἴγι-
ναν αὐτόνομον ἀφιέναι· καὶ τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν·
οἱ δὲ τελευταῖοι οἵδε ἥκοντες, καὶ τοὺς Ἕλληνας προαγορεύ-
ουσιν αὐτονόμους ἀφιέναι. ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ
βραχέος πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν·
ὅπερ μάλιστα προύχονται, εἰ καθαιρεθείη μὴ ἂν γίγνεσθαι
τὸν πόλεμον· μηδὲ ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε, ὡς
διὰ μικρὸν ἐπολεμήσατε. τὸ γὰρ βραχύ τι τοῦτο πᾶσαν
ὑμῶν ἔχει τὴν βεβαίωσιν καὶ πεῖραν τῆς γνώμης. οἷς εἰ
ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε, ὡς φό-
βῳ καὶ τοῦτο ὑπακούσαντες· ἀπισχυρισάμενοι δὲ σαφὲς
ἂν καταστήσαιτε αὐτοῖς ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσφέ-
ρεσθαι. αὐτόθεν δὴ διανοήθητε ἢ ὑπακούειν πρίν τι βλαβῆ-
ναι, ἢ εἰ πολεμήσομεν ὥσπερ ἄμεινον δοκεῖ ἔμοιγε εἶναι
καὶ ἐπὶ μεγάλῃ καὶ ἐπὶ βραχείᾳ προφάσει. ὁμοίως μὴ εἴ-
ξοντες· μηδὲ ξὺν φόβῳ ἕξοντες ἃ κεκτήμεθα. τὴν γὰρ αὐ-
τὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις.
ἀπὸ γὰρ ὁμοίων πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. τὰ
δὲ τοῦ πολέμου καὶ τῶν ἑκατέροις ὑπαρχόντων, ὡς οὐκ ἀ-
σθενέστερα ἕξομεν, γνῶτε καθ' ἕκαστον ἀκούοντες. αὐτουργοί
τε γάρ εἰσι Πελοποννήσιοι· καὶ οὔτε ἰδίᾳ, οὔτ' ἐν κοινῷ χρή-
ματά ἐστιν αὐτοῖς· ἔπειτα χρονίων πολέμων καὶ διαποντίων
ἄπειροι· διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπιφέρειν.
καὶ οἱ τοιοῦτοι οὔτε ναῦς πληροῦντες, οὔτε πεζὰς στρατιὰς
ἐκπέμπειν πολλάκις δύνανται· ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόν-
τες· καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες. καὶ προσέτι καὶ θα-
λάσσης εἰργόμενοι, αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον,

ἢ αἱ βίαιοι ἐσφοραὶ ἀνέχουσι· σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν· τὸ μὲν, πιστὸν ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγενέσθαι· τὸ δὲ, οὐ βέβαιον μὴ οὐ προαναλώσειν· ἄλλως τε κἂν παρὰ δόξαν αὐτοῖς ὅπερ εἰκὸς ὁ πόλεμος μηκύνηται· μάχῃ μὲν γὰρ μιᾷ πρὸς ἅπαντας ἕλληνας δυνατοὶ πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἀντισχεῖν· πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι· ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι παραχρῆμά τι ὀξέως ἐπιτελῶσι· πάντες τε ἰσόψηφοι ὄντες καὶ οὐχ ὁμόφυλοι, τὸ ἐφ' ἑαυτὸν ἕκαστος σπεύδῃ· ἐξ ὧν φιλεῖ μηδὲν ἐπιτελὲς γίγνεσθαι· καὶ γὰρ οἱ μὲν, ὡς μάλιστα τιμωρήσασθαί τινα βούλονται· οἱ δὲ, ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι· χρόνιοί τε ξυνιόντες ἐν βραχεῖ μὲν μορίῳ σκοποῦσί τι τῶν κοινῶν· τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσι· καὶ ἕκαστος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν· μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν· ὥστε τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι, λανθάνειν τὸ κοινὸν ἀθρόον φθειρόμενον· μέγιστον δὲ τῇ τῶν χρημάτων σπάνει κωλύσονται· ὅταν σχολῇ αὐτὰ ποριζόμενοι, διαμέλλωσι· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί· καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις οὐδὲ τὸ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι· τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον κατασκευάσασθαι· ἦ που δὴ ἐν πολεμίᾳ τε καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων· φρούριον δ' εἰ ποιήσονται· τῆς μὲν γῆς βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις· οὐ μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε καὶ κωλύειν ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων καὶ ᾗπερ ἰσχύομεν ταῖς ναυσὶν ἀμύνεσθαι· πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας ἢ ἐκεῖνοι ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά· τὸ δὲ τῆς θαλάσσης ἐπιστήμονας γενέσθαι· οὐ ῥαδίως αὐτοῖς προσγενή-

σεται

οὐδὲ γὰρ ὑμεῖς μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν μηδικῶν
ἐξείργασθέ πω· πῶς δὴ ἄνδρες γεωργοὶ καὶ οὐ θαλάσσιοι
καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι. διὰ τὸ ὑφ' ἡμῶν
πολλαῖς ναυσὶν αἰεὶ ἐφορμεῖσθαι, ἄξιον ἄν τι δρῷεν· πρὸς
μὲν γὰρ ὀλίγας ναῦς ἐφορμούσας, κἂν διακινδυνεύσειαν
πλήθει τὴν ἀμαθίαν θρασύνοντες· πολλαῖς δὲ εἰργόμενοι
ἡσυχάσουσι· καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται·
καὶ διὰ τοῦτο καὶ ὀκνηρότεροι· τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν
ὥσπερ καὶ ἄλλο τι· καὶ οὐκ ἐνδέχεται ὅταν τύχῃ ἐκ παρέργου
μελετᾶσθαι· ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γί-
γνεσθαι· εἴτε καὶ κινήσαντες τῶν ὀλυμπίασιν ἢ δελφοῖς χρη-
μάτων μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους
τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων ἐσβάντων, αὐτῶν
τε καὶ τῶν μετοίκων, δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει· καὶ
ὅπερ κράτιστον, κυβερνήτας ἔχομεν πολίτας. καὶ τὴν ἄλλην
ὑπηρεσίαν πλείους καὶ ἀμείνους, ἢ πᾶσα ἡ ἄλλη ἑλλάς· καὶ
ἐπὶ τῷ κινδύνῳ, οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὑτοῦ φεύ-
γειν· καὶ μετὰ τῆς ἥσσονος ἐλπίδος ὀλίγων ἡμερῶν ἕνεκα
μεγάλου μισθοῦ δόσεως ἐκείνοις ξυναγωνίζεσθαι· καὶ τὰ
μὲν πελοποννησίων, ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δο-
κεῖ εἶναι· τὰ δὲ ἡμέτερα τούτων τε ὧνπερ ἐκείνοις ἐμεμψά-
μην ἀπηλλάχθαι· καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔ-
χειν· ἤν τε ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν ἐκεί-
νων πλευσούμεθα· καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσται πελοποννήσου
τε μέρος τι τμηθῆναι καὶ τὴν ἀττικὴν ἅπασαν· οἱ μὲν γὰρ οὐχ
ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί· ἡμῖν δὲ ἐστὶ γῆ πολλὴ καὶ ἐν
νήσοις καὶ κατ' ἤπειρον· μέγα γὰρ τὸ τῆς θαλάσσης κράτος·
σκέψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, τίνες ἂν ἀληπτότεροι ἦ-
σαν· καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας τὴν μὲν

γῆν καὶ οἰκίας ἀφεῖναι· τῆς δὲ θαλάσσης καὶ πόλεως φυ-
λακὴν ἔχειν· καὶ πελοποννησίοις περὶ αὐτῶν ὀργισθέντας
πολλῷ πλείοσι μὴ διαμάχεσθαι· κρατήσαντές τε γὰρ αὖθις, οὐκ
ἐλάσσοσι μαχούμεθα· καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων
ὅθεν ἰσχύομεν προσαπόλλυται· οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκα-
νῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρατεύειν· τήν τε ὀλόφυρσιν μὴ
οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας,
ἀλλ' οἱ ἄνδρες ταῦτα κτῶνται· καὶ εἰ ᾤμην πείσειν ὑμᾶς, αὐ-
τοὺς ἂν ἐξελθόντας, ἐκέλευον αὐτὰ δῃῶσαι· καὶ δεῖξαι
πελοποννησίοις ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε· πολ-
λὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν ἐθέ-
λητε· ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες· καὶ κιν-
δύνους αὐθαιρέτους μὴ προστίθεσθαι· μᾶλλον γὰρ πεφόβη-
μαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας, ἢ τὰς τῶν ἐναντίων διανοίας·
ἀλλ' ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται·
νῦν δὲ τούτοις ἀποκρινάμενοι ἀποπέμψωμεν· μεγαρέας
μὲν ὅτι ἐάσομεν ἀγορᾷ χρῆσθαι καὶ λιμέσιν, ἢν καὶ λα-
κεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι· μήτε ἡμῶν μήτε τῶν
ἡμετέρων ξυμμάχων· οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπον-
δαῖς οὔτε τόδε· τάς τε πόλεις ὅτι αὐτονόμους ἀφήσομεν· εἰ καὶ
αὐτονόμους ἔχοντες ἐσπεισάμεθα· καὶ ὅταν κἀκεῖνοι ταῖς αὑ-
τῶν ἀποδῶσι πόλεσι μὴ σφίσι τοῖς λακεδαιμονίοις ἐπι-
τηδείως αὐτονομεῖσθαι· ἀλλ' αὐτοῖς ἑκάστοις ὡς βούλονται·
δίκας δὲ ὅτι ἐθέλομεν ἀποδοῦναι κατὰ τὰς ξυνθήκας·
πολέμου δὲ οὐκ ἄρξομεν· ἀρχομένους δὲ ἀμυνούμεθα·
ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρί-
νασθαι· εἰδέναι δὲ χρὴ ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἑ-
κούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναν-
τίους ἕξομεν· ἔκ τε τῶν μεγίστων κινδύνων, ὅτι καὶ πόλει

ἰδιώτῃ μέγισται τιμαὶ περιγίγνονται· οἵ γοῦν πατέρες ἡμῶν ὑποστάντες Μήδους καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι, ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλιπόντες, γνώμῃ τε πλέονι ἢ τύχῃ, καὶ τόλμῃ μείζονι ἢ δυνάμει τόν τε βάρβαρον ἀπεώσαντο καὶ ἐς τάδε προήγαγον αὐτά· ὧν οὐ χρὴ λείπεσθαι· ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι· καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι. ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν· οἱ δὲ Ἀθηναῖοι νομίσαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν, ἐψηφίσαντο ἃ ἐκέλευε· καὶ τοῖς Λακεδαιμονίοις ἀπεκρίναντο τῇ ἐκείνου γνώμῃ καθ' ἕκαστα ὡς ἔφρασε· καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἑτοῖμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων, ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ· καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο. αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ· ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς, καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δ' οὔ· σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν, καὶ πρόφασις τοῦ πολεμεῖν.

## Θουκυδίδου ξυγγραφῆς δεύτερον

Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πελοποννησίων καὶ τῶν ἑκατέροις ξυμμάχων, ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους, καταστάντες τε ξυνεχῶς ἐπολέμουν· γέγραπται δὲ ἑξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ χειμῶνα. τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαί, αἳ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα

ἄνευ κηρυκείου οὔτε ἐχρῶντο

τοῦτο πρὸς τὸ ἀρξάμεναι [illegible] τὰ γὰρ ἄλλα [illegible]

ἡ Χρυσὶς ἱέρεια ἦν τῆς Ἥρας [illegible] τοὺς χρόνους [illegible]

δυοῖν δέοντα ἔτη ἱερωμένης, καὶ αἰνησίου ἐφόρου ἐν σπάρτῃ
καὶ πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος ἀθηναίοις, μετὰ τὴν
ἐν ποτιδαίᾳ μάχην, μηνὶ ἕκτῳ καὶ ἅμα ἦρι ἀρχομένῳ. θη-
βαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων, ἡγοῦντο δὲ αὐτῶν βοι-
ωταρχοῦντες πυθάγγελός τε ὁ φυλείδου καὶ διέμπορος ὁ
ὀνητορίδου, ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς πλά-
ταιαν τῆς βοιωτίας, ἀθηναίων οὖσαν ξυμμαχίδα. ἐπηγά-
γοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας, ἄνδρες πλαταιέων ναυ-
κλείδης τε καὶ οἱ μετ' αὐτοῦ. βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως
ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι
καὶ τὴν πόλιν θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα
δι' εὐρυμάχου τοῦ λεοντιάδου, ἀνδρὸς θηβαίων δυνατω-
τάτου. προϊδόντες γὰρ οἱ θηβαῖοι ὅτι ἔσοιτο ὁ πόλεμος,
ἐβούλοντο τὴν πλάταιαν ἀεὶ σφίσι διάφορον οὖσαν, ἐν
εἰρήνῃ τε καὶ τοῦ πολέμου μήπω φανερῶς καθεστῶτος, προ-
καταλαβεῖν. ᾗ καὶ ῥᾷον ἔλαθον ἐσελθόντες, φυλακῆς
οὐ προκαθεστηκυίας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα, τοῖς
μὲν ἐπαγαγομένοις οὐκ ἐπείθοντο ὥστε εὐθὺς ἔργου ἔχεσθαι
καὶ ἰέναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν. γνώμην δὲ ἐποιοῦντο
κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις. καὶ ἐς ξύμβασιν μᾶλ-
λον καὶ φιλίαν τὴν πόλιν ἀγαγεῖν. καὶ ἀνεῖπεν ὁ κῆρυξ, εἴ τις
βούλεται κατὰ τὰ πάτρια τῶν πάντων βοιωτῶν ξυμμαχεῖν, τί-
θεσθαι παρ' αὐτοὺς τὰ ὅπλα. νομίζοντες σφίσι ῥᾳδίως τούτῳ
τῷ τρόπῳ προσχωρήσειν τὴν πόλιν. οἱ δὲ πλαταιῆς ὡς ᾔσθοντο
ἔνδον τε ὄντας τοὺς θηβαίους, καὶ ἐξαπιναίως κατειλημμένην
τὴν πόλιν, καταδείσαντες καὶ νομίσαντες πολλῷ πλείους
ἐσεληλυθέναι, οὐ γὰρ ἑώρων ἐν τῇ νυκτί, πρὸς ξύμβασιν
ἐχώρησαν. καὶ τοὺς λόγους δεξάμενοι ἡσύχαζον. ἄλλως τε
καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. πράσσοντες

δὲ πως ταῦτα, κατενόησαν τοὺς θηβαίους οὐ πολλοὺς ὄντας·
καὶ ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατῆσαι· τῷ γὰρ πλήθει
τῶν πλαταιέων, οὐ βουλομένῳ ἦν τῶν ἀθηναίων ἀφίστασθαι·
ἐδόκει οὖν ἐπιχειρητέα εἶναι· καὶ ξυνελέγοντο διορύσσον-
τες τοὺς κοινοὺς τοίχους παρ' ἀλλήλους ὅπως μὴ διὰ τῶν ὁδῶν φα-
νεροὶ ὦσιν ἰόντες· ἁμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς
ὁδοὺς καθίστασαν ἵν' ἀντὶ τείχους ᾖ· καὶ τἆλλα ἐξήρτυον ᾗ ἕκα-
στον ἐφαίνετο πρὸς τὰ παρόντα ξύμφορον ἔσεσθαι· ἐπεὶ
δὲ ὡς ἐκ τῶν δυνατῶν ἑτοῖμα ἦν· φυλάξαντες ἔτι νύκτα
καὶ αὐτὸ τὸ περίορθρον, ἐχώρουν ἐκ τῶν οἰκιῶν ἐπ' αὐτούς·
ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προσφέρωνται·
καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται· ἀλλ' ἐν νυκτὶ φοβερώτεροι
ὄντες, ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας τῆς κατὰ τὴν
πόλιν· προσέβαλόν τε εὐθὺς καὶ ἐς χεῖρας ᾔεσαν κατὰ
τάχος· οἱ δ' ὡς ἔγνωσαν ἐξηπατημένοι, ξυνεστρέφοντό τε ἐν
σφίσιν αὐτοῖς καὶ τὰς προσβολὰς ᾗ προσπίπτοιεν ἀπω-
θοῦντο· καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο· ἔπειτα πολλῷ
θορύβῳ αὐτῶν τε προσβαλόντων καὶ τῶν γυναικῶν καὶ τῶν
οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν, κραυγῇ τε καὶ ὀλολυγῇ χρω-
μένων, λίθοις τε καὶ κεράμῳ βαλλόντων, καὶ ὑετοῦ ἅμα
διὰ νυκτὸς πολλοῦ ἐπιγενομένου, ἐφοβήθησαν· καὶ τρα-
πόμενοι ἔφυγον διὰ τῆς πόλεως ἄπειροι μὲν ὄντες οἱ πλείους
ἐν σκότῳ καὶ πηλῷ τῶν διόδων, ᾗ χρὴ σωθῆναι· καὶ γὰρ τε-
λευτῶντος τοῦ μηνὸς τὰ γιγνόμενα ἦν· ἐμπείρους δὲ ἔχον-
τες τοὺς διώκοντας τοῦ μὴ ἐκφεύγειν ὥστε διεφθείροντο πολ-
λοί· τῶν τε πλαταιέων τις τὰς πύλας ᾗ ἐσῆλθον· καὶ αἵπερ
ἦσαν ἀνεῳγμέναι ἔκλῃσε· στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου
χρησάμενος ἐς τὸν μοχλόν· ὥστε μηδὲ ταύτῃ ἔξοδον
εἶναι· διωκόμενοί τε κατὰ τὴν πόλιν, οἱ μέν τινες αὐτῶν

ἐπὶ τὸ τεῖχος ἀναβάντες ἔρριπτον ἐς τὸ ἔξω σφᾶς αὐτοὺς καὶ
διεφθάρησαν οἱ πλείους· οἱ δὲ κατὰ πύλας ἐρήμους γυναικὸς
δούσης πέλεκυν, λαθόντες καὶ διακόψαντες τὸν μοχλὸν
ἐξῆλθον οὐ πολλοί· αἴσθησις γὰρ ταχεῖα ἐπεγένετο· ἄλλοι δὲ
ἄλλῃ τῆς πόλεως σποράδην ἀπώλλυντο· τὸ δὲ πλεῖστον καὶ ὅσον
μάλιστα ἦν ξυνεστραμμένον, ἐσπίπτουσιν ἐς οἴκημα μέγα,
ὃ ἦν τοῦ τείχους· καὶ αἱ πλησίον θύραι ἔτυχον ἀνεῳγμέναι αὐτοῦ·
οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι καὶ ἄντικρυς
δίοδον ἐς τὸ ἔξω. ὁρῶντες δὲ οἱ Πλαταιῆς ἀπειλημμένους ἐβου-
λεύοντο εἴτε κατακαύσωσιν ἐμπρήσαντες ὥσπερ ἔχουσι τὸ οἴ-
κημα, εἴτε τι ἄλλο χρήσωνται· τέλος δὲ οὗτοί τε καὶ ὅσοι ἄλλοι τῶν
Θηβαίων περιῆσαν κατὰ τὴν πόλιν πλανώμενοι, ξυνέβησαν τοῖς
Πλαταιεῦσι παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα χρήσασθαι
ὅ τι ἂν βούλωνται· οἱ μὲν δὴ ἐν τῇ Πλαταίᾳ οὕτως ἐπεπράγεσαν·
οἱ δ᾽ ἄλλοι Θηβαῖοι οὓς ἔδει ἔτι τῆς νυκτὸς παραγενέσθαι πανστρα-
τιᾷ, εἴ τι ἄρα μὴ προχωροίη τοῖς ἐσεληλυθόσι, τῆς ἀγγελίας
ἅμα καθ᾽ ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενημένων ἐπε-
βοήθουν· ἀπέχει δὲ ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα,
καὶ τὸ ὕδωρ τὸ γενόμενον τῆς νυκτὸς ἐποίησε βραδύτερον
αὐτοὺς ἐλθεῖν· ὁ γὰρ Ἀσωπὸς ἐρρύη μέγας καὶ οὐ ῥᾳδίως
διαβατὸς ἦν· πορευόμενοί τε ἐν ὑετῷ καὶ τὸν ποταμὸν μόλις
διαβάντες, ὕστερον παρεγένοντο, ἤδη τῶν ἀνδρῶν τῶν μὲν δι-
εφθαρμένων, τῶν δὲ ζώντων ἐχομένων· ὡς δ᾽ ᾔσθοντο οἱ Θη-
βαῖοι τὸ γεγενημένον, ἐπεβούλευον τοῖς ἔξω τῆς πόλεως τῶν
Πλαταιέων· ἦσαν γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς καὶ κατα-
σκευή, οἷα ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου· ἐβούλοντο
γὰρ σφίσιν εἴ τινα λάβοιεν ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα
τύχωσί τινες ἐζωγρημένοι· καὶ οἱ μὲν ταῦτα διενοοῦντο· οἱ δ᾽
Πλαταιῆς ἔτι διαβουλευομένων αὐτῶν ὑποτοπήσαντες τοιοῦτον

τι ἔσω καταληφθεῖεν, καὶ διέφθαρται περὶ τοῖς ἔξω. κήρυκα ἐξέπεμψαν
παρὰ τοὺς θηβαίους, λέγοντες ὅτι τὰ πεποιημένα δράσειαν
ἐν σπονδαῖς σφῶν πειραθέντες καταλαβεῖν τὴν πόλιν· τά τε
ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἔφασαν
αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν· οὓς ἔχουσι ζῶντας· ἀναχω-
ρησάντων δὲ πάλιν ἐκ τῆς γῆς, ἀποδώσειν αὐτοῖς τοὺς ἄνδρας.
θηβαῖοι μὲν ταῦτα λέγουσι· καὶ ἐπομόσαι φασὶν αὐτούς· πλα-
ταιῆς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀπο-
δώσειν· ἀλλὰ λόγων πρῶτον γενομένων ἤν τι ξυμβαίνωσι
καὶ ἐπομόσαι οὔ φασιν. ἐκ δ' οὖν τῆς γῆς ἀνεχώρησαν οἱ θη-
βαῖοι, οὐδὲν ἀδικήσαντες· οἱ δὲ πλαταιῆς, ἐπειδὴ τὰ ἐκ
τῆς χώρας κατὰ τάχος ἐσεκομίσαντο, ἀπέκτειναν τοὺς ἄνδρας
εὐθύς· ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες· καὶ εὐ-
ρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες.
τοῦτο δὲ ποιήσαντες, ἔς τε τὰς ἀθήνας ἄγγελον ἔπεμπον· καὶ
τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς θηβαίοις· τά τε ἐν
πόλει καθίσταντο πρὸς τὰ παρόντα ᾗ ἐδόκει αὐτοῖς. τοῖς δὲ
ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ περὶ τῶν πλαταιῶν γεγενημένα
καὶ βοιωτῶν τε παραχρῆμα ξυνέλαβον ὅσοι ἦσαν ἐν τῇ ἀττικῇ
καὶ ἐς τὴν πλάταιαν ἔπεμψαν κήρυκα κελεύοντες αὐτοῖς εἰ-
πεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν οὓς ἔχουσι θη-
βαίων· πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν· οὐ γὰρ
ἠγγέλθη αὐτοῖς ὅτι τεθνηκότες εἶεν· ἅμα γὰρ τῇ ἐσόδῳ γιγνο-
μένῃ τῶν θηβαίων, ὁ πρῶτος ἄγγελος ἐξῄει· ὁ δὲ δεύτερος
ἄρτι νενικημένων τε καὶ ξυνειλημμένων· καὶ τῶν ὕστερον οὐδὲν
ᾔδεσαν· οὕτω δὴ οὐκ εἰδότες οἱ ἀθηναῖοι ἐπέστελλον· ὁ δὲ κῆ-
ρυξ ἀφικόμενος ηὗρε τοὺς ἄνδρας διεφθαρμένους· καὶ μετὰ
ταῦτα οἱ ἀθηναῖοι στρατεύσαντες ἐς πλάταιαν, σῖτόν τε ἐσ-
ήγαγον· καὶ φρουροὺς ἐγκατέλιπον· τῶν τε ἀνθρώπων τοὺς ἀχρειο-

ξὺν γυναιξὶ καὶ παισὶν ἐξεκόμισαν. γεγενημένου δὲ τοῦ ἐν πλα
ταιαῖς ἔργου, καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν, οἱ ἀ
θηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες. παρεσκευάζοντο
δὲ καὶ οἱ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν. πρεσβείας τε
μέλλοντες πέμπειν παρὰ βασιλέα καὶ ἄλλοσε πρὸς τοὺς βαρβάρους,
εἴ ποθέν τινα ὠφελίαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι. πό
λεις τε ξυμμαχίδας ποιούμενοι ὅσαι ἦσαν ἐκτὸς τῆς ἑαυτῶν
δυνάμεως. καὶ λακεδαιμονίοις μὲν πρὸς ταῖς αὐτοῦ ὑπαρ
χούσαις ἐξ ἰταλίας καὶ σικελίας τοῖς τἀκείνων ἑλομένοις, ναῦς
ἐπετάχθη ποιεῖσθαι κατὰ μέγεθος τῶν πόλεων. ὡς ἐς
τὸν πάντα ἀριθμὸν πεντακοσίων νεῶν ἐσομένων. καὶ ἀρ
γύριον ῥητὸν ἑτοιμάζειν. τά τε ἄλλα ἡσυχάζοντας καὶ ἀθη
ναίους δεχομένους μιᾷ νηὶ ἕως ἂν ταῦτα παρασκευασθῇ.
ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον. καὶ
ἐς τὰ περὶ πελοπόννησον μᾶλλον χωρία ἐπρεσβεύοντο. κέρ
κυραν καὶ κεφαλληνίαν, καὶ ἀκαρνᾶνας καὶ ζάκυνθον.
ὁρῶντες εἰ σφίσι ταῦτα φίλια εἴη, βεβαίως πέριξ τὴν πελο
πόννησον καταπολεμήσοντες. ὀλίγον τε ἐπενόουν οὐδὲν
ἀμφότεροι, ἀλλ' ἔρρωντο ἐς τὸν πόλεμον. οὐκ ἀπεικότως. ἀρ
χόμενοι γὰρ πάντες, ὀξύτερον ἀντιλαμβάνονται. τότε δὲ καὶ
νεότης πολλὴ μὲν οὖσα ἐν τῇ πελοποννήσῳ. πολλὴ δ' ἐν ἀθή
ναις, οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου. ἥ τε
ἄλλη ἑλλὰς ἅπασα μετέωρος ἦν, ξυνιουσῶν τῶν πρώτων πόλεων.
καὶ πολλὰ μὲν λόγια ἐλέγετο. πολλὰ δὲ χρησμολόγοι ᾖδον
ἔν τε τοῖς μέλλουσι πολεμήσειν καὶ ἐν ταῖς ἄλλαις πόλεσι. ἔτι
δὲ δῆλος ἐκινήθη ὀλίγον πρὸ τούτων. πρότερον οὔπω σει
σθεῖσα ἀφ' οὗ ἕλληνες μέμνηνται. ἐλέγετο δὲ καὶ ἐδόκει
ἐπὶ τοῖς μέλλουσι γενήσεσθαι σημῆναι. εἴ τέ τι ἄλλο τοιουτό
τροπον ξυνέβη γενέσθαι, πάντα ἀνεζητεῖτο. ἡ δὲ εὔνοια

παρὰ πολὺ ἐποίει τῶν ἀνων μᾶλλον ἐς τοὺς λακεδαιμονίους·
ἄλλως τε καὶ προειπόντων ὅτι τὴν ἑλλάδα ἐλευθεροῦσιν. ἔρ
ρωτό τε πᾶς καὶ ἰδιώτης καὶ πόλις· εἴ τι δύναιτο καὶ ἔργῳ
ξυνεπιλαμβάνειν αὐτοῖς· ἐν τούτῳ τε κεκωλῦσθαι ἑκάστῳ
ἐδόκει τὰ πράγματα, ᾧ μή τις αὐτὸς παρέσται· οὕτως ὀργῇ
εἶχον οἱ πλείους τοὺς ἀθηναίους· οἱ μὲν τῆς ἀρχῆς ἀπολυθῆναι
βουλόμενοι· οἱ δὲ μὴ ἀρχθῶσι φοβούμενοι· παρασκευῇ
μὲν οὖν καὶ γνώμῃ τοιαύτῃ ὥρμηντο· πόλεις δὲ ἑκάτεροι
τάσδε ἔχοντες ξυμμάχους. ἐς τὸν πόλεμον καθίσταντο λακε
δαιμονίων μὲν οἵδε ξύμμαχοι· πελοποννήσιοι μὲν οἱ ἐντὸς
ἰσθμοῦ πάντες πλὴν ἀργείων καὶ ἀχαιῶν· τούτοις δὲ ἐς ἀμ
φοτέρους φιλία ἦν· πελληνῆς δὲ ἀχαιῶν μόνοι ξυνεπολέ
μουν τὸ πρῶτον ἔπειτα δὲ ὕστερον καὶ ἅπαντες· ἔξω δὲ πε
λοποννήσου, μεγαρῆς, λοκροί, βοιωτοί, ἀμπρακιῶται·
φωκῆς· λευκάδιοι· ἀνακτόριοι· τούτων ναυτικὸν παρεί
χοντο, κορίνθιοι· μεγαρῆς· σικυώνιοι· πελληνῆς· ἠλεῖ·
ἀμπρακιῶται· λευκάδιοι· ἱππέας δὲ βοιωτοὶ φωκῆς· λο
κροί· αἱ δ᾽ ἄλλαι πόλεις· πεζὸν παρεῖχον· αὕτη μὲν λακεδαι
μονίων ξυμμαχία· ἀθηναίων δὲ, χῖοι· λέσβιοι· πλα
ταιῆς· μεσσήνιοι οἱ ἐν ναυπάκτῳ· ἀκαρνάνων οἱ πλείους·
κερκυραῖοι· ζακύνθιοι· καὶ ἄλλαι πόλεις· αἱ ὑποτελεῖς
οὖσαι ἐν ἔθνεσι τοσοῖσδε· καρία ἡ ἐπὶ θαλάσσῃ· δωριῆς
καρσὶ πρόσοικοι· ἰωνία· ἑλλήσποντος· τὰ ἐπὶ θρᾴκης·
νῆσοι ὅσαι ἐντὸς πελοποννήσου καὶ κρήτης πρὸς ἥλιον
ἀνίσχοντα· πᾶσαι αἱ ἄλλαι κυκλάδες· πλὴν μήλου καὶ θή
ρας· τούτων ναυτικὸν παρείχοντο, χῖοι· λέσβιοι· κερκυ
ραῖοι· οἱ δ᾽ ἄλλοι πεζὸν καὶ χρήματα· ξυμμαχία μὲν αὕτη
ἑκατέρων καὶ παρασκευὴ ἐς τὸν πόλεμον ἦν· οἱ δὲ λακε
δαιμόνιοι μετὰ τὰ ἐν πλαταιαῖς εὐθὺς περιήγγελλον κατὰ

τὴν πελοπόννησον καὶ τὴν ἔξω ξυμμαχίδα, στρατιὰν παρασκευά-
ζεσθαι ταῖς πόλεσι· τά τε ἐπιτήδεια οἷα εἰκὸς ἐπὶ ἔκδημον στρατείαν
ἔχειν, ὡς ἐσβαλοῦντας ἐς τὴν ἀττικήν· ἐπειδὴ δὲ ἑκάστοις
ἑτοῖμα γίγνοιτο κατὰ τὸν χρόνον τὸν εἰρημένον, ξυνῇσαν τὰ
δύο μέρη ἀπὸ πόλεως ἑκάστης ἐς τὸν ἰσθμόν· καὶ ἐπειδὴ πᾶν
τὸ στράτευμα ξυνειλεγμένον ἦν, ἀρχίδαμος ὁ βασιλεὺς τῶν
λακεδαιμονίων ὅσπερ ἡγεῖτο τῆς ἐξόδου ταύτης, ξυγκαλέσας
τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν, καὶ τοὺς μάλιστα ἐν τέλει
καὶ ἀξιολογωτάτους παρῄνει, τοιάδε λέγων· δημηγορία ἀρχιδάμου

ἄνδρες πελοποννήσιοι καὶ οἱ ξύμμαχοι· καὶ οἱ πατέρες ἡμῶν πολ-
λὰς στρατείας καὶ ἐν αὐτῇ πελοποννήσῳ καὶ ἔξω ἐποιήσαν-
το· καὶ αὐτῶν ἡμῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅ-
μως δὲ τῆσδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν, ἀλλὰ
καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα· καὶ αὐτοὶ πλεῖστοι,
καὶ ἄριστοι στρατεύοντες· δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων
χείρους φαίνεσθαι· μήτε ἡμῶν αὐτῶν τῆς δόξης ἐνδεεστέρους·
ἡ γὰρ ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ ἐπῆρται· καὶ προσέχει τὴν
γνώμην εὔνοιαν ἔχουσα διὰ τὸ ἀθηναίων ἔχθος πρᾶξαι ἡμᾶς,
ἃ ἐπινοοῦμεν· οὔκουν χρή, εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπι-
έναι· καὶ ἀσφάλεια πολλὴ εἶναι, μὴ ἂν ἐλθεῖν τοὺς πολεμίους
ἡμῖν διὰ μάχης, τούτου ἕνεκα ἀμελέστερόν τι παρεσκευασ-
μένους χωρεῖν· ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα καὶ στρα-
τιώτην τὸ καθ᾽ αὑτὸν αἰεὶ προσδέχεσθαι ἐς κίνδυνόν τινα ἥ-
ξειν· ἄδηλα γὰρ τὰ τῶν πολέμων· καὶ ἐξ ὀλίγου τὰ πολλὰ
καὶ δι᾽ ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται· πολλάκις τε τὸ ἔλατ-
τον πλῆθος δεδιὸς, ἄμεινον ἠμύνατο τοὺς πλέονας, διὰ τὸ κα-
ταφρονοῦντας ἀπαρασκεύους γίγνεσθαι· χρὴ δὲ αἰεὶ ἐν τῇ
πολεμίᾳ, τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν· τῷ δὲ ἔργῳ
δεδιότας παρασκευάζεσθαι· οὕτω γὰρ πρός τε τὸ ἐπιέναι

τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν· πρός τε τὸ ἐπιχειρεῖσθαι ἀσ-
φαλέστατοι· ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω
πόλιν ἐρχόμεθα· ἀλλὰ τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην·
ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτούς· εἰ μὴ
καὶ νῦν ὥρμηνται, ἐν ᾧ οὔπω πάρεσμεν· ἀλλ' ὅταν ἐν τῇ γῇ
ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας· πᾶσι
γὰρ ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πάσχοντας ἄηθές τι,
ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι, θυ-
μῷ πλεῖστα ἐς ἔργον καθίστανται· Ἀθηναίους δὲ καὶ πλέον
τι τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι· οἳ ἄρχειν τε τῶν ἄλλων
ἀξιοῦσι, καὶ ἐπιόντες τὴν τῶν πέλας δῃοῦν μᾶλλον, ἢ τὴν αὑ-
τῶν ὁρᾶν· ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες,
καὶ μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις, καὶ ὑμῖν αὐ-
τοῖς ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἕπεσθε ὅποι ἄν τις,
ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποιούμενοι· καὶ
τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι· κάλλιστον γὰρ τόδε
καὶ ἀσφαλέστατον, πολλοὺς ὄντας ἑνὶ κόσμῳ χρωμένους φαί-
νεσθαι. Τοσαῦτα εἰπὼν καὶ διαλύσας τὸν ξύλλογον ὁ Ἀρχί-
δαμος, Μελήσιππον πρῶτον ἀποστέλλει ἐς τὰς Ἀθήνας τὸν Δι-
ακρίτου ἄνδρα Σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ Ἀθη-
ναῖοι, ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας· οἱ δέ, οὐ προσ-
εδέξαντο αὐτὸν ἐς τὴν πόλιν· οὐδ' ἐπὶ τὸ κοινόν· ἦν γὰρ Περι-
κλέους γνώμη πρότερον πρὸ τῆς πρεσβείας νενικηκυῖα, κή-
ρυκα καὶ πρεσβείαν μὴ δέχεσθαι Λακεδαιμονίων ἐξεστρα-
τευμένων· ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι, καὶ ἐ-
κέλευον ἐκτὸς ὅρων εἶναι αὐθημερόν· τό τε λοιπὸν ἀναχω-
ρήσαντας ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται, πρεσβεύεσθαι·
ξυμπέμπουσί τε τῷ Μελησίππῳ ἀγωγούς, ὅπως μηδενὶ ξυγ-
γένηται· ὁ δ', ἐπειδὴ ἐπὶ τοῖς ὁρίοις ἐγένετο, καὶ ἔμελλε διαλύ-
σεσθαι

τοσοῦνδε ἐπορεύετο εἰπών· ἡ δὲ ἡμέρα ἥδε τοῖς ἕλλησι μεγάλων
κακῶν ἄρξει· ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον καὶ ἔγνω ὁ ἀρ
χίδαμος ὅτι οἱ ἀθηναῖοι οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄρας
τῷ στρατῷ προυχώρει ἐς τὴν γῆν αὐτῶν· βοιωτοὶ μέρος μὲν τὸ σφέτερον
καὶ τοὺς ἱππέας παρείχοντο πελοποννησίοις ξυστρατεύειν· τοῖς δὲ
λειπομένοις ἐς πλάταιαν ἐλθόντες τὴν γῆν ἐδῄουν· ἔτι δὲ τῶν
πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν ἰσθμὸν καὶ ἐν ὁδῷ
ὄντων πρὶν ἐσβαλεῖν ἐς τὴν ἀττικήν, περικλῆς ὁ ξανθίππου,
στρατηγὸς ὢν ἀθηναίων δέκατος αὐτός, ὡς ἔγνω τὴν ἐσβολὴν
ἐσομένην ὑποτοπήσας· ὅτι ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε,
μὴ πολλάκις ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι, τοὺς ἀγροὺς
αὐτοῦ παραλίπῃ καὶ μὴ δῃώσῃ, ἢ λακεδαιμονίων κελευσάντων
ἐπὶ διαβολῇ τῇ αὐτοῦ γένηται τοῦτο ὥσπερ καὶ τὰ ἄγη ἐλαύνειν
προεῖπον ἐκείνου, προηγόρευε τοῖς ἀθηναίοις ἐν τῇ ἐκκλη
σίᾳ ὅτι ἀρχίδαμος μέν οἱ ξένος εἴη· οὐ μέντοι ἐπὶ κακῷ γε τῆς
πόλεως γένοιτο· τοὺς δὲ ἀγροὺς τοὺς αὐτοῦ καὶ οἰκίας ἢν ἄρα μὴ
δῃώσωσιν οἱ πολέμιοι ὥσπερ καὶ τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ
δημόσια εἶναι· καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι·
παρῄνει δὲ καὶ περὶ τῶν παρόντων ἅπερ καὶ πρότερον· παρα-
σκευάζεσθαί τε ἐς τὸν πόλεμον· καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομί
ζεσθαι· ἐς τε μάχην μὴ ἐπεξιέναι· ἀλλὰ τὴν πόλιν ἐσελθόντας
φυλάσσειν· καὶ τὸ ναυτικὸν ᾗπερ ἰσχύουσιν ἐξαρτύεσθαι· τά τε
τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν· λέγων τὴν ἰσχὺν αὐτοῖς ἀπὸ
τούτων εἶναι τῶν χρημάτων τῆς προσόδου· τὰ δὲ πολλὰ τοῦ
πολέμου γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι· θαρσεῖν
τε ἐκέλευε προσιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπὶ πολὺ
φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει ἄνευ τῆς ἄλλης
προσόδου· ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου
ἐπισήμου ἑξακισχιλίων ταλάντων· τὰ γὰρ πλεῖστα τριακόσιοι

ἀποδέοντα, μύρια ἐγένοντο· ἀφ' ὧν ἔς τε τὰ προπύλαια καὶ
τἆλλα οἰκοδομήματα, καὶ ἐς ποτίδαιαν ἀπανηλώθη· χωρὶς
δὲ χρυσίου ἀσήμου καὶ ἀργυρίου. ἔν τε ἀναθήμασιν ἰδίοις
καὶ δημοσίοις· καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς
ἀγῶνας καὶ σκῦλα μηδικὰ καὶ εἴ τι τοιουτότροπον, οὐκ ἐλάσ-
σον ἦν ἢ πεντακοσίων ταλάντων· ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱ-
ερῶν προσετίθει χρήματα οὐκ ὀλίγα οἷς χρήσεσθαι αὐτούς·
καὶ ἢν πάνυ ἐξείργωνται τούτων καὶ αὐτοῖς τῆς θεοῦ τοῖς περι-
κειμένοις χρυσίοις· ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα
τάλαντα σταθμὸν χρυσίου ἀπέφθου· καὶ περιαιρετὸν εἶναι ἅ-
παν· χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι, μὴ ἐλάσσω ἀν-
τικαταστῆσαι πάλιν· χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν αὐτούς·
ὁπλίτας δὲ τρισχιλίους καὶ μυρίους εἶναι· ἄνευ τῶν ἐν τοῖς φρου-
ρίοις καὶ τῶν παρ' ἔπαλξιν ἑξακισχιλίων καὶ μυρίων· τοσοῦτοι
γὰρ ἐφύλασσον τὸ πρῶτον, ὁπότε οἱ πολέμιοι ἐσβάλοιεν,
ἀπό τε τῶν πρεσβυτάτων καὶ τῶν νεωτάτων καὶ μετοίκων καὶ
ὅσοι ἦσαν ὁπλῖται· τοῦ τε γὰρ φαληρικοῦ τείχους στάδιοι πέντε
καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεος· καὶ αὐτοῦ τοῦ
κύκλου τὸ φυλασσόμενον. τρεῖς καὶ τεσσαράκοντα· ἔστι δὲ αὐτοῦ
ὃ καὶ ἀφύλακτον ἦν· τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ φαλη-
ρικοῦ· τὰ δὲ μακρὰ τείχη πρὸς τὸν πειραιᾶ τεσσαράκοντα
σταδίων· ὧν τὸ ἔξωθεν ἐτηρεῖτο· καὶ τοῦ πειραιῶς ξὺν μου-
νιχίᾳ, ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος· τὸ δ' ἐν φυ-
λακῇ ὄν, ἥμισυ τούτου· ἱππέας δ' ἀπέφαινε διακοσίους
καὶ χιλίους· ξὺν ἱπποτοξόταις· ἑξακοσίους δὲ καὶ χιλίους το-
ξότας· καὶ τριήρεις τὰς πλωίμους τριακοσίας· ταῦτα γὰρ ὑπῆρ-
χεν ἀθηναίοις καὶ οὐκ ἐλάσσω ἕκαστα τούτων, ὅτε ἡ ἐσβολὴ
τὸ πρῶτον ἔμελλε πελοποννησίων ἔσεσθαι· καὶ ἐς τὸν πό-
λεμον καθίσταντο· ἔλεγε δὲ καὶ ἄλλα οἷάπερ εἰώθει περικλῆς·



ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ· οἱ δὲ ἀθηναῖοι ἀκού-
σαντες ἀνεπείθοντό τε καὶ ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας
καὶ γυναῖκας καὶ τὴν ἄλλην κατασκευὴν ᾗ κατ᾽ οἶκον ἐχρῶντο·
καὶ αὐτῶν τῶν οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν· πρόβατα δὲ
καὶ ὑποζύγια ἐς τὴν εὔβοιαν διεπέμψαντο καὶ ἐς τὰς νήσους
τὰς ἐπικειμένας. χαλεπῶς δὲ αὐτοῖς διὰ τὸ αἰεὶ εἰωθέναι τοὺς
πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι ἡ ἀνάστασις ἐγίγνετο. ξυνε-
βεβήκει δὲ ἀπὸ τοῦ πάνυ ἀρχαίου ἑτέρων μᾶλλον ἀθηναίοις
τοῦτο. ἐπὶ γὰρ κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ ἀττικὴ
ἐς θησέα. αἰεὶ κατὰ πόλεις ᾠκεῖτο· πρυτανεῖά τε ἐχούσας καὶ ἄρ-
χοντας· καὶ ὁπότε μή τι δείσειαν οὐ ξυνῇσαν βουλευσόμενοι
ὡς τὸν βασιλέα· ἀλλ᾽ αὐτοὶ ἕκαστοι ἐπολίτευον καὶ ἐβουλεύον-
το· καί τινες καὶ ἐπολέμησάν ποτε αὐτῶν. ὥσπερ καὶ ἐλευ-
σίνιοι μετ᾽ εὐμόλπου πρὸς τὸν ἐρεχθέα. ἐπειδὴ δὲ θησεὺς
ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνατός, τά τε
ἄλλα διεκόσμησε τὴν χώραν, καὶ καταλύσας τῶν ἄλλων πό-
λεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς ἐς τὴν νῦν πόλιν οὖσαν,
ἓν βουλευτήριον ἀποδείξας καὶ πρυτανεῖον, ξυνῴκισε πάν-
τας, καὶ νεμομένους τὰ αὑτῶν ἑκάστους ἅπερ καὶ πρὸ τοῦ, ἠνάγκα-
σε μιᾷ πόλει ταύτῃ χρῆσθαι· ἣ ἁπάντων ἤδη ξυντελούντων ἐς
αὐτήν, μεγάλη γενομένη, παρεδόθη ὑπὸ θησέως τοῖς ἔπειτα·
καὶ ξυνοίκια ἐξ ἐκείνου ἀθηναῖοι ἔτι καὶ νῦν τῇ θεῷ, ἑορτὴν
δημοτελῆ ποιοῦσι· τὸ δὲ πρὸ τοῦ ἡ ἀκρόπολις ἡ νῦν οὖσα
πόλις ἦν· καὶ τὸ ὑπ᾽ αὐτὴν πρὸς νότον μάλιστα τετραμμένον·
τεκμήριον δέ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ ἄλλων
θεῶν ἐστί· καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον
ἵδρυται· τό τε τοῦ διὸς τοῦ ὀλυμπίου καὶ τὸ πύθιον καὶ τὸ τῆς γῆς·
καὶ τὸ ἐν λίμναις διονύσου, ᾧ τὰ ἀρχαιότερα διονύσια τῇ
τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ ἀνθεστηριῶνι· ὥσπερ καὶ οἱ ἀπ᾽

ἀθηναῖοι ἴωνες ἔτι καὶ νῦν νομίζουσι· ἱδρύνται δὲ καὶ ἄλλα ἱε-
ρὰ ἀρχαῖα ταύτῃ· καὶ τῇ κρήνῃ τῇ νῦν μὲν τῶν τυράννων
οὕτω σκευασάντων ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι
φανερῶν οὐσῶν τῶν πηγῶν καλλιρρόῃ ὠνομασμένῃ, ἐκεῖνοι
τε ἐγγὺς οὔσῃ τὰ πλείστου ἄξια ἐχρῶντο· καὶ νῦν ἔτι ἀπὸ τοῦ
ἀρχαίου πρό τε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ
ὕδατι χρῆσθαι· καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκη-
σιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπὸ ἀθηναίων πόλις·
τῇ τε οὖν ἐπὶ πολὺ κατὰ τὴν χώραν αὐτονόμῳ οἰκήσει μετεῖχον
οἱ ἀθηναῖοι· καὶ ἐπειδὴ ξυνῳκίσθησαν διὰ τὸ ἔθος ἐν τοῖς ἀ-
γροῖς, ὅμως οἱ πλείους τῶν τε ἀρχαίων καὶ τῶν ὕστερον μέχρι
τοῦδε τοῦ πολέμου πανοικεσίᾳ γενόμενοί τε καὶ οἰκήσαν-
τες, οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο· ἄλλως τε καὶ ἄρτι
ἀνειληφότες τὰς κατασκευὰς μετὰ τὰ μηδικά· ἐβαρύνοντο δὲ
καὶ χαλεπῶς ἔφερον οἰκίας τε καταλείποντες καὶ ἱερὰ ἃ
διὰ παντὸς ἦν αὐτοῖς ἐκ τῆς κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια·
δίαιτάν τε μέλλοντες μεταβάλλειν· καὶ οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὑ-
τοῦ ἀπολείπων ἕκαστος· ἐπειδή τε ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις
μέν τισιν ὑπῆρχον οἰκήσεις· καὶ παρὰ φίλων τινὰς ἢ οἰκείων
καταφυγή· οἱ δὲ πολλοὶ τά τε ἐρῆμα τῆς πόλεως ᾤκησαν καὶ
τὰ ἱερὰ καὶ τὰ ἡρῷα πάντα· πλὴν τῆς ἀκροπόλεως καὶ τοῦ
ἐλευσινίου, καὶ εἴ τι ἄλλο βεβαίως κληστὸν ἦν· τό τε πελαργικὸν
τὸ ὑπὸ τὴν ἀκρόπολιν· ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν· καί τι
καὶ πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε
λέγον ὡς τὸ πελαργικὸν ἀργὸν ἄμεινον· ὅμως ὑπὸ τῆς πα-
ραχρῆμα ἀνάγκης ἐξῳκήθη· καί μοι δοκεῖ τὸ μαντεῖον τοὐ-
ναντίον ξυμβῆναι ἢ προσεδέχοντο· οὐ γὰρ διὰ τὴν παράνομον
οἴκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει· ἀλλὰ διὰ τὸν πόλεμον
ἡ ἀνάγκη τῆς οἰκήσεως· ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον, προῄδει

μὴ ἐπ᾽ ἀγαθῷ αὐτό ποτε κατοικισθησόμενον. κατεσκευάσαντο δὲ
καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν πολλοὶ καὶ ὡς ἕκαστός που ἐδύ-
νατο· οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις· ἀλλ᾽ ὕστερον
δὴ τά τε μακρὰ τείχη ᾤκησαν κατανειμάμενοι καὶ τοῦ Πειραιῶς
τὰ πολλά· ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο· ξυμ-
μάχους τε ἀγείροντες· καὶ τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπί-
πλουν ἐξαρτύοντες· καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.
ὁ δὲ στρατὸς τῶν Πελοποννησίων προϊὼν ἀφίκετο τῆς Ἀτ-
τικῆς ἐς Οἰνόην πρῶτον ᾗπερ ἔμελλον ἐσβαλεῖν· καὶ ὡς ἐ-
καθέζοντο προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησό-
μενοι μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ· ἡ γὰρ Οἰνόη οὖσα ἐν με-
θορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας ἐτετείχιστο· καὶ αὐτῷ φρου-
ρίῳ ἐχρῶντο οἱ Ἀθηναῖοι ὁπότε πόλεμος καταλάβοι· τάς
τε οὖν προσβολὰς ηὐτρεπίζοντο· καὶ ἄλλως ἐνδιέτριψαν τὸν
χρόνον περὶ αὐτήν· αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν
ἀπ᾽ αὐτοῦ δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς
εἶναι· καὶ τοῖς Ἀθηναίοις ἐπιτήδειος· οὐ παραινῶν προθύμως
πολεμεῖν· ἐπειδή τε ξυνελέγετο ὁ στρατὸς ἥ τε ἐν τῷ Ἰσθμῷ
ἐπιμονὴ γενομένη καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης,
διέβαλεν αὐτόν· μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἐπίσχεσις· οἱ
γὰρ Ἀθηναῖοι ἐσεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ· καὶ ἐδόκουν
οἱ Πελοποννήσιοι ἐπελθόντες ἂν διὰ τάχους πάντα ἔτι ἔ-
ξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν· ἐν τοιαύτῃ μὲν
ὀργῇ ὁ στρατὸς τὸν Ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν· ὁ δὲ
προσδεχόμενος ὡς λέγεται τοὺς Ἀθηναίους τῆς γῆς ἔτι ἀκε-
ραίου οὔσης ἐνδώσειν τι καὶ κατοκνήσειν περιιδεῖν αὐτὴν τμη-
θεῖσαν, ἀνεῖχεν· ἐπειδὴ μέντοι προσβαλόντες τῇ Οἰνόῃ καὶ
πᾶσαν ἰδέαν πειράσαντες οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε Ἀθηναῖοι
οὐδὲν ἐπεκηρυκεύοντο, οὕτω δὴ ὁρμήσαντες ἀπ᾽ αὐτῆς μετὰ

τὰ ἐν πλαταίᾳ τῶν ἐσελθόντων θηβαίων γενόμενα ἡμέρᾳ ὀγδοη-
κοστῇ μάλιστα τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐσέβαλον
ἐς τὴν ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν ἀρχίδαμος ὁ ζευξιδάμου λα-
κεδαιμονίων βασιλεύς· καὶ καθεζόμενοι, ἔτεμνον πρῶτον
μὲν ἐλευσῖνα καὶ τὸ θριάσιον πεδίον· καὶ τροπήν τινα τῶν ἀ-
θηναίων ἱππέων ἐποιήσαντο· περὶ τοὺς ῥείτους καλουμένους
ἐποιήσαντο· ἔπειτα προυχώρουν ἐν δεξιᾷ ἔχοντες τὸ αἰγά-
λεων ὄρος διὰ κρωπιᾶς· ἕως ἀφίκοντο ἐς ἀχαρνάς, χωρίον
μέγιστον τῆς ἀττικῆς τῶν δήμων καλουμένων· καὶ καθεζό-
μενοι ἐς αὐτὸ στρατόπεδόν τε ἐποιήσαντο· χρόνον τε πολὺν ἐμ-
μείναντες ἔτεμνον· γνώμῃ δὲ τοιᾷδε λέγεται τὸν ἀρχίδαμον,
περί τε τὰς ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι· καὶ ἐς
τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι· τοὺς γὰρ ἀθηναίους
ἤλπιζεν ἀκμάζοντάς τε νεότητι πολλῇ καὶ παρεσκευασμένους
ἐς πόλεμον, ὡς οὔπω πρότερον ἴσως ἂν ἐπεξελθεῖν· καὶ τὴν
γῆν οὐκ ἂν περιιδεῖν τμηθῆναι· ἐπειδὴ οὖν αὐτῷ ἐς ἐλευσῖνα
καὶ τὸ θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο περὶ
τὰς ἀχαρνὰς καθήμενος εἰ ἐπεξίασιν· ἅμα μὲν γὰρ αὐτῷ ὁ
χῶρος ἐπιτήδειος ἐφαίνετο, ἐνστρατοπεδεῦσαι· ἅμα δὲ καὶ
οἱ ἀχαρνῆς μέγα μέρος ὄντες τῆς πόλεως. τρισχίλιοι γὰρ ὁ-
πλῖται ἐγένοντο, οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα δι-
αφθαρέντα· ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην· εἴ τε καὶ
μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ οἱ ἀθηναῖοι, ἀδεέστερον
ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν καὶ πρὸς αὐτὴν τὴν πόλιν
χωρήσεσθαι· τοὺς γὰρ ἀχαρνέας ἐστερημένους τῶν σφετέρων,
οὐχ ὁμοίως προθύμους ἔσεσθαι ὑπὲρ τῆς τῶν ἄλλων κινδυ-
νεύειν· στάσιν δ' ἐνέσεσθαι τῇ γνώμῃ. τοιαύτῃ μὲν διανοίᾳ ὁ
ἀρχίδαμος περὶ τὰς ἀχαρνὰς ἦν· ἀθηναῖοι δὲ μέχρι μὲν οὗ
περὶ ἐλευσῖνα καὶ τὸ θριάσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα

ἐλπίδα δὲ ἔχοντες τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι· μεμνημένοι
καὶ πλειστοάνακτα τὸν παυσανίου λακεδαιμονίων βασιλέα
ὅτε ἐσβαλὼν τῆς ἀττικῆς ἐς ἐλευσῖνα καὶ θριῶζε στρατῷ πε-
λοποννησίων πρὸ τοῦδε τοῦ πολέμου. τέσσαρσι καὶ δέκα
ἔτεσιν ἀνεχώρησε πάλιν. ἐς τὸ πλέον οὐκέτι προελθών·
διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ σπάρτης δόξαντι χρήμα-
σι πεισθῆναι τὴν ἀναχώρησιν· ἐπειδὴ δὲ περὶ ἀχαρνὰς εἶδον
τὸν στρατὸν ἑξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι
ἀνασχετὸν ἐποιοῦντο· ἀλλ' αὐτοῖς ὡς εἰκὸς γῆς τεμνομένης,
ἐν τῷ ἐμφανεῖ. ὃ οὔπω ἑοράκεσαν οἵ γε νεώτεροι. οὐδ' οἱ πρε-
σβύτεροι πλὴν τὰ μηδικά. δεινὸν ἐφαίνετο· καὶ ἐδόκει τοῖς
τε ἄλλοις καὶ μάλιστα τῇ νεότητι ἐπεξιέναι καὶ μὴ περιορᾶν.
κατὰ ξυστάσεις τε γιγνόμενοι. ἐν πολλῇ ἔριδι ἦσαν· οἱ μὲν κε-
λεύοντες ἐπεξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. χρησμολόγοι τε ᾖ-
δον χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὥρμητο. οἵ τε
ἀχαρνῆς οἰόμενοι παρὰ σφίσιν αὐτοῖς, οὐκ ἐλαχίστην μοῖραν
εἶναι ἀθηναίων. ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον
μάλιστα· παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις καὶ τὸν περικλέα
ἐν ὀργῇ εἶχον· καὶ ὧν παρῄνεσε πρότερον ἐμέμνηντο οὐδέν·
ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι· αἴτιόν τε σφίσιν
ἐνόμιζον πάντων ὧν ἔπασχον· περικλῆς δὲ ὁρῶν αὐτοὺς
πρὸς τὸ παρὸν χαλεπαίνοντας. καὶ οὐ τὰ ἄριστα φρονοῦντας,
πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλη-
σίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀρ-
γῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν· τήν τε πόλιν
ἐφύλασσε καὶ δι' ἡσυχίας μάλιστα ὅσον ἐδύνατο εἶχεν· ἱππέ-
ας μέντοι ἐξέπεμπεν αἰεὶ τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς
ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν·
καὶ ἱππομαχία τις ἐγένετο βραχεῖα ἐν φρυγίοις τῶν τε ἀθηναίων

τέλει ἑνὶ τῶν ἱππέων καὶ θεσσαλῶν μετ' αὐτῶν πρὸς τοὺς βοιωτῶν ἱπ-
πέας· ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ ἀθηναῖοι καὶ οἱ θεσσαλοί· μέχρι οὗ
προσβοηθησάντων τοῖς βοιωτοῖς ὁπλιτῶν, τροπὴ ἐγένετο αὐτῶν
καὶ ἀπέθανον τῶν θεσσαλῶν καὶ ἀθηναίων οὐ πολλοί· ἀνείλοντο
μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους· καὶ οἱ πελοποννήσιοι
τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν· ἡ δὲ βοήθεια αὕτη τῶν θεσσαλῶν
κατὰ τὸ παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς ἀθηναίοις· καὶ ἀφί-
κοντο παρ' αὐτοὺς λαρισσαῖοι· φαρσάλιοι· πυράσιοι· κρανω-
νιοι· γυρτώνιοι· φεραῖοι· ἡγοῦντο δὲ αὐτῶν ἐκ μὲν λαρίσσης
πολυμήδης καὶ ἀριστόνους, ἀπὸ τῆς στάσεως ἑκάτερος· ἐκ
δὲ φαρσάλου, μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρ-
χοντες· οἱ δὲ πελοποννήσιοι ἐπειδὴ οὐκ ἐπεξῄεσαν αὐτοῖς οἱ ἀ-
θηναῖοι ἐς μάχην ἄραντες ἐκ τῶν ἀχαρνῶν, ἐδῄουν τῶν δή-
μων τινὰς τῶν μεταξὺ πάρνηθος καὶ βριλησσοῦ ὄρους· ὄντων δὲ
αὐτῶν ἐν τῇ γῇ, οἱ ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ
πελοπόννησον ἅσπερ παρεσκευάζοντο· καὶ χιλίους ὁπλίτας
ἐπ' αὐτῶν· καὶ τοξότας τετρακοσίους· ἐστρατήγει δὲ αὐτῶν
καρκίνος τε ὁ ξενοτίμου· καὶ πρωτέας ὁ ἐπικλέους· καὶ σω-
κράτης ὁ ἀντιγένους· καὶ οἱ μὲν ἄραντες τῇ παρασκευῇ ταύτῃ
περιέπλεον· οἱ δὲ πελοποννήσιοι χρόνον ἐμμείναντες ἐν
τῇ ἀττικῇ, ὅσου εἶχον τὰ ἐπιτήδεια, ἀνεχώρησαν διὰ βοιω-
τῶν οὐχ ᾗπερ ἐσέβαλον· παριόντες δὲ ὠρωπὸν τὴν γῆν τὴν γραϊ-
κὴν καλουμένην ἣν νέμονται ὠρώπιοι ἀθηναίων ὑπήκοοι,
ἐδῄωσαν· ἀφικόμενοι δὲ ἐς πελοπόννησον διελύθησαν κατὰ
πόλεις ἕκαστοι· ἀναχωρησάντων δὲ αὐτῶν, οἱ ἀθηναῖοι φυλα-
κὰς κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὥσπερ δὴ
ἔμελλον διὰ παντὸς τοῦ πολέμου διαφυλάξειν· καὶ χίλια
τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων, ἔδοξεν αὐτοῖς ἐ-
ξαίρετα ποιησαμένοις χωρὶς θέσθαι καὶ μὴ ἀναλοῦν· ἀλλὰ

ἀπὸ τῶν ἄλλων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν
τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρα-
τῷ ἐπιπλέωσι τῇ πόλει καὶ δέῃ ἀμύνασθαι, θάνατον τὴν ζη-
μίαν ἐπέθεντο· τριήρεις τε μετ' αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιή-
σαντο, κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας· καὶ τριη-
ράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν
χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἢν δέῃ· οἱ δ' ἐν ταῖς ἑ-
κατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι καὶ Κερκυραῖοι μετ'
αὐτῶν πεντήκοντα ναυσὶ προσβεβοηθηκότες καὶ ἄλλοι τινὲς
τῶν ἐκεῖ ξυμμάχων, ἄλλα τε ἐκάκουν περιπλέοντες· καὶ ἐς
Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες, τῷ τείχει προσέβαλον
ὄντι ἀσθενεῖ· καὶ ἀνθρώπων οὐκ ἐνόντων· ἔτυχε δὲ περὶ τοὺς χώρους
τούτους Βρασίδας ἀνὴρ Σπαρτιάτης ὁ Τέλλιδος φρουρὰν ἔχων·
καὶ αἰσθόμενος ἐβοήθει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν.
διαδραμὼν δὲ τὸ τῶν Ἀθηναίων στρατόπεδον ἐσκεδασμένον
κατὰ τὴν χώραν· καὶ πρὸς τὸ τεῖχος τετραμμένον, ἐσπίπτει
ἐς τὴν Μεθώνην· καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσδρομῇ ἀπολέσας,
τῶν μεθ' αὐτοῦ, τήν τε πόλιν περιεποίησε· καὶ ἀπὸ τούτου
τοῦ τολμήματος, πρῶτος τῶν κατὰ τὸν πόλεμον, ἐπῃνέθη ἐν
Σπάρτῃ· οἱ δὲ Ἀθηναῖοι ἄραντες παρέπλεον· καὶ σχόντες
τῆς Ἠλείας ἐς Φειάν, ἐδῄουν τὴν γῆν ἐπὶ δύο ἡμέρας· καὶ προσ-
βοηθήσαντας τοὺς ἐκ τῆς κοίλης Ἤλιδος, τριακοσίους λογάδας,
καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων, μάχῃ ἐκράτησαν·
ἀνέμου δὲ κατιόντος μεγάλου χειμαζόμενοι ἐν ἀλιμένῳ
χωρίῳ, οἱ μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς· καὶ περιέπλεον
τὸν Ἰχθῦν καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα· οἱ δὲ
Μεσσήνιοι ἐν τούτῳ καὶ ἄλλοι τινές, οἱ οὐ δυνάμενοι ἐπιβῆναι,
κατὰ γῆν χωρήσαντες τὴν Φειὰν αἱροῦσι· καὶ ὕστερον αἱ νῆες
περιπλεύσασαι, ἀναλαμβάνουσιν αὐτούς· καὶ ἐξανάγονται

ἐκλιπόντες τὴν φειάν· καὶ τῶν ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ προσεβεβοηθήκει· παραπλεύσαντες δὲ οἱ ἀθηναῖοι ἐπὶ ἄλλα χωρία ἐδῄουν· ὑπὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον οἱ ἀθηναῖοι τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν λοκρίδα· καὶ εὐβοίας ἅμα φυλακήν· ἐστρατήγει δὲ αὐτῶν κλεόπομπος ὁ κλεινίου· καὶ ἀποβάσεις ποιησάμενος, τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε καὶ θρόνιον εἷλεν· ὁμήρους τε ἔλαβεν αὐτῶν· καὶ ἐν ἀλόπῃ τοὺς βοηθήσαντας λοκρῶν, μάχῃ ἐκράτησε· ἀνέστησαν δὲ καὶ αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ αἰγίνης ἀθηναῖοι· αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας· ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν αἴγιναν ἀσφαλέστερον ἐφαίνετο τῇ πελοποννήσῳ ἐπικειμένην αὐτῶν, πέμψαντας ἐποίκους ἔχειν· καὶ ἐξέπεμψαν ὕστερον οὐ πολλῷ ἐς αὐτὴν τοὺς οἰκήτορας· ἐκπεσοῦσι δὲ τοῖς αἰγινήταις, οἱ λακεδαιμόνιοι, ἔδοσαν θυρέαν οἰκεῖν· καὶ τὴν γῆν νέμεσθαι κατά τε τὸ ἀθηναίων διάφορον· καὶ ὅτι σφῶν εὐεργέται ἦσαν ὑπὸ τὸν σεισμόν· καὶ τῶν εἱλώτων τὴν ἐπανάστασιν· ἡ δὲ θυρεάτις γῆ, μεθορία τῆς ἀργείας καὶ λακωνικῆς ἐστιν ἐπὶ θάλασσαν καθήκουσα· καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν· οἱ δ' ἐσπάρησαν κατὰ τὴν ἄλλην ἑλλάδα· τοῦ δ' αὐτοῦ θέρους νουμηνίᾳ κατὰ σελήνην, ὥσπερ καὶ μόνον δοκεῖ εἶναι γίγνεσθαι δυνατόν, ὁ ἥλιος ἐξέλιπε μετὰ μεσημβρίαν· καὶ πάλιν ἀνεπληρώθη, γενόμενος μηνοειδής· καὶ ἀστέρων τινῶν ἐκφανέντων· καὶ τῷ αὐτῷ θέρει νυμφόδωρον τὸν πύθεω ἀβδηρίτην οὗ εἶχε τὴν ἀδελφὴν σιτάλκης, δυνάμενον παρ' αὐτῷ μέγα, οἱ ἀθηναῖοι πρότερον πολέμιον νομίζοντες, πρόξενον ἐποιήσαντο· καὶ μετεπέμψαντο βουλόμενοι σιτάλκην σφίσι τὸν τήρεω θρᾳκῶν βασιλέα ξύμμαχον γενέσθαι· ὁ δὲ τήρης οὗτος ὁ τοῦ σιτάλκου πατήρ, πρῶτος ὀδρύσαις τὴν

μεγάλην βασιλείαν ἐπὶ πλέον τῆς ἄλλης θρᾴκης ἐποίησε·
πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι θρᾳκῶν. τηρεῖ δὲ τῷ πρό-
κνην τὴν πανδίονος ἀπ' ἀθηνῶν σχόντι γυναῖκα, προσήκει
ὁ τήρης οὗτος οὐδέν· οὐδὲ τῆς αὐτῆς θρᾴκης ἐγένετο· ἀλλ' ὁ
μὲν ἐν δαυλίᾳ τῆς φωκίδος νῦν καλουμένης γῆς ὁ τηρεὺς
ᾤκει, τότε ὑπὸ θρᾳκῶν οἰκουμένης· καὶ τὸ ἔργον τὸ περὶ τὸν
ἴτυν αἱ γυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔπραξαν· πολλοῖς δὲ καὶ τῶν
ποιητῶν ἐν ἀηδόνος μνήμῃ δαυλιὰς ἡ ὄρνις ἐπωνόμασται.
εἰκός δὲ καὶ τὸ κῆδος πανδίονα ξυνάψασθαι τῆς θυγατρὸς
διὰ τοσούτου ἐπ' ὠφελίᾳ τῇ πρὸς ἀλλήλους μᾶλλον. ἢ διὰ
πολλῶν ἡμερῶν ἐς ὀδρύσας ὁδοῦ· τήρης δὲ οὐ τὸ αὐτὸ ὄνο-
μα τὸ αὐτὸ ἔχων, βασιλεύς τε πρῶτος, ἐν κράτει ὀδρυσῶν ἐ-
γένετο· οὗ δὴ ὄντα τὸν σιτάλκην οἱ ἀθηναῖοι ξύμμαχον ἐποιοῦν-
το· βουλόμενοι σφίσι τὰ ἐπὶ θρᾴκης χωρία, καὶ περδίκ-
καν ξυνεξελεῖν αὐτόν· ἐλθών τε ἐς τὰς ἀθήνας ὁ νυμφόδωρος
τήν τε τοῦ σιτάλκου ξυμμαχίαν ἐποίησε, καὶ σάδοκον τὸν υἱὸν
αὐτοῦ ἀθηναῖον· τόν τε ἐπὶ θρᾴκης πόλεμον ὑπεδέχετο κα-
ταλύσειν· πείσειν γὰρ σιτάλκην πέμπειν στρατιὰν θρᾳκίαν ἀ-
θηναίοις, ἱππέων τε καὶ πελταστῶν· ξυνεβίβασε δὲ καὶ
τὸν περδίκκαν τοῖς ἀθηναίοις· καὶ θέρμην αὐτῷ ἔπεισεν
ἀποδοῦναι· ξυνεστράτευσέ τε εὐθὺς περδίκκας ἐπὶ χαλκιδέας
μετὰ ἀθηναίων καὶ φορμίωνος· οὕτω μὲν σιτάλκης τε ὁ τή-
ρεω θρᾳκῶν βασιλεὺς ξύμμαχος ἐγένετο ἀθηναίοις· καὶ
περδίκκας ὁ ἀλεξάνδρου μακεδόνων βασιλεύς· οἱ δ' ἐν
ταῖς ἑκατὸν ναυσὶν ἀθηναῖοι ἔτι ὄντες περὶ πελοπόννησον,
σόλλιόν τε κορινθίων πόλισμα αἱροῦσι· καὶ παραδιδόασι
παλαιρεῦσιν ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέ-
μεσθαι· καὶ ἀστακόν ἧς εὔαρχος ἐτυράννει λαβόντες
κατὰ κράτος καὶ ἐξελάσαντες αὐτόν, τὸ χωρίον ἐς τὴν

ξυμμαχίαν προσεποιήσαντο· ἐπί τε κεφαλληνίαν τὴν νῆσον προσπλεύσαντες, προσηγάγοντο ἄνευ μάχης· κεῖται δὲ ἡ κεφαλληνία, κατὰ ἀκαρνανίαν καὶ λευκάδα, τετράπολις οὖσα παλῆς· κράνιοι· σαμαῖοι· προνναῖοι· ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς ἀθήνας· περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου, ἀθηναῖοι πανδημεὶ αὐτοὶ καὶ οἱ μέτοικοι, ἐσέβαλον ἐς τὴν μεγαρίδα περικλέους τοῦ ξανθίππου στρατηγοῦντος· καὶ οἱ περὶ πελοπόννησον ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυσίν, ἔτυχον γὰρ ἤδη ἐν αἰγίνῃ ὄντες ἐπ' οἴκου ἀνακομιζόμενοι, ὡς ᾔσθοντο τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ ἐν μεγάροις ὄντας, ἔπλευσαν παρ' αὐτοὺς καὶ ξυνεμίχθησαν· στρατόπεδόν τε δὴ μέγιστον τοῦτο ἀθηναίων ἀθρόον ἐγένετο· ἀκμαζούσης ἔτι τῆς πόλεως· καὶ οὔπω νενοσηκυίας· μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν αὐτοὶ ἀθηναῖοι· χωρὶς δ' αὐτοῖς οἱ ἐν ποτιδαίᾳ τρισχίλιοι ἦσαν· μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν· χωρὶς δὲ ὁ ἄλλος ὅμιλος ψιλῶν οὐκ ὀλίγος· δῃώσαντες δὲ τῆς γῆς τὰ πολλὰ ἀνεχώρησαν· ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ ἔτος ἕκαστον ἐσβολαὶ ἀθηναίων ἐς τὴν μεγαρίδα, καὶ ἱππέων καὶ πανστρατιᾷ, μέχρι οὗ νίσαια ἑάλω ὑπὸ ἀθηναίων· ἐτειχίσθη δὲ καὶ ἀταλάντη ὑπὸ ἀθηναίων φρούριον τοῦ θέρους τούτου τελευτῶντος, ἡ ἐπὶ λοκροῖς τοῖς ὀπουντίοις νῆσος ἐρήμη πρότερον οὖσα· τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ ὀποῦντος καὶ τῆς ἄλλης λοκρίδος κακουργεῖν τὴν εὔβοιαν· ταῦτα μὲν ἐν τῷ θέρει τούτῳ μετὰ τὴν πελοποννησίων ἐκ τῆς ἀττικῆς ἀναχώρησιν ἐγένετο· τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὔαρχος ὁ ἀκαρνάν, βουλόμενος ἐς τὴν ἀστακὸν κατελθεῖν, πείθει κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντακοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατά-

γειν

β

πλεύσαντας. καὶ αὐτὸς ἐπικούρους τινὰς ἐμισθώσατο. ἦρχε δὲ
τῆς στρατιᾶς Ἐφαμίδας ὁ Ἀρεστωνύμου καὶ Τιμόξενος ὁ Τιμο-
κράτους καὶ Εὔμαχος ὁ Χρυσίδος. καὶ πλεύσαντες καὶ ἤγαγον
καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν, ἔστιν ἃ χωρία
βουλόμενοι προσποιήσασθαι καὶ πειραθέντες ὡς οὐκ ἐδύναντο
ἀπέπλεον ἐπ' οἴκου. σχόντες δ' ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν
καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν ἀπατηθέντες ὑπ'
αὐτῶν ἐξ ὁμολογίας τινός, ἄνδρας τε ἀποβάλλουσι σφῶν αὐτῶν
ἐπιθεμένων ἀπροσδοκήτως τῶν Κρανίων. καὶ βιαιότερον ἀνα-
γαγόμενοι, ἐκομίσθησαν ἐπ' οἴκου. ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀ-
θηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο,
τῶν ἐν τῷδε τῷ πολέμῳ πρώτων ἀποθανόντων, τρόπῳ τοιῷδε.
τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων πρότριτα σκηνὴν ποι-
ήσαντες. καὶ ἐπιφέρει τῷ αὐτοῦ ἕκαστος ἤν τι βούληται. ἐπειδὰν
δὲ καὶ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμα-
ξαι φυλῆς ἑκάστης μίαν. ἔνεστι δὲ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς.
μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν. οἳ ἂν μὴ
εὑρεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ
ἀστῶν καὶ ξένων. καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ
τὸν τάφον ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα,
ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως. καὶ αἰεὶ ἐν αὐτῷ
θάπτουσι τοὺς ἐκ τῶν πολέμων. πλήν γε τοὺς ἐν Μαραθῶνι. ἐκεί-
νων δὲ τὴν ἀρετὴν διαπρεπῆ κρίναντες, αὐτοῦ καὶ τὸν τάφον
ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῇ, ἀνὴρ ᾑρημένος ἀπὸ
τῆς πόλεως ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξι-
ώσει προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ
δὲ τοῦτο ἀπέρχονται. ὧδε μὲν θάπτουσι καὶ διὰ παντὸς τοῦ πο-
λέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. ἐπὶ δ' οὖν
τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ Ξανθίππου ᾑρέθη λέγειν. καὶ

ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆ-
μα ὑψηλὸν πεποιημένον ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμί-
λου, ἔλεγε τοιάδε:-

## ἐπιτάφιος

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ
νόμῳ τὸν λόγον τόνδε. ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θα-
πτομένοις ἀγορεύεσθαι αὐτόν· ἐμοὶ δὲ ἀρκοῦν ἂν ἐδόκει εἶναι,
ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τι-
μάς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέν-
τα ὁρᾶτε· καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι,
εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι· χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν,
ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται· ὅ τε γὰρ ξυ-
νειδὼς καὶ εὔνους ἀκροατής, τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ
βούλεταί τε καὶ ἐπίσταται, νομίσειε δηλοῦσθαι· ὅ τε ἄπειρος
ἔστιν ἃ καὶ πλεονάζεσθαι διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ
φύσιν ἀκούοι· μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ
ἑτέρων λεγόμενοι· ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκα-
νὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθο-
νοῦντες ἤδη καὶ ἀπιστοῦσιν· ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκι-
μάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ πει-
ρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐ-
πὶ πλεῖστον· ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον
γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς
μνήμης δίδοσθαι· τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες,
διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρε-
τὴν παρέδοσαν· καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου· καὶ ἔτι μᾶλλον οἱ
πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν
ἀρχήν, οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον· τὰ δὲ πλείω
αὐτῆς, αὐτοὶ ἡμεῖς οἵδε οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστη-
κυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν· καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευά-

σαμεν

καὶ ἐς πόλεμον καὶ εἰρήνην αὐταρκεστάτην· ὧν ἐγὼ τὰ μὲν
κατὰ πολέμους ἔργα οἷς ἐκτήθη ἕκαστα, ἢ εἴ τι αὐτοὶ οἱ πατέρες ἡ-
μῶν βάρβαρον ἢ ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠ-
μυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος ἐάσω·
ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ᾽ αὐτά, καὶ μεθ᾽ οἵ-
ας πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα
δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον· νομίζων
ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτά, καὶ τὸν πάν-
τα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπα-
κοῦσαι· χρώμεθα γὰρ πολιτείᾳ, οὐ ζηλοῦσαν τοὺς τῶν πέλας νό-
μους· παράδειγμα δὲ μᾶλλον ὄντες αὐτοὶ ἢ μιμούμενοι ἑτέ-
ρους· καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ᾽ ἐς πλείονας οἰκεῖν,
δημοκρατία κέκληται· μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς
τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον· κατὰ δὲ τὴν ἀξίωσιν ὡς ἕκα-
στος ἔν τῳ εὐδοκιμεῖ· οὐκ ἀπὸ μέρους τὸ πλέον ἐς τὰ κοινὰ ἢ
ἀπ᾽ ἀρετῆς προτιμᾶται· οὐδ᾽ αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγα-
θὸν δρᾶσαι τὴν πόλιν ἀξιώματος ἀφανείᾳ κεκώλυται· ἐλευ-
θέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν· καὶ ἐς τὴν πρὸς
ἀλλήλους τῶν καθ᾽ ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι᾽ ὀργῆς
τὸν πέλας εἰ καθ᾽ ἡδονήν τι δρᾷ ἔχοντες· οὐδὲ ἀζημίους μέν, λυ-
πηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι· ἀνεπαχθῶς δὲ
τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ
παρανομοῦμεν· τῶν τε αἰεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νό-
μων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ᾽ ὠφελείᾳ τῶν ἀδικουμέ-
νων κεῖνται· καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην
φέρουσι. καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώ-
μῃ ἐπορισάμεθα· ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομί-
ζοντες· ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν· ὧν καθ᾽ ἡμέραν
ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει· ἐπεσέρχεται δὲ διὰ μέγεθος

τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα. καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρα τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν. καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη. πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ. καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται. ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑαυτοὺς, μεθ' ἁπάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι. τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους, μαχόμενοι τὰ πλείω κρατοῦμεν. ἀθρόᾳ δὲ τῇ δυνάμει ἡμῶν, οὐδείς πω πολέμιος ἐνέτυχε. διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν. καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν. ἢν δέ που μορίῳ τινὶ προσμίξωσι κρατήσαντές τέ τινας ἡμῶν, πάντας αὐχοῦσιν ἀπεῶσθαι. καὶ νικηθέντες ὑφ' ἁπάντων ἡσσῆσθαι. καίτοι εἰ ῥαθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ καὶ μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν. καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν αἰεὶ μοχθούντων φαίνεσθαι. καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμεν τε γὰρ μετ' εὐτελείας. καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας. πλούτῳ τε ἔργου μᾶλλον καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα. καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρόν. ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια. καὶ ἑτέροις πρὸς ἔργα τετραμμένοις τὰ πολιτικὰ

μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα
οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν· καὶ αὐτοὶ ἤτοι κρίνομεν
γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα· οὐ τοὺς λόγους τοῖς ἔρ-
γοις βλάβην ἡγούμενοι· ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ,
πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν· διαφερόντως γὰρ δὴ καὶ
τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα, καὶ περὶ ὧν ἐπι-
χειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος· λο-
γισμὸς δὲ ὄκνον φέρει· κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν
οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες· καὶ διὰ ταῦτα μὴ ἀποτρε-
πόμενοι ἐκ τῶν κινδύνων· καὶ τὰ ἐς ἀρετὴν ἐνηντιώμεθα τοῖς
πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους·
βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοί-
ας ᾧ δέδωκε σῴζειν· ὁ δὲ ἀντοφείλων ἀμβλύτερος· εἰδὼς οὐκ ἐς
χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων· καὶ μόνοι οὐ
τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιστῷ
ἀδεῶς τινὰ ὠφελοῦμεν· ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν
τῆς ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν
ἄνδρα παρ' ἡμῶν, ἐπὶ πλεῖστ' ἂν εἴδη· καὶ μετὰ χαρίτων μάλιστ'
ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι· καὶ ὡς οὐ λόγων
ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ
ἡ δύναμις τῆς πόλεως ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα σημαίνει·
μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται· καὶ μόνη οὔ-
τε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπα-
θεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται·
μετὰ μεγάλων δὲ σημείων, καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύ-
ναμιν παρασχόμενοι, τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησό-
μεθα· καὶ οὐδὲν προσδεόμενοι οὔτε ὁμήρου ἐπαινέτου, οὔτε
ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει· τῶν δὲ ἔργων τὴν ὑπόνοιαν ἡ
ἀλήθεια βλάψει· ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ

ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα
κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. περὶ τοιαύτης οὖν
πόλεως οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μα-
χόμενοι ἐτελεύτησαν. καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐ-
θέλειν ὑπὲρ αὐτῆς κάμνειν. δι' ὃ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλε-
διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα,
καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει. ὁμοίως καὶ τὴν εὐλογίαν ἅμα
ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς. καὶ εἴρηται αὐτῆς τὰ
μέγιστα. ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρε-
ταὶ ἐκόσμησαν. καὶ οὐκ ἂν πολλοῖς τῶν ἑλλήνων ἰσόρροπος ὥσπερ
τῶνδε ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν
πρώτη τε μηνύουσα καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε
καταστροφή. καὶ γὰρ τοῖς τἆλλα χείροσι, δίκαιον τὴν ἐς τοὺς πο-
λέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι. ἀγαθῷ
γὰρ κακὸν ἀφανίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν ἢ ἐκ τῶν ἰδίων
ἔβλαψαν. τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσιν προτι-
μήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν
αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο. τὴν δὲ τῶν
ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κιν-
δύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἐβουλήθησαν μετ' αὐτοῦ
τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι. ἐλπίδι μὲν τὸ ἀφα-
νὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες. ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρω-
μένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι. καὶ ἐν αὐτῷ τὸ ἀ-
μύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τὸ ἐνδόντες σώζεσθαι,
τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον. τὸ δὲ ἔργον τῷ σώματι ὑπέ-
μειναν. καὶ δι' ἐλαχίστου καιροῦ τύχης, ἅμα ἀκμῇ τῆς δόξης
μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν. καὶ οἵδε μὲν προσηκόντως
τῇ πόλει τοιοίδε ἐγένοντο. τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν
μὲν εὔχεσθαι. ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολε-
μίους

διάνοιαν ἔχειν· σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν, ἣν ἄν
τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα
ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν
τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐρα
στὰς γιγνομένους αὐτῆς· καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐν
θυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες τὰ δέοντα καὶ
ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο· καὶ ὁπό
τε καὶ πείρᾳ του σφαλεῖεν, οὐκ οὖν καὶ τὴν πόλιν γε τῆς σφε
τέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν· κάλλιστον δὲ ἔρανον αὐτῇ
προϊέμενοι· κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγή
ρων ἔπαινον ἐλάμβανον· καὶ τὸν τάφον ἐπισημότατον· οὐκ
ἐν ᾧ κεῖνται μᾶλλον· ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ
καὶ λόγου καὶ ἔργου καιρῷ, ἀείμνηστος καταλείπεται· ἀνδρῶν
γὰρ ἐπιφανῶν, πᾶσα γῆ τάφος· καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ
σημαίνει ἐπιγραφή· ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος
μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶ[ται]·
οὓς νῦν ὑμεῖς ζηλώσαντες· καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον τὸ
εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους·
οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου
οἷς ἐλπὶς οὐκ ἔστιν ἀγαθοῦ· ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ
ζῆν ἔτι κινδυνεύεται· καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέ
ροντα ἤν τι πταίσωσιν· ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα
ἔχοντι, ἡ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥώ
μης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνα
τος· διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας ὅσοι πάρεστε, οὐκ ὀλοφυ
ροῦμαι μᾶλλον ἢ παραμυθήσομαι· ἐν πολυτρόποις γὰρ ξυμφο
ραῖς ἐπίστανται τραφέντες· τὸ δ' εὐτυχὲς οἳ ἂν τῆς εὐπρεπε
στάτης λάχωσιν ὥσπερ οἵδε μὲν νῦν τελευτῆς· ὑμεῖς δὲ λύπης·
καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνε-
μετρήθη·

χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν. ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, ἐν αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε. καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔστιν ἡλικία τέκνωσιν ποιεῖσθαι. ἰδίᾳ γὰρ τε τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι καὶ ἀσφαλείᾳ ξυνοίσει. οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι, οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι, κινδυνεύωσιν. ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλέονα κέρδος ὃν ηὐτυχεῖτε βίον ἡγεῖσθε, καὶ τοῦ δὲ βραχὺν ἔσεσθαι. καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον. καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι. παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα. τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν. καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς, οὐχ ὁμοῖοι ἀλλ' ὀλίγῳ χείρους κριθεῖτε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον. τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα. καὶ ἧς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ. εἴρηται καὶ ἐμοὶ κατὰ νόμον λόγῳ ὅσα εἶχον πρόσφορα. καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται. τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει. ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες πολιτεύουσιν ἄριστοι. νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ, ἀποχωρεῖτε. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο

ἐν τῷ χειμῶνι τούτῳ· καὶ διελθόντος αὐτοῦ, πρῶτον ἔτος τοῦ πολέμου
τοῦδε ἐτελεύτα· τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου πελοποννήσιοι
καὶ οἱ ξύμμαχοι τὰ δύο μέρη ὥσπερ καὶ τὸ πρῶτον, ἐσέβαλον ἐς
τὴν ἀττικήν· ἡγεῖτο δὲ ἀρχίδαμος ὁ ζευξιδάμου λακεδαιμονίων
βασιλεύς· καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ ὄντων αὐτῶν οὐ πολ-
λάς πω ἡμέρας ἐν τῇ ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς
ἀθηναίοις· λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆ-
ψαι, καὶ περὶ λῆμνον καὶ ἐν ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς
οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι· οὔτε
γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα
ἔθνησκον ὅσῳ καὶ μάλιστα προσῇσαν· οὔτε ἄλλη ἀνθρωπεία οὐδε-
μία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείαις καὶ τοῖς τοιούτοις ἐ-
χρήσαντο, πάντα ἀνωφελῆ ἦν· τελευτῶντές τε αὐτῶν ἀπέστησαν ὑπὸ
τοῦ κακοῦ νικώμενοι· ἤρξατο δὲ τὸ μὲν πρῶτον ὡς λέγεται ἐξ αἰθιοπίας
τῆς ὑπὲρ αἰγύπτου· ἔπειτα δὲ καὶ ἐς αἴγυπτον καὶ λιβύην κατέβη· καὶ
ἐς τὴν βασιλέως γῆν τὴν πολλήν· ἐς δὲ τὴν ἀθηναίων πόλιν ἐξαπιναί-
ως ἐσέπεσε· καὶ τὸ πρῶτον ἐν τῷ πειραιεῖ ἥψατο τῶν ἀνθρώπων· ὥστε καὶ ἐ-
λέχθη ὑπ' αὐτῶν ὡς οἱ πελοποννήσιοι φάρμακα ἐς τὰ φρέατα ἐσ-
βεβλήκοιεν· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι· ὕστερον δὲ καὶ ἐς τὴν ἄνω
πόλιν ἀφίκετο· καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη· λεγέτω μὲν οὖν
περὶ αὐτοῦ ὡς ἕκαστος γιγνώσκει καὶ ἰατρὸς καὶ ἰδιώτης, ἀφ' ὅτου
εἰκὸς ἦν γενέσθαι αὐτό· καὶ τὰς αἰτίας ἅστινας νομίζει τοσαύτης
μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ
οἷόν τε ἐγίγνετο λέξω· καὶ ἀφ' ὧν ἄν τις σκοπῶν εἴ ποτε καὶ αὖθις
ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω·
αὐτός τε νοσήσας καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας· τὸ μὲν γὰρ
ἔτος ὡς ὡμολογεῖτο ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας
ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προύκαμνέ τι, ἐς τοῦτο
πάντα ἀπεκρίθη· τοὺς δὲ ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐ-

ξαίφνης ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραί·
καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα. καὶ φλόγωσις ἐλάμβανε· καὶ τὰ
ἐντός, ἥ φάρυγξ καὶ ἡ γλῶσσα εὐθὺς αἱματώδη ἦν· καὶ πνεῦμα
ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος
ἐπεγίγνετο καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πό-
νος μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀ-
νέστρεφέ τε αὐτήν· καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι ὅσαι ὑπὸ ἰα-
τρῶν ὠνομασμέναι εἰσὶν ἐπῄεσαν· καὶ αὗται μετὰ ταλαιπω-
ρίας μεγάλης· λύγξ τε τοῖς πλέοσιν ἐνέπεσε κενή, σπασμὸν
ἐνδιδοῦσα ἰσχυρόν· τοῖς μὲν μετὰ ταῦτα λωφήσαντα· τοῖς δὲ
καὶ πολλῷ ὕστερον· καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὐκ
ἄγαν θερμὸν ἦν· οὔτε χλωρόν· ἀλλ' ὑπέρυθρον πελιδνόν, φλυ-
κταίναις καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκάετο ὡς
μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολάς
μήτ' ἄλλο τι ἢ γυμνοὺς ἀνέχεσθαι· ἥδιστα δὲ ἂν ἐς ὕδωρ ψυχρόν
σφᾶς αὐτοὺς ῥίπτειν· καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων
καὶ ἔδρασαν ἐς φρέατα, ἀπαύστῳ τῇ δίψῃ ξυνεχόμενοι· καὶ ἐν
τῷ ὁμοίῳ καθειστήκει, τό τε πλέον καὶ ἔλασσον ποτόν· καὶ ἡ ἀπο-
ρία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία. ἐπέκειτο διὰ παντός· καὶ
τὸ σῶμα ὅσονπερ χρόνον καὶ ἡ νόσος ἀκμάζοι οὐκ ἐμαραίνετο·
ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ· ὥστε ἢ διεφθείροντο
οἱ πλεῖστοι ἐναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι
ἔχοντές τι δυνάμεως· ἢ εἰ διαφύγοιεν ἐπικατιόντος τοῦ νοσή-
ματος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεως αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης,
καὶ διαρροίας ἅμα ἀκράτου ἐπιπιπτούσης, οἱ πολλοὶ ὕστερον
δι' αὐτήν, ἀσθενείᾳ ἀπεφθείροντο· διεξῄει γὰρ διὰ παντὸς τοῦ
σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κα-
κόν· καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων
ἀντίληψις αὐτοῦ ἐπεσήμαινε· κατέσκηπτε γὰρ ἐς αἰδοῖα

καὶ ἐς ἄκρας χεῖρας καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων
διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν· τοὺς δὲ καὶ λήθη ἐλάμ-
βανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως· καὶ ἠγνόησαν
σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους· γενόμενον γὰρ κρεῖσσον λό-
γου τὸ εἶδος τῆς νόσου, τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀν-
θρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ· καὶ ἐν τῷδε ἐδήλω-
σε μάλιστα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τὰ
τετράποδα ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων,
ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο· τεκμήριον δέ· τῶν
μὲν τοιούτων ὀρνίθων, ἐπίλειψις σαφὴς ἐγένετο· καὶ οὐχ ἑω-
ρῶντο, οὔτε ἄλλως, οὔτε περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον
αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος διὰ τὸ ξυνδιαιτᾶσθαι· τὸ
μὲν οὖν νόσημα πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας ὡς ἑκάστῳ ἐτύγχα-
νέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοι-
οῦτον ἦν ἐπὶ πᾶν τὴν ἰδέαν· καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν
χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο ἐς τοῦτο ἐτελεύτα.
ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι.
ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα ὡς εἰπεῖν, ὅτι χρῆν προσφέροντας
ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτε· σῶμά τε αὔ-
ταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας·
ἀλλὰ πάντα ξυνῄρει καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα· δει-
νότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία ὁπότε τις αἴσθοι-
το κάμνων· πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώ-
μῃ· πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς καὶ οὐκ ἀντεῖχον· καὶ
ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ
τὰ πρόβατα ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποί-
ει· εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι ἀπώλλυντο
ἐρῆμοι· καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θερα-
πεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο· καὶ μάλιστα οἱ

ἀρετῆς τι μεταποιούμενοι· αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν ἐ
σιόντες παρὰ τοὺς φίλους· ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπο
γιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον ὑπὸ τοῦ
πολλοῦ κακοῦ νικώμενοι· ἐπὶ πλέον δὲ ὅμως οἱ διαπεφευ
γότες, τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο· διὰ δὲ
προειδέναι τε καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· δὶς γὰρ
τὸν αὐτὸν ὥστε καὶ κτείνειν οὐκ ἐπελάμβανε· καὶ ἐμακα
ρίζοντό τε ὑπὸ τῶν ἄλλων καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ·
καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης, μὴ δ᾽ ἂν
ὑπ᾽ ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι· ἐπίεσε δ᾽ αὐ
τοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν
ἀγρῶν ἐς τὸ ἄστυ· καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας· οἰκιῶν
γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ᾽ ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους
διαιτωμένων, ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ· ἀλλὰ καὶ νε
κροὶ ἐπ᾽ ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο· καὶ ἐν ταῖς ὁδοῖς
ἐκαλινδοῦντο· καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες τοῦ
ὕδατος ἐπιθυμίᾳ· τά τε ἱερὰ ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα
ἦν αὐτοῦ ἐναποθνησκόντων· ὑπερβιαζομένου γὰρ τοῦ κα
κοῦ οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅτι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο·
καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως· νόμοι τε πάντες ξυνεταράχθη
σαν οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς· ἔθαπτον δὲ ὡς ἕκα
στος ἠδύνατο· καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο
σπάνει τῶν ἐπιτηδείων· διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσι·
ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας φθάσαντες τοὺς νήσαντας, οἱ μὲν, ἐπιθέν
τες τὸν ἑαυτῶν νεκρὸν, ὑφῆπτον· οἱ δὲ, καιομένου ἄλλου ἄνω
θεν ἐπιβάλλοντες ὃν ἔφερον ἀπῄεσαν· πρῶτόν τε ἦρξε καὶ ἐς
τἆλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα· ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρό
τερον ἀπεκρύπτετο μὴ καθ᾽ ἡδονὴν ποιεῖν· ἀγχίστροφον τὴν
μεταβολὴν ὁρῶντες· τῶν τε εὐδαιμόνων καὶ αἰφνιδίως

θνῃσκόντων· καὶ τῶν οὐδὲν πρότερον κεκτημένων· εὐθὺς δὲ τἀ
κείνων ἐχόντων· ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερ
πνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερά τε σώματα καὶ τὰ χρή
ματα ὁμοίως ἡγούμενοι· καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαν
τι καλῷ οὐδεὶς πρόθυμος ἦν· ἄδηλον νομίζων, εἰ πρὶν ἐπ'
αὐτὸ ἐλθεῖν διαφθαρήσεται· ὅτι δὲ ἤδη τε ἡδὺ καὶ πανταχόθεν
τὸ ἐς αὐτὸ κερδαλέον τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη· θε
ῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος, οὐδεὶς ἀπεῖργε· τὸ μὲν, κρίνοντες
ἐν ὁμοίῳ καὶ σέβειν· καὶ μή, ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυ
μένους· τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γε
νέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι· πολὺ δὲ μείζω τὴν
ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰ
κὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι· τοιούτῳ μὲν πάθει οἱ ἀθηναῖοι περι
πεσόντες ἐπιέζοντο· ἀνθρώπων τε ἔνδον θνῃσκόντων· καὶ γῆς ἔξω δῃ
ουμένης· ἐν δὲ τῷ κακῷ οἷα εἰκὸς ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ
ἔπους· φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι, ἥξει δωρια
κὸς πόλεμος· καὶ λοιμὸς ἅμ' αὐτῷ· ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀν
θρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν· ἀλλὰ
λιμόν· ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος, λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄν
θρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο· ἢν δέ γε οἶμαι
ποτὲ ἄλλος πόλεμος καταλάβῃ δωρικὸς τοῦδε ὕστερος, καὶ ξυμ
βῇ γενέσθαι λιμόν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται· μνήμη δὲ ἐγένε
το καὶ τοῦ λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν· ὅτε ἐπερω
τῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν, ἀνεῖλε κατὰ κράτος πο
λεμοῦσι νίκην ἔσεσθαι· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι· περὶ μὲν οὖν
τοῦ χρηστηρίου τὰ γιγνόμενα ᾔκαζον ὅμοια εἶναι· ἐσβεβληκό
των δὲ τῶν πελοποννησίων, ἡ νόσος ἤρξατο εὐθύς· καὶ ἐς μὲν
πελοπόννησον οὐκ ἐσῆλθεν ὅτι καὶ ἄξιον εἰπεῖν· ἐπενείματο
δὲ ἀθήνας μὲν μάλιστα· ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ

πολυανθρωπότατα. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα. οἱ δὲ
Πελοποννήσιοι ἐπειδὴ ἔτεμον τὸ πεδίον, παρῆλθον ἐς τὴν
πάραλον γῆν καλουμένην μέχρι Λαυρείου ὄρους. οὗ τὰ ἀρ-
γύρεια μέταλλά ἐστιν Ἀθηναίοις. καὶ πρῶτον μὲν ἔτεμον ταύτην
ᾗ πρὸς Πελοπόννησον ὁρᾷ. ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε
καὶ Ἄνδρον τετραμμένην. Περικλῆς δὲ στρατηγὸς ὢν καὶ
τότε, περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς Ἀθηναίους, τὴν αὐτὴν
γνώμην εἶχεν ὥσπερ καὶ ἐν τῇ προτέρᾳ ἐσβολῇ. ἔτι δ' αὐτῶν
ἐν τῷ πεδίῳ ὄντων, πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν, ἑκατὸν
νεῶν ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο. καὶ ἐπειδὴ
ἑτοῖμα ἦν ἀνήγετο. ἦγε δ' ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων
τετρακισχιλίους. καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς.
τότε πρῶτον ἐκ τῶν παλαιῶν ποιηθείσαις. ξυνεστρατεύοντο δὲ
καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. ὅτε δὲ ἀνήγετο ἡ
στρατιὰ αὕτη Ἀθηναίων, Πελοποννησίους κατέλιπον ἐν τῇ Ἀττι-
κῇ ὄντας ἐν τῇ παραλίᾳ. ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς
Πελοποννήσου, ἔτεμον τῆς γῆς τὴν πολλήν. καὶ πρὸς τὴν πόλιν
προσβαλόντες, ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν. οὐ μέντοι προ-
εχώρησέ γε. ἀναγαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου ἔτεμον τήν τε Τροι-
ζηνίδα γῆν καὶ τὴν Ἁλιάδα. καὶ τὴν Ἑρμιονίδα. ἔστι δὲ πάντα
ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. ἄραντες δὲ ἀπ' αὐτῶν
ἀφίκοντο ἐς Πρασιὰς τῆς Λακωνικῆς πόλισμα ἐπιθαλάσ-
σιον. καὶ τῆς τε γῆς ἔτεμον καὶ αὐτὸ τὸ πόλισμα εἷλον καὶ ἐξε-
πόρθησαν. ταῦτα δὲ ποιήσαντες ἐπ' οἴκου ἀνεχώρησαν. τοὺς
δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας, ἀλλ'
ἀνακεχωρηκότας. ὅσον δὲ χρόνον οἱ Πελοποννήσιοι ἦσαν ἐν τῇ
γῇ τῇ Ἀθηναίων, καὶ οἱ Ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νό-
σος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους ἔφθειρε καὶ ἐν τῇ πόλει. ὥστε
καὶ ἐλέχθη τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς τῶν

θάνοντο τῶν αὐτομόλων ὅτι ἐν τῇ πόλει εἴη καὶ θάπτοντας ἅμα ᾐσθά-
νοντο, θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν. τῇ δὲ ἐσβολῇ ταύτῃ πλεῖστόν τε
χρόνον ἐνέμειναν καὶ τὴν γῆν πᾶσαν ἔτεμον· ἡμέρας γὰρ τεσ-
σαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ ἀττικῇ ἐγένοντο. Τοῦ δ᾽ αὐτοῦ θέ-
ρους ἅγνων ὁ νικίου καὶ κλεόπομπος ὁ κλεινίου ξυστρατηγοὶ ὄν-
τες περικλέους λαβόντες τὴν στρατιὰν ᾗπερ ἐκεῖνος ἐχρήσατο,
ἐστράτευσαν ἐπὶ χαλκιδέας τοὺς ἐπὶ θρᾴκης· καὶ ποτείδαιαν ἔτι
πολιορκουμένην· ἀφικόμενοι δὲ μηχανάς τε τῇ ποτειδαίᾳ προ-
σέφερον· καὶ παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. προυχώρει δὲ αὐ-
τοῖς οὔτε ἡ αἵρεσις τῆς πόλεως, οὔτε τἆλλα τῆς παρασκευῆς ἀξίως.
ἐπιγενομένη γὰρ ἡ νόσος, ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς ἀθηναίους
φθείρουσα τὴν στρατιάν· ὥστε καὶ τοὺς προτέρους στρατιώτας νο-
σῆσαι τῶν ἀθηναίων ἀπὸ τῆς ξὺν ἅγνωνι στρατιᾶς ἐν τῷ πρὸ τοῦ χρό-
νῳ ὑγιαίνοντας. Φορμίων δὲ καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι, οὐκ-
έτι ἦσαν περὶ χαλκιδέας. ὁ μὲν οὖν ἅγνων ταῖς ναυσὶν ἀνεχώρησεν
ἐς τὰς ἀθήνας ἀπὸ τετρακισχιλίων ὁπλιτῶν, χιλίους καὶ πεν-
τήκοντα ἀπολέσας τῇ νόσῳ, ἐν τεσσαράκοντα μάλιστα ἡμέραις.
οἱ δὲ πρότεροι στρατιῶται κατὰ χώραν μένοντες, ἐπολιόρκουν
τὴν ποτείδαιαν. μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν πελοποννη-
σίων οἱ ἀθηναῖοι ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ νό-
σος ἐπέκειτο ἅμα, καὶ ὁ πόλεμος ἠλλοίωντο τὰς γνώμας· καὶ
τὸν μὲν περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν.
καὶ δι᾽ ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες. πρὸς δὲ τοὺς
λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν· καὶ πρέσβεις τινὰς πέμ-
ψαντες ὡς αὐτοὺς, ἄπρακτοι ἐγένοντο. πανταχόθεν τε τῇ γνώ-
μῃ ἄποροι καθεστῶτες, ἐνέκειντο τῷ περικλεῖ. ὁ δὲ, ὁρῶν
αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας
ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας ἔτι δ᾽ ἐστρατήγει, ἐβούλε-
το θαρσῦναί τε καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης

πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καθιστάναι, παρελθὼν ἔλε-
ξε τοιάδε·

## Δημηγορία Περικλέους

Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς με γεγένηται·
αἰσθάνομαι γὰρ τὰς αἰτίας, καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυ-
νήγαγον ὅπως ὑπομνήσω καὶ μέμψωμαι εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ
χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε. ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλείω
ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας ἢ καθ' ἕκαστον
τῶν πολιτῶν εὐπραγοῦσαν, ἁθρόαν δὲ σφαλλομένην. καλῶς
μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν, διαφθειρομένης τῆς
πατρίδος, οὐδὲν ἧσσον ξυναπόλλυται· κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ,
πολλῷ μᾶλλον διασῴζεται. ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμ-
φορὰς οἵα τε φέρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς
οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς δράσετε, ταῖς
κατ' οἶκον κακοπραγίαις ἐκπεπληγμένοι, τοῦ κοινοῦ τῆς σωτηρίας
ἀφίεσθε· καὶ ἐμέ τε τὸν παραινέσαντα πολεμεῖν καὶ ὑμᾶς
αὐτοὺς οἳ ξυνέγνωτε, δι' αἰτίας ἔχετε. καίτοι ἐμοὶ τοιούτῳ
ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς οἴομαι ἥσσων εἶναι γνῶναί τε τὰ
δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων
κρείσσων. ὅ τε γὰρ γνοὺς καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ καὶ εἰ μὴ ἐνε-
θυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁ-
μοίως τι οἰκείως φράζοι· προσόντος δὲ καὶ τοῦδε, χρήμασι
δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. ὥστ' εἴ
μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων προσεῖναι αὐτὰ πο-
λεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν τοῦ γε ἀδικεῖν αἰτίαν
φεροίμην. καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται τἆλλα εὐτυχοῦσι,
πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς
πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυ-
γὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. καὶ ἐγὼ
μὲν ὁ αὐτός εἰμι καὶ οὐκ ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλετε

ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις· μεταμέλειν δὲ
κακουμένοις· καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώ
μης μὴ ὀρθὸν φαίνεσθαι· διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθη
σιν ἕκαστος· τῆς δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι· καὶ
μεταβολῆς μεγάλης καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσούσης, ταπει
νὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε· δουλοῖ γὰρ φρόνη
μα τὸ ἀπροσδόκητον καὶ αἰφνίδιον· καὶ τὸ πλείστῳ παραλό
γῳ ξυμβαῖνον· ὃ ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ κατὰ τὴν νόσον οὐχ
ἥκιστα γεγένηται· ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας καὶ ἐν ἤ
θεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους, χρεὼν καὶ ξυμφοραῖς
ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν·
ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι
ὅστις μαλακίᾳ ἐλλείπει· καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρα
σύτητι ὀρεγόμενον· ἀπαλγήσαντας δὲ χρεὼν τὰ ἴδια τοῦ κοινοῦ
τῆς σωτηρίας ἀντιλαμβάνεσθαι. τὸν δὲ πόνον τὸν κατὰ τὸν πό
λεμον μὴ γένηται πολὺς καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρ
κείτω μὲν ὑμῖν καὶ ἐκεῖνα ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ αὐτὸν
ἀπέδειξα οὐκ ὀρθῶς ὑποπτευόμενον· δηλώσω δὲ καὶ τόδε
ὅ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν με
γέθους πέρι ἐς τὴν ἀρχήν, οὔτ' ἐγὼ ἐν τοῖς πρὸ τοῦ λόγοις· οὐ
δ' ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν,
εἰ μὴ καταπεπληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων· οἴεσθε μὲν
γὰρ τῶν ξυμμάχων μόνων ἄρχειν· ἐγὼ δὲ ἀποφαίνω δύο
μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου
ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε, καὶ
ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ
παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς
κωλύσει· οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι· ὥστε
οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν, ὧν μεγάλων νομί

ἐστερῆσθαι αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ κηπίον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι· καὶ γνῶναι ἐλευθερίαν μὲν ἣν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν ῥᾳδίως ἀναληψομένην ταῦτα· ἄλλων δὲ ὑπακούσασι καὶ τὰ προκεκτημένα φιλεῖν ἐλασσοῦσθαι· τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι· οἳ μετὰ πόνων καὶ οὐ παρ' ἄλλων δεξάμενοι· κατέσχον τε· καὶ προσέτι διασώσαντες, παρέδοσαν ἡμῖν αὐτά· αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι ἢ κτωμένους ἀτυχῆσαι· ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε· μὴ φρονήματι μόνον ἀλλὰ καὶ καταφρονήματι· αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινὶ ἐγγίγνεται· καταφρόνησις δὲ ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει· καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις, ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει· ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων· ἧς βεβαιοτέρα ἡ πρόνοια· τῆς τε πόλεως εἰκὸς ἡμᾶς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν ᾧπερ ἅπαντες ἀγάλλεσθε βοηθεῖν· καὶ μὴ φεύγειν τοὺς πόνους· ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου δουλείας ἀντ' ἐλευθερίας ἀγωνίζεσθαι· ἀλλὰ καὶ ἀρχῆς στερήσεως καὶ κινδύνου, ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε· ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἐστιν, εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται· ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν· ἣν λαβεῖν μὲν ἄδικον δοκεῖ εἶναι· ἀφεῖναι δὲ ἐπικίνδυνον· τάχιστ' ἄν τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν· καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν, τὸ γὰρ ἄπραγμον οὐ σῴζεται μὴ μετὰ δραστηρίου τεταγμένον· οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει· ἀλλ' ἐν ὑπηκόῳ ἀσφαλῶς δουλεύειν· ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε, μήτε

ἐμὲ δὲ δι' ὀργῆς ἔχετε· ὃν καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν· εἰ καὶ
ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν μὴ ἐθελησάντων
ὑμῶν ὑπακούειν· ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα
ἡ νόσος ἥδε· πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσ-
σον γεγενημένον· καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μι-
σοῦμαι, οὐ δικαίως· εἰ μὴ καὶ ὅταν παρὰ λόγον τι εὖ πράξητε
ἐμοὶ ἀναθήσετε· φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως·
τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως· ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ
πόλει πρότερόν τε ἦν· νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ· γνῶτε δὲ ὄ-
νομα μέγιστον αὐτὴν ἔχουσαν ἐν ἅπασιν ἀνθρώποις διὰ τὸ ταῖς ξυμ-
φοραῖς μὴ εἴκειν· πλεῖστα δὲ σώματα καὶ πόνους ἀνηλωκέ-
ναι πολέμῳ· καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτη-
μένην· ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπεν-
δῶμέν ποτε· πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι, μνήμη
καταλελείψεται· ἑλλήνων τε ὅτι ἕλληνες πλείστων δὴ ἤρξαμεν·
καὶ πολέμοις μεγίστοις ἀντέσχομεν· πρός τε ξύμπαντας καὶ
καθ' ἑκάστους· πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην ᾠκήσαμεν· καί-
τοι ταῦτα ὁ μὲν ἀπράγμων, μέμψαιτ' ἄν· ὁ δὲ δρᾶν τι βου-
λόμενος, καὶ αὐτὸς ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει·
τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι πᾶσι μὲν ὑ-
πῆρξε δή, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δὲ ἐπὶ
μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται· μῖσος
μὲν γὰρ οὐκ ἐπὶ πολὺ ἀντέχει· ἡ δὲ παραυτίκα τε λαμπρότης
καὶ ἐς τὸ ἔπειτα δόξα, αἰείμνηστος καταλείπεται· ὑμεῖς δὲ
ἔς τε τὸ μέλλον καλὸν προγνόντες, ἔς τε τὸ αὐτίκα μὴ αἰσχρόν,
τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε· καὶ λακεδαιμονίοις
μήτε ἐπικηρυκεύεσθε, μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις
βαρυνόμενοι· ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκι-
στα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πό-

λων καὶ ἰδιωτῶν πράξεσι δεῖ. Τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐς αὐτὸν ὀργῆς παραλύειν, καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην· οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο· καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον, ἐς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο· ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο· ὁ μὲν δῆμος ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος, ἐστέρητο καὶ τούτων· οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν, οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες· τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες· οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασιν· ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν αὐτὸν εἵλοντο· καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν· ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ὄντες ἤδη· ὧν δὲ ξύμπασα ἡ πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι· ὅσον τε γὰρ χρόνον προύστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτήν· καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπειδὴ τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν· ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἐς τὸν πόλεμον· ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ, μήτε τῇ πόλει κινδυνεύοντας, ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν· καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι, κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη· κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν· ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν· σφαλέντα δὲ τῇ πόλει, ἐς τὸν πόλεμον βλάβη καθίστατο· αἴτιον δ' ἦν, ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀ-

ξιώματι καὶ τῇ γνώμῃ· χρημάτων τε διαφανῶς ἀδωρότα
τος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως· καὶ οὐκ ἤγετο
μᾶλλον ὑπ' αὐτοῦ ἢ ἦγεν αὐτός· διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προ
σηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν· ἀλλ' ἔχων ἐπ' ἀξι
ώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν· ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς
παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ
φοβεῖσθαι· καὶ δεδιότας αὖ ἀλόγως, ἀντικαθίστη πάλιν ἐπὶ
τὸ θαρσεῖν· ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ
πρώτου ἀνδρὸς ἀρχή· οἱ δὲ ὕστερον, ἴσοι αὐτοὶ μᾶλλον πρὸς
ἀλλήλους ὄντες. καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι,
ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι·
ἐξ ὧν ἄλλα τε πολλὰ ὡς ἐν μεγάλῃ πόλει, καὶ ἀρχὴν ἐχούσῃ ἡμαρτή
θη, καὶ ὁ ἐς σικελίαν πλοῦς· ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα
ἦν πρὸς οὓς ἐπῇσαν, ὅσον οἱ προσπέμψαντες οὐ τὰ πρόσφορα
τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες· ἀλλὰ κατὰ τὰς ἰδίας διαβο
λὰς περὶ τῆς τοῦ δήμου προστασίας, τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύ
τερα ἐποίουν· καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταρά
χθησαν· σφαλέντες δὲ ἐν σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ
ναυτικοῦ τῷ πλέονι μορίῳ. καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει
ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι
πολεμίοις· καὶ τοῖς ἀπὸ σικελίας μετ' αὐτῶν· καὶ τῶν ξυμ
μάχων ἔτι τοῖς πλέοσιν ἀφεστηκόσι· κύρῳ τε ὕστερον βασι
λέως παιδὶ προσγενομένῳ ὃς παρεῖχε χρήματά τε πελοποννη
σίοις ἐς τὸ ναυτικόν, καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν
σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν·
τοσοῦτον τῷ περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω
καὶ πάνυ ἂν ῥαδίως περιγενέσθαι τὴν πόλιν πελοποννησίων
αὐτῶν τῷ πολέμῳ· οἱ δὲ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ
αὐτοῦ θέρους, ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς ζάκυνθον

τὴν νῆσον· ἣ κεῖται ἀντιπέρας ἤλιδος· εἰσὶ δὲ ἀχαιῶν τῶν ἐκ πε
λοποννήσου ἄποικοι· καὶ ἀθηναίοις ξυνεμάχουν· ἐπέπλεον δὲ
λακεδαιμονίων χίλιοι ὁπλῖται· καὶ κνῆμος σπαρτιάτης ναύ
αρχος· ἀποβάντες δὲ ἐς τὴν γῆν ἐδῄωσαν τὰ πολλά· καὶ ἐπειδὴ οὐ
ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου· καὶ τοῦ αὐτοῦ θέρους τε
λευτῶντος, ἀριστεὺς κορίνθιος καὶ λακεδαιμονίων πρέσβεις,
ἀνήριστος καὶ νικόλαος καὶ πρατόδημος καὶ τεγεάτης τιμα
γόρας καὶ ἀργεῖος ἰδίᾳ πόλλις πορευόμενοι ὡς βασιλέα ὅπως
πείσαιεν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται
ὡς σιτάλκην πρῶτον τὸν τήρεω ἐς θρᾴκην, βουλόμενοι πεῖσαι
τε αὐτὸν εἰ δύναιντο μεταστάντα τῆς ἀθηναίων ξυμμαχίας στρατεῦ
σαι ἐπὶ τὴν ποτείδαιαν, οὗ ἦν στράτευμα ἀθηναίων πολιορκοῦν·
καὶ παύσαι βοηθεῖν αὐτοῖς· καὶ ᾗπερ ὥρμηντο δι' ἐκείνου πο
ρευθῆναι πέραν τοῦ ἑλλησπόντου ὡς φαρνάκην τὸν φαρναβάζου
ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν· παρατυχόντες δὲ
ἀθηναίων πρέσβεις λέαρχος καλλιμάχου καὶ ἀμεινιάδης φι
λήμονος παρὰ τῷ σιτάλκῃ, πείθουσι τὸν σάδοκον γεγενημένον ἀθη
ναῖον σιτάλκου υἱόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν· ὅπως μὴ
διαβάντες ὡς βασιλέα, τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσι·
ὁ δέ, πεισθεὶς πορευομένους αὐτοὺς διὰ τῆς θρᾴκης ἐπὶ τὸ πλοῖον ᾧ
ἔμελλον τὸν ἑλλήσποντον περαιώσειν, πρὶν ἐσβαίνειν ξυλλαμ
βάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ λεάρχου καὶ ἀμεινιάδου· καὶ
ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δέ, λαβόντες ἐκόμισαν
ἐς τὰς ἀθήνας· ἀφικομένων δὲ αὐτῶν, δείσαντες οἱ ἀθηναῖ
οι τὸν ἀριστέα, μὴ αὖθις σφᾶς ἐπὶ πλεῖον κακουργῇ διαφυγών,
ὅτι καὶ πρὸ τούτων τὰ τῆς ποτειδαίας καὶ τῶν ἐπὶ θρᾴκης πάντα
ἐφαίνετο πράξας, ἀκρίτους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν,
αὐθημερὸν ἀπέκτειναν πάντας· καὶ ἐς φάραγγας ἐσέβαλον·
δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι, οἷσπερ καὶ οἱ λακεδαιμό
νιοι

ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ πελοπόννησον πλέοντας ἀποκτείναντες· καὶ ἐς φάραγγας ἐσβαλόντες. πάντας γὰρ δὴ κατ᾽ ἀρχὰς τοῦ πολέμου οἱ λακεδαιμόνιοι ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ ὡς πολεμίους διέφθειρον· καὶ τοὺς μετὰ ἀθηναίων ξυμπολεμοῦντας· καὶ τοὺς μηδὲ μεθ᾽ ἑτέρων. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευτῶντος, καὶ ἀμπρακιῶται αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες, ἐστράτευσαν ἐπὶ ἄργος τὸ ἀμφιλοχικὸν καὶ τὴν ἄλλην ἀμφιλοχίαν· ἔχθρα δὲ πρὸς τοὺς ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο γενέσθαι πρῶτον· ἄργος τὸ ἀμφιλοχικὸν καὶ ἀμφιλοχίαν τὴν ἄλλην, ἔκτισε μὲν μετὰ τὰ τρωϊκὰ οἴκαδε ἀναχωρήσας καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν ἄργει καταστάσει, ἀμφίλοχος ὁ ἀμφιάρεω ἐν τῷ ἀμβρακικῷ κόλπῳ· ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι ἄργος ὀνομάσας· καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς ἀμφιλοχίας· καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας· ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι ἀμβρακιώτας ὁμόρους ὄντας τῇ ἀμφιλοχικῇ, ξυνοίκους ἐπηγάγοντο· καὶ ἡλληνίσθησαν τὴν νῦν γλῶσσαν, τότε πρῶτον ἀπὸ τῶν ἀμβρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι ἀμφίλοχοι βάρβαροί εἰσιν· ἐκβάλλουσιν οὖν τοὺς ἀργείους οἱ ἀμβρακιῶται χρόνῳ· καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν· οἱ δ᾽ ἀμφίλοχοι γενομένου τούτου, διδόασιν ἑαυτοὺς ἀκαρνᾶσι καὶ προσπαρακαλέσαντες ἀμφότεροι ἀθηναίους, οἳ αὐτοῖς φορμίωνά τε στρατηγὸν ἔπεμψαν, καὶ ναῦς τριάκοντα· ἀφικομένου δὲ τοῦ φορμίωνος, αἱροῦσι κατὰ κράτος ἄργος· καὶ τοὺς ἀμβρακιώτας ἠνδραπόδισαν· κοινῇ τε ᾤκισαν αὐτὸ ἀμφίλοχοι καὶ ἀκαρνᾶνες· μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον καὶ ἀκαρνᾶσιν· οἱ μὲν ἀμβρακιῶται. τὴν μὲν ἔχθραν ἐς τοὺς ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν ἐποιήσαντο· ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποι-

ποιοῦνται

αὐτῶν τε καὶ χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρ
βάρων· ἐλθόντες δὲ πρὸς τὸ ἄργος. τῆς μὲν χώρας ἐκράτουν
τὴν δὲ πόλιν. ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώ
ρησαν ἐπ' οἴκου καὶ διελύθησαν κατὰ ἔθνη· τοσαῦτα μὲν ἐν τῷ
θέρει ἐγένετο· τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος ἀθηναῖοι ναῦς
ἔστειλαν εἴκοσι μὲν περὶ πελοπόννησον καὶ φορμίωνα στρατη
γόν· ὃς ὁρμώμενος ἐκ ναυπάκτου. φυλακὴν εἶχε μήτ' ἐκπλεῖν
ἐκ κορίνθου καὶ τοῦ κρισαίου κόλπου μηδένα, μήτε ἐσπλεῖν·
ἑτέρας δὲ ἓξ ἐπὶ καρίας καὶ λυκίας καὶ μελήσανδρον στρατηγόν·
ὅπως ταῦτά τε ἀργυρολογῶσι καὶ τὸ λῃστικὸν τῶν πελοποννη
σίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώμενον βλάπτειν τὸν πλοῦν τῶν ὁλ
κάδων τῶν ἀπὸ φασήλιδος καὶ φοινίκης καὶ τῆς ἐκεῖθεν ἠπείρου·
ἀναβὰς δὲ στρατιᾷ ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμ
μάχων ἐς τὴν λυκίαν ὁ μελήσανδρος, ἀποθνήσκει· καὶ τῆς στρα
τιᾶς μέρος τι διέφθειρε νικηθεὶς μάχῃ· τοῦ δὲ αὐτοῦ χειμῶνος
οἱ ποτιδαιᾶται ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν·
ἀλλ' αἵ τε ἐς τὴν ἀττικὴν ἐσβολαὶ πελοποννησίων οὐδὲν μᾶλλον
ἀπανίστασαν τοὺς ἀθηναίους· ὅ τε σῖτος ἐπελελοίπει· ἄλλα τε πολ
λὰ ἐπεγεγένητο ἤδη βρώσεως πέρι ἀναγκαίας, καί τινες καὶ
ἀλλήλων ἐγέγευντο. οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως·
τοῖς στρατηγοῖς τῶν ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, ξε
νοφῶντί τε τῷ εὐριπίδου· καὶ ἑστιοδώρῳ τῷ ἀριστοκλείδου· καὶ
φανομάχῳ τῷ καλλιμάχου· οἱ δὲ προσεδέξαντο· ὁρῶντες μὲν
τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ· ἀνηλωκυίας
τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς πολιορκίαν· ἐπὶ τοῖσ
δε οὖν ξυνέβησαν ἐξελθεῖν αὐτοὺς καὶ παῖδας καὶ γυναῖκας καὶ
τοὺς ἐπικούρους ξὺν ἑνὶ ἱματίῳ· γυναῖκας δὲ ξὺν δυοῖν· καὶ ἀρ
γύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον· καὶ οἱ μὲν ὑπόσπονδοι ἐξῆλ
θον ἐπί τε τὴν χαλκιδικὴν· καὶ ᾗ ἕκαστος ἐδύνατο· ἀθηναῖοι δὲ

τοῖς τε στρατηγοῖς ἐπῃτιάσαντο ὅτι ἄνευ αὐτῶν ξυνέβησαν· ἐ
νόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο. καὶ ὕστερον
ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν καὶ κατῴκισαν.
ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο. καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ
πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε. Τοῦ δ' ἐπιγιγνο
μένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, ἐς μὲν τὴν Ἀττι
κὴν οὐκ ἐσέβαλον· ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἡγεῖτο δὲ
Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς· καὶ καθί
σας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν· οἱ δὲ Πλαταιῆς εὐθὺς
πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγον τοιάδε·
Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε οὐδ' ἄξια οὔτε
ὑμῶν οὔτε πατέρων ὧν ἐστέ, ἐς γῆν τὴν Πλαταιῶν στρατεύοντες.
Παυσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαιμόνιος ἐλευθερώσας
τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων, μεθ' Ἑλλήνων τῶν ἐθελησάντων
ξυνάρασθαι τὸν πόλεμον, κίνδυνον τῆς μάχης ἣ παρ' ἡμῖν ἐ
γένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διὶ ἐλευθερίῳ ἱερά· καὶ
ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, ἀπεδίδου Πλαταιεῦσι γῆν
καὶ πόλιν τὴν σφετέραν ἔχοντας, αὐτονόμους οἰκεῖν· στρατεῦσαι
τε μηδένα ἀδίκως ἐπ' αὐτούς, μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ μή, ἀ
μύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν· τάδε μὲν ἡμῖν
πατέρες οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐ
κείνοις τοῖς κινδύνοις γενομένης· ὑμεῖς δὲ τἀναντία δρᾶτε· με
τὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων, ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ
ἥκετε· μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιού
μενοι, καὶ τοὺς ὑμετέρους πατρῴους, καὶ ἡμετέρους ἐγχωρίους, λέ
γομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιίδα μὴ ἀδικεῖν· μηδὲ παραβαί
νειν τοὺς ὅρκους· ἐᾶν δὲ οἰκεῖν αὐτονόμους καθάπερ Παυσανίας ἐδι
καίωσε. Τοσαῦτα εἰπόντων Πλαταιέων, Ἀρχίδαμος ὑπολαβὼν
εἶπε· δίκαια λέγετε ὦ Πλαταιῆς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις.

καθάπερ γὰρ παυσανίας ὑμῖν παρέδωκε, αὐτοί τε αὐτονομεῖσθε·
καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε· ὅσοι μετασχόντες τῶν τότε κιν-
δύνων, ὑμῖν τε ξυνώμοσαν καὶ εἰσὶ νῦν ὑπὸ ἀθηναίοις· παρασκευή
τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐ-
λευθερώσεως· ἧς μάλιστα μὲν μετασχόντες καὶ αὐτοί· ἐμμεί-
νατε τοῖς ὅρκοις· εἰ δὲ μή, ἅπερ καὶ τὸ πρότερον ἤδη προυκα-
λεσάμεθα, ἡσυχίαν ἄγετε νεμόμενοι τὰ ὑμέτερα· καὶ ἔστε
μηδὲ μεθ' ἑτέρων· δέχεσθε δὲ ἀμφοτέρους φίλους· ἐπὶ πο-
λέμῳ δὲ μηδ' ἑτέρους· καὶ τάδε ἡμῖν ἀρκέσει· ὁ μὲν ἀρχί-
δαμος τοσαῦτα εἶπεν· οἱ δὲ πλαταιέων πρέσβεις ἀκούσαντες
ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν· καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώ-
σαντες, ἀπεκρίναντο αὐτῷ ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ
προκαλεῖται ἄνευ ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες
παρ' ἐκείνοις εἶεν· δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει· μὴ
ἐκείνων ἀποχωρησάντων, ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέ-
πωσιν· ἢ θηβαῖοι ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι,
αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν· ὁ δὲ θαρσύνων
αὐτούς, πρὸς ταῦτα ἔφη· ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν πα-
ράδοτε τοῖς λακεδαιμονίοις· καὶ γῆς ὅρους ἀποδείξατε· καὶ δέν-
δρα ἀριθμῷ τὰ ὑμέτερα· καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλ-
θεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε· ἕως ἂν πόλεμος
ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλά-
βωμεν· μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην ἐργαζόμενοι
καὶ φορὰν φέροντες· ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι· οἱ δ',
ἀκούσαντες ἐσῆλθον αὖθις ἐς τὴν πόλιν· καὶ βουλευσάμενοι
μετὰ τοῦ πλήθους ἔλεξαν ὅτι βούλονται ἃ προκαλεῖται ἀθη-
ναίοις κοινῶσαι πρῶτον· καὶ ἢν πείθωσιν αὐτούς, ποιεῖν ταῦτα·
μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον· καὶ τὴν γῆν μὴ
δῃοῦν· ὁ δέ, ἡμέρας τε ἐσπείσατο ἐν αἷς εἰκὸς ἦν κομισθῆναι·

καὶ τὴν γῆν οὐκ ἔτεμνεν· ἐλθόντες δὲ οἱ πλαταιῆς πρέσβεις
ὡς τοὺς ἀθηναίους καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον
ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· οὔτ' ἐν τῷ πρὸ τοῦ χρόνῳ ὦ
ἄνδρες πλαταιῆς ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα ἀθηναῖοί φασιν
ἐν οὐδενὶ ὑμᾶς προέσθαι ἀδικουμένους. οὔτε νῦν περιόψεσθαι·
βοηθήσειν δὲ κατὰ δύναμιν· ἐπισκήπτουσί τε ὑμῖν πρὸς τῶν
ὅρκων οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμ-
μαχίαν· τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ πλαταιῆς
ἐβουλεύσαντο ἀθηναίους μὴ προδιδόναι· ἀλλ' ἀνέχεσθαι καὶ
γῆν τεμνομένην εἰ δεῖ ὁρῶντας· καὶ ἄλλο πάσχοντας ὅτι ἂν ξυμ-
βαίνοι· ἐξελθεῖν τε μηδένα ἔτι· ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνα-
σθαι, ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν, ἃ λακεδαιμόνιοι προ-
καλοῦνται· ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς
ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων. ἀρχίδαμος
ὁ βασιλεὺς κατέστη λέγων τάδε· θεοὶ ὅσοι γῆν τὴν πλαταιΐδα
ἔχετε καὶ ἥρωες, ξυνίστορές ἐστε ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως
ἐκλιπόντων δὲ τῶνδε πρότερον τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλ-
θομεν. ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν μήδων ἐκράτησαν, καὶ
παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς ἕλλησιν, οὔτε
νῦν ἤν τι ποιῶμεν ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ
καὶ εἰκότα οὐ τυγχάνομεν· ξυγγνώμονες δὲ ἔστε τῆς μὲν ἀδικίας
κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις· τῆς δὲ τιμωρίας τυγχά-
νειν, τοῖς ἐπιφέρουσι νομίμως· τοσαῦτα ἐπιθειάσας καθίστη
ἐς πόλεμον τὸν στρατόν· καὶ πρῶτον μὲν περιεσταύρωσεν
αὐτοὺς τοῖς δένδρεσιν ἃ ἔκοψαν. τοῦ μηδένα ἐπεξιέναι· ἔπειτα
χῶμα ἔχουν πρὸς τὴν πόλιν· ἐλπίζοντες ταχίστην αἵρε-
σιν ἔσεσθαι αὐτῶν στρατεύματος τοσούτου ἐργαζομένου· ξύ-
λα μὲν οὖν τέμνοντες ἐκ τοῦ κιθαιρῶνος. παρῳκοδόμουν ἑκα-
τέρωθεν φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο

ἐπὶ πολὺ τὸ χῶμα. ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ
γῆν· καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον. ἡμέρας
δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς διῃρημένοι
κατ᾽ ἀναπαύλας· ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὕπνον τε καὶ
σῖτον αἱρεῖσθαι· Λακεδαιμονίων τε οἱ ξεναγοὶ ἑκάστης πό-
λεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. οἱ δὲ Πλαταιῆς
ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες καὶ ἐπι-
στήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχοῦτο, ἐσῳκοδόμουν ἐς
αὐτὸ πλίνθους ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. ξύνδεσμος
δ᾽ ἦν αὐτοῖς τὰ ξύλα τοῦ μὴ ὑψηλὸν γιγνόμενον ἀσθενὲς εἶ-
ναι τὸ οἰκοδόμημα· καὶ προκαλύμματα εἶχε δέρσεις καὶ
διφθέρας ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα, μήτε πυρ-
φόροις οἰστοῖς βάλλεσθαι, ἐν ἀσφαλείᾳ τε εἶναι. ᾔρετο δὲ
τὸ ὕψος τοῦ τείχους μέγα· καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀν-
τανῄει αὐτῷ· καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσι· δι-
ελόντες τοῦ τείχους ᾗ προσέπιπτε τὸ χῶμα, ἐσεφόρουν τὴν
γῆν. οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι, ἐν ταρσοῖς καλάμου
πηλὸν ἐνείλλοντες ἐσέβαλλον ἐς τὸ διῃρημένον· ὅπως μὴ
διαχεόμενον ὥσπερ ἡ γῆ φοροῖτο. οἱ δὲ ταύτῃ ἀποκληόμενοι,
τοῦτο μὲν ἐπέσχον· ὑπόνομον δὲ ἐκ τῆς πόλεως ὀρύξαντες,
καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ
σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω· ὥστε ἐ-
πιβάλλοντας ἧσσον ἀνύτειν ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ
χώματος· καὶ ἱζάνοντος αἰεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες
δὲ μὴ οὐδ᾽ οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προ-
σεπεξηῦρον τόδε. τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο
ἐργαζόμενοι κατὰ τὸ χῶμα· ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξά-
μενοι ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντός, ἐς τὴν πόλιν μη-
νοειδὲς προσῳκοδόμουν· ὅπως εἰ τὸ μέγα τεῖχος ἁλί

σκοιτο, τοῦτ' ἀντέχοι· καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ
χοῦν, καὶ προχωροῦντας ἔσω. διπλάσιόν τε πόνον ἔχειν καὶ
ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι· ἅμα δὲ τῇ χώσει καὶ μηχα-
νὰς προσῆγον τῇ πόλει οἱ πελοποννήσιοι· μίαν μὲν ἣ τοῦ
μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα, ἐπὶ
μέγα κατέσεισε καὶ ἐφόβησε τοὺς πλαταιῆς· ἄλλας δὲ ἄλλη
τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ πλα-
ταιῆς· καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἁλύσεσι μακραῖς
σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπι-
κεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους, ἀνελκύσαν-
τες ἐγκαρσίας ὁπότε προσπεσεῖσθαί πη μέλλοι ἡ μηχανή,
ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι καὶ οὐ διὰ χειρὸς ἔ-
χοντες· ἡ δὲ ῥύμη ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς
ἐμβολῆς· μετὰ δὲ τοῦτο οἱ πελοποννήσιοι ὡς αἵ τε μηχαναὶ
οὐδὲν ὠφέλουν, καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο,
νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν
πόλιν, πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο· πρότερον
δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο πνεύματος γε-
νομένου ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην· πᾶσαν γὰρ
δὴ ἰδέαν ἐπενόουν, ὅπως σφίσιν ἄνευ δαπάνης καὶ πολι-
ορκίας προσαχθείη· φοροῦντες δὲ ὕλης φακέλους παρέβαλ-
λον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς
προσχώσεως· ταχὺ δὲ πλήρους γινομένου διὰ πολυχειρίαν
ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ με-
τεώρου πλεῖστον ἐπισχεῖν· ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ
πίσσῃ ἧψαν τὴν ὕλην· καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσην οὐ-
δείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν· ἤδη γὰρ
ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὑτὴν ἀπὸ ταὐτομάτου
πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε· τοῦτο δὲ μέγα τε ἦν καὶ τοὺς

πλαταιέας τἄλλα διαφυγόντας, ἐλαχίστου ἐδέησε διαφθεῖραι·
ἐντὸς γὰρ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι· πνεῦμά τε εἰ
ἐπεγένετο αὐτῇ ἐπίφορον ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν
διέφυγον· νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι· ὕδωρ ἐξ οὐρα-
νοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα· καὶ οὕτω
παυθῆναι τὸν πόλεμον· οἱ δὲ πελοποννήσιοι ἐπειδὴ καὶ
τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου,
τὸ δὲ λοιπὸν ἀφέντες, περιετείχιζον τὴν πόλιν κύκλῳ διελό-
μενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔ-
ξωθεν ἐξ ἧς ἐπλινθεύσαντο· καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ
ἀρκτούρου ἐπιτολάς, καταλιπόντες φυλακὰς τοῦ ἡμίσεως
τείχους, τὸ δὲ ἥμισυ βοιωτοὶ ἐφύλασσον, ἀνεχώρησαν τῷ στρα-
τῷ καὶ διελύθησαν κατὰ πόλεις· πλαταιῆς δὲ παῖδας μὲν
καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἀχρεῖον
τῶν ἀνθρώπων, πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς ἀθήνας· αὐ-
τοὶ δὲ ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι· ἀθηναῖοι
δὲ ὀγδοήκοντα· γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί· τοσοῦ-
τοι ἦσαν οἱ ξύμπαντες ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο· καὶ ἄλλος
οὐδεὶς ἦν ἐν τῷ τείχει οὔτε δοῦλος οὔτε ἐλεύθερος· τοιαύτη μὲν
ἡ πλαταιῶν πολιορκία κατεσκευάσθη· τοῦ δὲ αὐτοῦ θέρους
καὶ ἅμα τῇ τῶν πλαταιέων ἐπιστρατείᾳ, ἀθηναῖοι δισχιλίοις
ὁπλίταις αὐτῶν, καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ χαλ-
κιδέας ἐπὶ θρᾴκης καὶ βοττιαίους ἀκμάζοντος τοῦ σίτου· ἐστρα-
τήγει δὲ ξενοφῶν ὁ εὐριπίδου τρίτος αὐτός· ἐλθόντες δὲ ὑπὸ
σπάρτωλον τὴν βοττικὴν, τὸν σῖτον διέφθειραν· ἐδόκει δὲ καὶ
προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων· προσπεμ-
ψάντων δὲ ἐς ὄλυνθον τῶν οὐ ταὐτὰ βουλομένων, ὁπλῖται
τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν· ἧς ἐπεξελθούσης ἐκ τῆς σπαρ-
τώλου, ἐς μάχην καθίστανται οἱ ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει·

καὶ οἱ μὲν ὁπλῖται τῶν χαλκιδέων καὶ ἐπίκουροί τινες μετ' αὐτῶν
νικῶνται ὑπὸ τῶν ἀθηναίων καὶ ἀναχωροῦσιν ἐς τὴν σπάρτωλον·
οἱ δ' ἱππῆς τῶν ὀλυνθίων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν ἀθηναίων,
ἱππέας καὶ ψιλούς· εἶχον δέ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς κρ
ουσίδος γῆς καλουμένης· ἄρτι δὲ τῆς μάχης γεγενημένης, ἐπιβο
ηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς ὀλύνθου· καὶ οἱ ἐκ τῆς σπαρτώλου,
ψιλοὶ ὡς εἶδον θαρσήσαντες τοῖς τε προσγιγνομένοις καὶ ὅτι πρό
τερον οὐχ ἥσσηντο, ἐπιτίθενται αὖθις μετὰ τῶν χαλκιδέων ἱππέων·
καὶ τῶν προσβοηθησάντων τοῖς ἀθηναίοις· καὶ ἀναχωροῦσι πρὸς
τὰς δύο τάξεις ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις· καὶ ὁπό
τε μὲν ἐπίοιεν οἱ ἀθηναῖοι, ἐνεδίδοσαν· ἀποχωροῦσι δ' ἐνέ
κειντο· καὶ ἐσηκόντιζον. οἵ τε ἱππῆς τῶν χαλκιδέων προσιπ
πεύοντες ᾗ δοκοίη προσέβαλον· καὶ οὐχ ἥκιστα φοβήσαντες
ἔτρεψαν τοὺς ἀθηναίους καὶ ἐπεδίωξαν πολύ· καὶ οἱ μὲν ἀ
θηναῖοι ἐς τὴν ποτίδαιαν καταφεύγουσι· καὶ ὕστερον τοὺς νε
κροὺς ὑποσπόνδους κομισάμενοι, ἐς τὰς ἀθήνας ἀναχωροῦσι τῷ
περιόντι τοῦ στρατοῦ· ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρα
κόσιοι· καὶ οἱ στρατηγοὶ πάντες· οἱ δὲ χαλκιδῆς καὶ οἱ βοττι
αῖοι τροπαῖόν τε ἔστησαν· καὶ τοὺς νεκροὺς αὐτῶν ἀνελόμενοι,
διελύθησαν κατὰ πόλεις· τοῦ δ' αὐτοῦ θέρους οὐ πολλῷ ὕστερον
τούτων, ἀμπρακιῶται καὶ χάονες βουλόμενοι ἀκαρνανίαν
τὴν πᾶσαν καταστρέψασθαι καὶ ἀθηναίων ἀποστῆσαι, πείθου
σι λακεδαιμονίους ναυτικόν τε παρασκευάσασθαι ἐκ τῆς ξυμμα
χίδος καὶ ὁπλίτας χιλίους πέμψαι ἐς ἀκαρνανίαν· λέγον
τες ὅτι ἢν ναυσὶ καὶ πεζῷ μετὰ σφῶν ἔλθωσιν ἅμα, ἀδυνάτων
ὄντων ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης ἀκαρνάνων, ῥᾳδίως ἂν ἀ
καρνανίαν σχόντες, καὶ τῆς ζακύνθου καὶ κεφαλληνίας κρατήσουσι·
καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο ἀθηναίοις ὁμοίως περὶ πελοπόν
νησον· ἐλπίδας δ' εἶναι καὶ ναύπακτον λαβεῖν· οἱ δὲ λακεδαιμό

πεμφθέντος, κνῆμον μὲν ναύαρχον ἔτι ὄντα καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι· τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένους, ὡς τάχιστα πλεῖν ἐς λευκάδα· ἦσαν δὲ κορίνθιοι μάλιστα ξυμπροθυμούμενοι τοῖς ἀμπρακιώταις ἀποίκοις οὖσι· καὶ τὸ μὲν ναυτικὸν ἔκ τε κορίνθου καὶ σικυῶνος καὶ τῶν ταύτῃ χωρίων, ἐν παρασκευῇ ἦν· τὸ δ' ἐκ λευκάδος καὶ ἀνακτορίου καὶ ἀμπρακίας πρότερον ἀφικόμενον, ἐν λευκάδι περιέμενε· κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται, ἐπειδὴ ἐπεραιώθησαν λαθόντες φορμίωνα ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν ἀττικῶν, αἳ περὶ ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν· καὶ αὐτῷ παρῆσαν ἑλλήνων μὲν ἀμπρακιῶται· καὶ λευκάδιοι καὶ ἀνακτόριοι· καὶ οὓς αὐτὸς ἔχων ἦλθε χίλιοι πελοποννησίων· βάρβαροι δὲ χάονες χίλιοι ἀβασίλευτοι· ὧν ἡγοῦντο ἐπετησίῳ προστασίᾳ τοῦ ἀρχικοῦ γένους, φώτιος καὶ νικάνωρ· ξυνεστρατεύοντο δὲ μετὰ χαόνων καὶ θεσπρωτοὶ ἀβασίλευτοι· μολοσσοὺς δὲ ἦγε καὶ ἀτιντᾶνας, σαβύλινθος ἐπίτροπος ὢν θάρυπος τοῦ βασιλέως ἔτι παιδὸς ὄντος· καὶ παραυαίους ὄροιδος βασιλεύς ὤν· ὀρέσται δὲ χίλιοι ὧν ἐβασίλευεν ἀντίοχος μετὰ παραυαίων ξυνεστρατεύοντο ὀροίδῳ, ἀντιόχου ἐπιτρέψαντος· ἔπεμψε δὲ καὶ περδίκκας κρύφα τῶν ἀθηναίων χιλίους μακεδόνων· οἳ ὕστερον ἦλθον· τούτῳ τῷ στρατῷ ἐπορεύετο κνῆμος, οὐ περιμείνας τὸ ἀπὸ κορίνθου ναυτικόν· καὶ διὰ τῆς ἀργείας ἰόντες λιμναίαν κώμην ἀτείχιστον ἐπόρθησαν· ἀφικνοῦνταί τε ἐπὶ στράτον πόλιν μεγίστην τῆς ἀκαρνανίας· νομίζοντες εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προσχωρήσειν· ἀκαρνᾶνες δὲ αἰσθόμενοι στρατὸν πολὺν κατά τε γῆν ἐσβεβληκότα, ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν, ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι·

παρὰ τὸν φορμίωνα ἐκέλευον πέμποντες ἀμύνειν· ὁ δὲ ἀδύνα-
τος ἔφη εἶναι ναυτικοῦ ἐκ κορίνθου μέλλοντος ἐκπλεῖν ναύ-
πακτον ἐρήμην ἀπολιπεῖν. οἱ δὲ πελοποννήσιοι καὶ οἱ ξύμ-
μαχοι τρία τέλη ποιήσαντες σφῶν αὐτῶν, ἐχώρουν πρὸς τὴν τῶν
στρατίων πόλιν· ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πεί-
θοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους. καὶ τὸ μέσον μὲν ἔχοντες προ-
σῇσαν χάονες καὶ οἱ ἄλλοι βάρβαροι· ἐκ δεξιᾶς δ' αὐτῶν λευκά-
διοι καὶ ἀνακτόριοι καὶ οἱ μετὰ τούτων· ἐν ἀριστερᾷ δὲ κνῆμος τε
οἱ πελοποννήσιοι καὶ οἱ ἀμπρακιῶται· διεῖχον δὲ πολὺ ἀπ' ἀλ-
λήλων· καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. καὶ οἱ μὲν ἕλληνες τε-
ταγμένοι τε προσῇσαν καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ
χάονες σφίσι τε αὐτοῖς πιστεύοντες καὶ ἀξιούμενοι ὑπὸ τῶν ἐκεί-
νῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι, οὔτε ἐπέσχον καταλαβεῖν· χω-
ρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων, ἐνόμισαν καὶ αὐτοβοεὶ
αὐτὴν πόλιν ἑλεῖν· καὶ αὐτῶν τὸ ἔργον γενέσθαι· γνόντες δ' αὐτοὺς
οἱ στράτιοι ἔτι προσιόντας, καὶ ἡγησάμενοι μεμονωμένων εἰ
κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς ἕλληνας ὁμοίως προσελθεῖν, προ-
λοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις· καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε
τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν προσπίπτου-
σι· καὶ ἐς φόβον καταστάντων, διαφθείρονταί τε πολλοὶ τῶν χαόνων·
καὶ οἱ ἄλλοι βάρβαροι ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι ὑπέμειναν·
ἀλλ' ἐς φυγὴν κατέστησαν. τῶν δὲ ἑλληνικῶν στρατοπέδων οὐδέ-
τερον ᾔσθετο τῆς μάχης διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς, καὶ στρα-
τόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. ἐπεὶ δ' ἐνέ-
κειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς καὶ ξυνα-
γαγόντες τὰ στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν· ἐς χεῖρας μὲν
οὐκ ἰόντων σφίσι τῶν στρατίων, διὰ τὸ μήπω τοὺς ἄλλους ἀκαρνᾶ-
νας ξυμβεβοηθηκέναι, ἄπωθεν δὲ σφενδονώντων καὶ ἐς ἀπο-
ρίαν καθιστάντων· οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. δοκοῦσι δὲ

οἱ ἀκαρνᾶνες πράξειν ἢ καὶ τοῦτο ποιεῖν· ἐπειδὴ δὲ νὺξ ἐγέ-
νετο, ἀναχωρήσας ὁ κνῆμος τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν ἄνα-
πον ποταμόν, ὃς ἀπέχει σταδίους ὀγδοήκοντα στράτου, τούς τε
νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ ὑποσπόνδους· καὶ οἰνιαδῶν
ξυμπαραγενομένων, κατὰ φιλίαν· ἀναχωρεῖ παρ' αὐτούς, πρὶν
τὴν ξυμβοήθειαν ἐλθεῖν· κἀκεῖθεν ἀπῆλθον ἐπ' οἴκου ἕκαστοι·
οἱ δὲ στράτιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρ-
βάρους· τὸ δ' ἐκ τῆς κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν
ἐκ τοῦ κρισαίου κόλπου ναυτικόν· ὃ ἔδει παραγενέσθαι τῷ κνή-
μῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω ἀκαρνᾶνες,
οὐ παραγίγνεται· ἀλλ' ἠναγκάσθησαν τὰς αὐτὰς ἡμέρας τῆς ἐν
στράτῳ μάχης· ναυμαχῆσαι πρὸς φορμίωνα καὶ τὰς εἴκοσι
ναῦς τῶν ἀθηναίων αἳ ἐφρούρουν ἐν ναυπάκτῳ· ὁ γὰρ φορμί-
ων παραπλέοντας αὐτοὺς ἔξω ἐτήρει· βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ
ἐπιθέσθαι· οἱ δὲ κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ
ὡς ἐπὶ ναυμαχίαν· ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι
ἐς τὴν ἀκαρνανίαν· καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσα-
ράκοντα ναῦς τὰς σφετέρας, τολμῆσαι τοὺς ἀθηναίους εἴκοσι
ταῖς ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαρα-
πλέοντάς τε ἑώρων αὐτούς, παρὰ γῆν σφῶν κομιζομένων·
καὶ ἐκ πατρῶν τῆς ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον δια-
βαλλόντων ἐπὶ ἀκαρνανίας, κατεῖδον τοὺς ἀθηναίους ἀπὸ τῆς
χαλκίδος καὶ τοῦ εὐήνου ποταμοῦ προσπλέοντας σφίσι· καὶ
οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι· οὕτω δὴ ἀναγκάζονται
ναυμαχεῖν κατὰ μέσον τὸν πορθμόν· στρατηγοὶ δὲ ἦσαν μὲν
καὶ κατὰ πόλεις ἑκάστων· οἳ παρεσκευάζοντο· κορινθίων δὲ μα-
χάων καὶ ἰσοκράτης καὶ ἀγαθαρχίδας· καὶ οἱ μὲν πελοπον-
νήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τε ἦσαν μὴ
διδόντες διέκπλουν· τὰς πρῴρας μὲν ἔξω· ἔσω δὲ τὰς πρύμνας

καὶ τά τε λεπτὰ πλοῖα ἃ ξυνέπλει ἐντὸς ποιοῦνται· καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας ὅπως ἐκπλέοιεν διὰ βραχέος παραγιγνόμενοι· εἴ πῃ προσπλέοιεν οἱ ἐναντίοι· οἱ δ' ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι· περιέπλεον αὐτοὺς κύκλῳ· καὶ ξυνῆγον ἐς ὀλίγον ἐν χρῷ αἰεὶ παραπλέοντες· καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν· προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς σημήνῃ· ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν ὥσπερ ἐν γῇ πεζήν· ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τάς τε ναῦς· καὶ τὰ πλοῖα ταραχὴν παρέξειν· εἴ τ' ἐκπνεύσειεν ἐκ τοῦ κόλπου τὸ πνεῦμα· ὅπερ ἀναμένων τε περιέπλει· καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω· οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐνόμιζεν εἶναι ὁπόταν βούληται τῶν νεῶν ἄμεινον πλεουσῶν· καὶ τότε καλλίστην γίγνεσθαι· ὡς δὲ τό τε πνεῦμα κατῄει· καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου τῶν τε πλοίων προσκειμένων ἅμα ἐταράσσοντο· καὶ ναῦς τε νηὶ προσέπιπτε. καὶ τοῖς κοντοῖς διωθοῦντο βοῇ τε χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ, οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν κελευστῶν· καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλύδωνι ἀναφέρειν ἄνθρωποι ἄπειροι· τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει· καὶ οἱ ἀθηναῖοι προσπεσόντες, πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν· ἔπειτα δὲ καὶ τὰς ἄλλας ᾗ χωρήσειαν διέφθειρον· καὶ κατέστησαν ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς· φεύγειν δὲ ἐς πάτρας καὶ δύμην τῆς ἀχαΐας· οἱ δ' ἀθηναῖοι καταδιώξαντες καὶ ναῦς δώδεκα λαβόντες, τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι, ἐς μολύκρειον ἀπέπλεον· καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ ῥίῳ, καὶ ναῦν ἀναθέντες τῷ πο

σφίσιν, ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ
Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης
καὶ Πατρῶν, ἐς Κυλλήνην τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευ-
κάδος Κνῆμος καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμμεῖ-
ξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴν Κυλλήνην.
πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους
ἐπὶ τὰς ναῦς Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα· κε-
λεύοντες ἄλλην ναυμαχίαν βελτίω παρασκευάζεσθαι· καὶ μὴ ὑ-
πὸ νεῶν ὀλίγων εἴργεσθαι τῆς θαλάσσης. ἄλλως τε καὶ πρῶτον
ναυμαχίας πειρασαμένοις, πολὺς ὁ παράλογος εἶναι· καὶ οὐ
τοσοῦτον ᾤοντο σφῶν τῷ ναυτικῷ λείπεσθαι· γεγενῆσθαι δέ
τινα μαλακίαν· οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμ-
πειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης. ὀργῇ οὖν ἀπέστελ-
λον. οἱ δέ, ἀφικόμενοι μετὰ Κνήμου, ναῦς τε περιήγγελλον
κατὰ πόλεις· καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυ-
μαχίαν. πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας. τήν τε πα-
ρασκευὴν αὐτῶν ἀγγελοῦντας· καὶ περὶ τῆς ναυμαχίας ἣν ἐνίκη-
σαν φράσοντας· καὶ κελεύων αὐτῷ ναῦς ὅτι πλείστας διὰ τά-
χους ἀποστεῖλαι· ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης, ἀεὶ
ναυμαχήσειν. οἱ δέ, ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ· τῷ δὲ
κομίζοντι αὐτὰς προσεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι.
Νικίας γὰρ Κρὴς Γορτύνιος πρόξενος ὢν πείθει αὐτοὺς ἐπὶ
Κυδωνίαν πλεῦσαι· φάσκων προσποιήσειν αὐτὴν οὖσαν πο-
λεμίαν· ἐπῆγε δὲ Πολιχνίταις χαριζόμενος ὁμόροις τῶν Κυ-
δωνιατῶν· καὶ ὁ μέν, λαβὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην· καὶ
μετὰ τῶν Πολιχνιτῶν, ἐδῄουν τὴν γῆν τῶν Κυδωνιατῶν· καὶ ὑπ'
ἀνέμων καὶ ἀπλοίας, ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον. οἱ δ' ἐν
τῇ Κυλλήνῃ Πελοποννήσιοι, ἐν τούτῳ ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρή-
την κατείχοντο. παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν, παρέπλευ-

ται δὲ πάνορμον τὸν ἀχαϊκόν, οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς
τῶν πελοποννησίων προσεβεβοηθήκει. παρέπλευσε δὲ καὶ ὁ φορ
μίων ἐπὶ τὸ ῥίον τὸ μολυκρικὸν καὶ ὡρμίσατο ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν
αἷσπερ καὶ ἐναυμάχησεν. ἦν δὲ τοῦτο μὲν τὸ ῥίον φίλιον τοῖς ἀ
θηναίοις τὸ δ' ἕτερον ῥίον ἐστὶν ἀντιπέρας τὸ ἐν τῇ πελοποννήσῳ.
διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς θαλάσσης
τοῦ δὲ κρισαίου κόλπου. στόμα τοῦτό ἐστιν. ἐπὶ οὖν τῷ ῥίῳ τῷ
ἀχαϊκῷ οἱ πελοποννήσιοι ἀπέχοντι οὐ πολὺ τοῦ πανόρμου.
ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑ
βδομήκοντα ἐπειδὴ καὶ τοὺς ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἓξ ἢ
ἑπτὰ ἡμέρας ἀνθώρμουν ἀλλήλοις μελετῶντές τε καὶ παρασκευ
αζόμενοι τὴν ναυμαχίαν. γνώμην ἔχοντες. οἱ μὲν, μὴ ἐκπλεῖν ἔ
ξω τῶν ῥίων ἐς τὴν εὐρυχωρίαν. φοβούμενοι τὸ πρότερον πάθος.
οἱ δὲ, μὴ ἐσπλεῖν ἐς τὰ στενά. νομίζοντες πρὸς ἐκείνων εἶναι
τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα καὶ ὁ κνῆμος καὶ ὁ βρασίδας
καὶ οἱ ἄλλοι τῶν πελοποννησίων στρατηγοί, βουλόμενοι ἐν τά
χει τὴν ναυμαχίαν ποιῆσαι, πρίν τι καὶ ἀπὸ τῶν ἀθηναίων ἐπι
βοηθῆσαι. ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶτον. καὶ ὁρῶντες
αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προτέραν ἧσσαν φοβουμένους καὶ
οὐ προθύμους ὄντας, παρεκελεύσαντο καὶ ἔλεξαν τοιάδε. κνήμου καὶ βρασίδου δημη

ἡ μὲν γενομένη ναυμαχία ὦ πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑ
μῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκ
φοβῆσαι. τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο ὥσπερ ἴστε. καὶ
οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν. ξυνέ
βη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι. καί πού
τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλε. ὥστε οὐ
κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσᾶσθαι προσεγένετο. οὐδὲ
δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθέν, ἔχον δέ τινα ἐν
αὐτῷ ἀντιλογίαν, τῆς γε ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι.

νομίζειν δὲ ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους·
ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ εἶναι ἀνδρείους ὀρθῶς· καὶ μὴ
ἀπειρίαν τοῦ ἀνδρείου παρόντος προβαλλομένους εἰκότως ἂν
ἔν τινι κακοὺς γενέσθαι· ὑμῶν δὲ οὐδ᾽ ἡ ἀπειρία τοσοῦτον λείπεται
ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φο-
βεῖσθε, ἀνδρείαν μὲν ἔχουσα, καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπι-
τελεῖν ἃ ἔμαθεν· ἄνευ δὲ εὐψυχίας, οὐδεμία τέχνη πρὸς τοὺς
κινδύνους ἰσχύει· φόβος γὰρ μνήμην ἐκπλήσσει· τέχνη δὲ
ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ· πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐ-
τῶν· τὸ τολμηρότερον ἀντιτάξασθε· πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν
δεδιέναι· τὸ ἀπαράσκευοι τότε τυχεῖν· περιγίγνεται δὲ ὑμῖν
πλῆθός τε νεῶν· καὶ πρὸς τῇ γῇ οἰκείᾳ οὔσῃ ὁπλιτῶν παρόντων
ναυμαχεῖν· τὰ δὲ πολλὰ τῶν πλεόνων καὶ ἄμεινον παρεσ-
κευασμένων, τὸ κράτος ἐστίν· ὥστε οὐδὲ καθ᾽ ἓν εὑρίσκομεν
εἰκότως ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρότερον,
νῦν αὐτὰ ταῦτα προσγενόμενα, διδασκαλίαν παρέξει· θαρσοῦν-
τες οὖν καὶ κυβερνῆται καὶ ναῦται· τὸ καθ᾽ ἑαυτὸν ἕκαστος ἕπε-
σθε· χώραν μὴ λείποντες ᾗ ἄν τις προσταχθῇ· τῶν δὲ πρότερον
ἡγεμόνων, οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν· καὶ
οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις
ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ
ἀγαθοὶ τιμηθήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς· Τοι-
αῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύσαντο·
ὁ δὲ Φορμίων δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀρρωδίαν,
καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν νεῶν κατὰ σφᾶς αὐτοὺς ξυ-
νιστάμενοι ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί τε καὶ
παραίνεσιν ἐν τῷ παρόντι ποιήσασθαι· πρότερον μὲν γὰρ
ἀεὶ αὐτοῖς ἔλεγε καὶ προπαρεσκεύαζε τὰς γνώμας ὡς οὐδὲν αὐτοῖς
πλῆθος νεῶν τοσοῦτον ἢν ἐπιπλέῃ, ὅτι οὐχ ὑπομενετέον αὐτοῖς

β

ἐστὶ καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύ-
την εἰλήφεσαν· μηδένα ὄχλον ἀθηναῖοι ὄντες πελοποννησί-
ων νεῶν ὑποχωρεῖν· τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς
ἀθυμοῦντας, ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν· καὶ
ξυγκαλέσας τοὺς ἀθηναίους ἔλεγε τοιάδε· δημηγορία Φορμίωνος

Ὁρῶν ὑμᾶς ὦ στρατιῶται πεφοβημένους τὸ πλῆθος τῶν ἐναντί-
ων ξυνεκάλεσα· οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀρρωδίᾳ ἔχειν· οὗτοι
γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι, καὶ μηδ' αὐτοὶ οἴεσθαι
ὁμοῖοι εἶναι, τὸ πλῆθος τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου
παρεσκευάσαντο· ἔπειτα ᾧ μάλιστα πιστεύοντες προσέρχονται
ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν,
ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες· καὶ οἴ-
ονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό· τὸ δ' ἐκ τοῦ δι-
καίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ·
ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι· τῷ δὲ ἑκάτεροί τι ἐμπει-
ρότεροι εἶναι, θρασύτεροί ἐσμεν· λακεδαιμόνιοί τε ἡγούμενοι
τῶν ξυμμάχων, διὰ τὴν σφετέραν δόξαν ἄκοντας προσάγουσι
τοὺς πολλοὺς ἐς τὸν κίνδυνον· ἐπεὶ οὐκ ἄν ποτε ἐνεχείρησαν
ἡσσηθέντες παρὰ πολὺ αὖθις ναυμαχεῖν· μὴ δὴ αὐτῶν τὴν τόλ-
μαν δείσητε· πολὺ δὲ ὑμεῖς ἐκείνοις φόβον παρέχετε καὶ πι-
στότερον· κατά τε τὸ προνενικηκέναι· καὶ ὅτι οὐκ ἂν ἡγοῦνται
μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν ἀνθίστασθαι ὑμᾶς·
ἀντίπαλοι μὲν γὰρ οἱ πλείους ὥσπερ οὗτοι τῇ δυνάμει τὸ πλέον
πίσυνοι, ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δὲ ἐκ πολλῷ ὑποδεεστέρων
καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τι τῆς διανοίας τὸ βέβαιον
ἔχοντες, ἀντιτολμῶσιν· ἃ λογιζόμενοι οὗτοι, τῷ οὐκ εἰκότι πλέον
πεφόβηνται ἡμᾶς, ἢ τῇ κατὰ λόγον παρασκευῇ· πολλὰ δὲ καὶ
στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ· ἔστι δὲ ἃ καὶ
τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν· τὸ δὲ ἀ-

γῶνα, οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι ποιήσομαι· οὐδ᾽ ἐσπλεύσομαι
ἐς αὐτόν· ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις
ναυσὶ καὶ ἄμεινον ἐμπείροις καὶ ἄμεινον πλεούσαις, ἡ στενοχωρία
οὐ ξυμφέρει· οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν μὴ
ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ· οὔτ᾽ ἂν ἀποχω
ρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοι τε οὐκ εἰσὶν οὐδ᾽ ἀνα
στροφαὶ ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν· ἀλλὰ ἀνάγ
κη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι· καὶ ἐν τούτῳ
αἱ πλείους νῆες κρείσσους γίγνονται· τούτων μὲν οὖν ἐγὼ ἕξω
τὴν πρόνοιαν κατὰ τὸ δυνατόν· ὑμεῖς δὲ εὔτακτοι παρὰ ταῖς
τε ναυσὶ μένοντες, τὰ παραγγελλόμενα ὀξέως δέχεσθε· ἄλλως
τε καὶ δι᾽ ὀλίγου τῆς ἐφορμήσεως οὔσης· καὶ ἐν τῷ ἔργῳ κόσμον
καὶ σιγὴν περὶ πλείστου ποιεῖσθε· ὥστε πολλὰ τῶν πολεμικῶν
ξυμφέρει· καὶ ναυμαχίᾳ οὐχ ἥκιστα· ἀμύνασθε δὲ τούσδε
ἀξίως τῶν προειργασμένων· ὁ δὲ ἀγὼν μέγας ὑμῖν· ἢ κατα
λῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ, ἢ ἐγγυτέρω
καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης· ἀναμι
μνήσκω δ᾽ αὖ ὑμᾶς ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσση
μένων δὲ ἀνδρῶν· οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς
κινδύνους ὁμοῖαι εἶναι: Τοιαῦτα μὲν ὁ Φορμίων παρεκε
λεύετο· οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι
οὐκ ἐπέπλεον ἐς τὸν κόλπον καὶ τὰ στενά, βουλόμενοι ἄκον
τας ἔσω προαγαγεῖν αὐτούς· ἀναγόμενοι ἅμα ἕῳ ἔπλεον
ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς, ἐπὶ τὴν ἑαυτῶν γῆν, ἔσω
ἐπὶ τοῦ κόλπου· δεξιῷ κέρᾳ ἡγουμένῳ· ὥσπερ ὥρμουν· ἐπὶ
δ᾽ αὐτῷ εἴκοσι ναῦς ἔταξαν· τὰς ἄριστα πλεούσας· ὅπως εἰ
ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων, καὶ
αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέῃ, μὴ διαφύγοιεν πλέον
τα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι· ἔξω τοῦ ἑαυτῶν κέρως·

ἄλλαι αἱ νῆες ἐπέπλεον· ὁ δὲ, ὅπερ ἐκεῖνοι προσεδέχοντο φο
βηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι ὡς ἑώρα ἀναγομένους αὐ
τούς. ἄκων καὶ κατὰ σπουδὴν ἐμβιβάσας ἔπλει παρὰ τὴν γῆν· καὶ
ὁ πεζὸς ἅμα τῶν μεσσηνίων παρεβοήθει· ἰδόντες δὲ οἱ πελοπον
νήσιοι κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας καὶ ἤδη ὄντας ἐντὸς
τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ ὅπερ ἐβούλοντο μάλιστα. ἀπὸ σημεί
ου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν, ἔπλεον ὡς εἶχε
τάχους ἕκαστος, ἐπὶ τοὺς ἀθηναίους· καὶ ἤλπιζον πάσας τὰς ναῦς
ἀπολήψεσθαι· τῶν δὲ, ἕνδεκα μὲν αἵπερ ἡγοῦντο. ὑπεκφεύ
γουσι τὸ κέρας τῶν πελοποννησίων· καὶ τὴν ἐπιστροφὴν ἐς τὴν
εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς
τὴν γῆν ὑποφευγούσας καὶ διέφθειραν· ἄνδρας τε τῶν ἀθη
ναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν· καὶ τῶν νεῶν τι-
νὰς ἀναδούμενοι εἷλκον κενάς· μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷ
λον ἤδη· τὰς δέ τινας οἱ μεσσήνιοι παραβοηθοῦντες καὶ ἐ
πεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν, καὶ ἐπιβάν
τες ἀπὸ τῶν καταστρωμάτων, μαχόμενοι ἀφείλοντο ἑλκομέ
νας ἤδη· ταύτῃ μὲν οὖν οἱ πελοποννήσιοι ἐκράτουν τε καὶ διέφθει
ραν τὰς ἀττικὰς ναῦς· αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δε
ξιοῦ κέρως. ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν ἀθηναίων αἵπερ
ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· καὶ φθά
νουσιν αὐτοὺς πλὴν μιᾶς νεὼς προκαταφυγοῦσαι ἐς τὴν ναύ
πακτον· καὶ σχοῦσαι ἀντίπρῳροι κατὰ τὸ ἀπολλώνιον, πα
ρεσκευάζοντο ἀμυνούμενοι ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσι·
οἱ δὲ, παραγενόμενοι ὕστερον ἐπαιάνιζόν τε ἅμα πλέοντες
ὡς νενικηκότες· καὶ τὴν μίαν ναῦν τῶν ἀθηναίων τὴν ὑπό
λοιπον· ἐδίωκε λευκαδία μία ναῦς, πολὺ πρὸ τῶν ἄλλων· ἔτυ
χε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος· περὶ ἣν ἡ ἀττικὴ ναῦς
φθάσασα καὶ περιπλεύσασα, τῇ λευκαδίᾳ διωκούσῃ ἐμβάλλει

μέσον καὶ καταδύει. τοῖς μὲν οὖν πελοποννησίοις γενομένου
τούτου τοῦ ἀπροσδοκήτου τε καὶ παραλόγου, φόβος ἐμπίπτει·
καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν· αἱ μέν τινες τῶν
νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ· ἀξύμφορον,
δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν· βουλόμενοι τὰς
πλείους περιμεῖναι· αἱ δὲ καὶ ἐς βράχη ἀπειρίᾳ χωρίων
ὤκειλαν· τοὺς δὲ ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρ
σος τε ἔλαβε· καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες, ἐπ'
αὐτοὺς ὥρμησαν· οἱ δὲ, διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν
παροῦσαν ἀταξίαν· ὀλίγον μὲν χρόνον ὑπέμειναν· ἔπειτα δὲ
ἐτράποντο ἐς τὸν πάνορμον, ὅθενπερ ἀνηγάγοντο· ἐπιδιώ
κοντες δὲ οἱ ἀθηναῖοι, τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον
ἕξ· καὶ τὰς ἑαυτῶν ἀφείλοντο· ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθεί
ραντες τὸ πρῶτον ἀνεδήσαντο, ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν
τοὺς δὲ καὶ ἐζώγρησαν· ἐπὶ δὲ τῆς λευκαδίας νεὼς ἣ περὶ
τὴν ὁλκάδα κατέδυ, τιμοκράτης ὁ λακεδαιμόνιος πλέων
ὡς ἡ ναῦς διεφθείρετο, ἀπέσφαξεν ἑαυτόν, καὶ ἐξέπεσεν ἐς
τὸν ναυπακτίων λιμένα· ἀναχωρήσαντες δὲ οἱ ἀθηναῖοι τρο
παῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκράτησαν· καὶ τοὺς νεκροὺς
καὶ τὰ ναυάγια ὅσα πρὸς τῇ ἑαυτῶν ἦν ἀνείλοντο· καὶ τοῖς
ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν· ἔστησαν δὲ καὶ
οἱ πελοποννήσιοι τροπαῖον ὡς νενικηκότες τῆς τροπῆς ἃς
πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἥνπερ ἔλαβον ναῦν, ἀνέθε
σαν ἐπὶ τὸ ῥίον τὸ ἀχαϊκὸν· παρὰ τὸ τροπαῖον· μετὰ δὲ ταῦ
τα φοβούμενοι τὴν ἀπὸ τῶν ἀθηναίων βοήθειαν, ὑπὸ νύκτα
ἐσέπλευσαν ἐς τὸν κόλπον τὸν κρισαῖον καὶ κόρινθον ἅπαντες
πλὴν λευκαδίων· καὶ οἱ ἐκ τῆς κρήτης ἀθηναῖοι, ταῖς εἴκοσι
ναυσὶν αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ φορμίωνι παραγενέ
σθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται.

ἐς τὴν ναύπακτον· καὶ τὸ θέρος ἐτελεύτα· πρὶν δὲ διαλῦσαι
τὸ ἐς κόρινθόν τε καὶ τὸν κρισαῖον κόλπον ἀναχωρῆσαν ναυ-
τικὸν· ὁ κνῆμος καὶ ὁ βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες τῶν
πελοποννησίων ἀρχομένου τοῦ χειμῶνος. ἐβούλοντο. διδα-
ξάντων μεγαρέων. ἀποπειρᾶσαι τοῦ πειραιῶς τοῦ λιμένος
τῶν ἀθηναίων· ἦν δὲ ἀφύλακτος καὶ ἄκληστος εἰκότως· διὰ
τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ· ἐδόκει δὲ λαβόντα τῶν ναυ-
τῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα πε-
ζῇ ἰέναι ἐκ κορίνθου ἐπὶ τὴν πρὸς ἀθήνας θάλασσαν· καὶ ἀ-
φικομένους κατὰ τάχος ἐς μέγαρα καθελκύσαντας ἐκ νισαίας
τοῦ νεωσοίκου αὐτῶν τεσσαράκοντα ναῦς αἳ ἔτυχον αὐτόθι οὖσαι,
πλεῦσαι εὐθὺς ἐπὶ τὸν πειραιᾶ· οὔτε γὰρ ναυτικὸν ἦν προφυ-
λάσσον ἐν αὐτῷ οὐδὲν, οὔτε προσδοκία οὐδεμία, μὴ ἄν πο-
τε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν· ἐπεὶ οὐδ'
ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν· οὐδ' εἰ διενο-
οῦντο μὴ οὐκ ἂν προαισθέσθαι· ὡς δὲ ἔδοξεν αὐτοῖς καὶ ἐ-
χώρουν εὐθὺς καὶ ἀφικόμενοι νυκτὸς καὶ καθελκύσαντες
ἐκ τῆς νισαίας τὰς ναῦς, ἔπλεον ἐπὶ μὲν τὸν πειραιᾶ οὐκ-
έτι ὥσπερ διενοοῦντο καταδείσαντες τὸν κίνδυνον· καί τις
καὶ ἄνεμος αὐτοὺς λέγεται κωλῦσαι· ἐπὶ δὲ τῆς σαλαμῖνος
τὸ ἀκρωτήριον τὸ πρὸς μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ
ἦν· καὶ νεῶν φυλακὴ τριῶν τοῦ μὴ ἐσπλεῖν μεγαρεῦσι μη-
δὲ ἐκπλεῖν μηδέν, τῷ τε φρουρίῳ προσέβαλον, καὶ τὰς
τριήρεις ἀφείλκυσαν κενάς· τήν τε ἄλλην σαλαμῖνα ἀπρος-
δοκήτοις ἐπιπεσόντες ἐπόρθουν· ἐς δὲ τὰς ἀθήνας φρυ-
κτοί τε ἤροντο πολέμιοι· καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς
τῶν κατὰ τὸν πόλεμον ἐλάσσων· οἱ μὲν γὰρ ἐν τῷ ἄστει, ἐς τὸν
πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐσπεπλευκέναι ἤδη· οἱ δ' ἐν
τῷ πειραιεῖ, τήν τε σαλαμῖνα ᾑρῆσθαι ἐνόμιζον καὶ παρὰ σφᾶς

ὅσον οὐκ ἐσπλεῖν αὐτούς· ὅπερ ἂν εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι
ῥᾳδίως ἂν ἐγένετο· καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσεν· βοηθή-
σαντες δὲ ἅμ᾽ ἡμέρᾳ πανδημεὶ οἱ ἀθηναῖοι ἐς τὸν πειραιᾶ,
ναῦς τε καθεῖλκον· καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ
θορύβῳ, ταῖς μὲν ναυσὶν ἐπὶ τὴν σαλαμῖνα ἔπλεον· τῷ πε-
ζῷ δὲ φυλακὰς τοῦ πειραιῶς καθίσταντο· οἱ δὲ πελοποννή-
σιοι ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς σαλα-
μῖνος τὰ πολλὰ, καὶ ἀνθρώπους καὶ λείαν λαβόντες, καὶ τὰς γ̄ 95
ναῦς ἐκ τοῦ βουδόρου τοῦ φρουρίου, κατὰ τάχος ἐπὶ τῆς
νισαίας ἔπλεον· ἔστι γὰρ ὅτι καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου
καθελκυσθεῖσαι καὶ οὐδὲν στέγουσαι, ἐφόβουν· ἀφικόμε-
νοι δὲ ἐς τὰ μέγαρα πάλιν, ἀπὸ τῆς κορίνθου ἀπεχώρησαν πεζοί·
οἱ δ᾽ ἀθηναῖοι οὐκέτι καταλαβόντες πρὸς τῇ σαλαμῖνι, ἀπέ-
πλευσαν καὶ αὐτοί· καὶ μετὰ τοῦτο φυλακὴν ἤδη τοῦ πειραιῶς
μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο· λιμένων τε κλῄσει καὶ τῇ ἄλλῃ ἐπι-
μελείᾳ· ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ χειμῶνος τούτου ἀρχο-
μένου, σιτάλκης ὁ τήρεω ὀδρύσης θρᾳκῶν βασιλεύς, ἐστρά-
τευσεν ἐπὶ περδίκκαν τὸν ἀλεξάνδρου μακεδόνων βασιλέα·
καὶ ἐπὶ χαλκιδέας τοὺς ἐπὶ θρᾴκης, δύο ὑποσχέσεις· τὴν μὲν
βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι· ὅ τε γὰρ
περδίκκας αὐτῷ ὑποσχόμενος εἰ ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν
κατ᾽ ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ φίλιππον τὸν ἀδελ-
φὸν αὐτοῦ πολέμιον ὄντα μὴ καταγάγοι ἐπὶ βασιλείᾳ· ἃ
ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε ἀθηναίοις αὐτὸς ὡμολογή-
κει ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ θρᾴκης χαλκιδικὸν
πόλεμον καταλύσειν· ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον
ἐποιεῖτο· τόν τε φιλίππου υἱὸν ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ
τῶν μακεδόνων ἦγε· καὶ τῶν ἀθηναίων πρέσβεις οἳ ἔτυχον
παρόντες τούτων ἕνεκα· καὶ ἡγεμόνα ἅγνωνα· ἔδει γὰρ

καὶ τοὺς ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς χαλ-
κιδέας παρέσεσθαι· ἀνίστησιν οὖν ἐκ τῶν ὀδρυσῶν ὁρμώ-
μενος, πρῶτον μὲν τοὺς ἐντὸς τοῦ αἵμου τε ὄρους καὶ τῆς ῥοδό-
πης θρᾶκας ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν εὔξεινόν τε
πόντον καὶ τὸν ἑλλήσποντον· ἔπειτα τοὺς ὑπερβάντι αἷμον
γέτας, καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ ἴστρου ποταμοῦ πρὸς θά-
λασσαν μᾶλλον τὴν τοῦ εὐξείνου πόντου κατῴκητο· εἰσὶ δὲ
οἱ γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς σκύθαις καὶ ὁμόσκευοι· πάν-
τες ἱπποτοξόται· παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν θρᾳκῶν πολ-
λοὺς αὐτονόμων καὶ μαχαιροφόρων· οἳ δῖοι καλοῦνται· τὴν ῥο-
δόπην οἱ πλεῖστοι οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν· οἱ δ'
ἐθελονταὶ ξυνηκολούθουν· ἀνίστη δὲ καὶ ἀγριᾶνας καὶ λαι-
αίους καὶ ἄλλα ὅσα ἔθνη παιονικὰ ὧν ἦρχε· καὶ ἔσχατοι τῆς
ἀρχῆς οὗτοι ἦσαν· μέχρι γὰρ λαιαίων παιόνων καὶ τοῦ στρυ-
μόνος ποταμοῦ ὃς ἐκ τοῦ σκομίου ὄρους διὰ ἀγραίων καὶ λαι-
αίων ῥεῖ· οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς παίονας αὐτονόμους ἤδη·
τὰ δὲ πρὸς τριβαλλοὺς καὶ τούτους αὐτονόμους, τρῆρες ὥριζον
καὶ τιλαταῖοι· οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ σκομίου ὄρους·
καὶ παρήκουσι πρὸς ἡλίου δύσιν· μέχρι τοῦ ὀσκίου ποταμοῦ·
ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους ὅθενπερ καὶ ὁ νέστος· καὶ ὁ ἕβρος·
ἔστι δὲ ἐρῆμον τὸ ὄρος καὶ μέγα ἐχόμενον τῆς ῥοδόπης· ἐ-
γένετο δὲ ἡ ἀρχὴ ὀδρυσῶν μέγεθος ἐπὶ μὲν θάλασσαν καθή-
κουσα ἀπὸ ἀβδήρων πόλεως ἐς τὸν εὔξεινον πόταμον, μέχρι
ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα
ἢν αἰεὶ κατὰ πρύμναν ἵστηται τὸ πνεῦμα νηὶ στρογγύλῃ τεσσά-
ρων ἡμερῶν καὶ ἴσων νυκτῶν· ὁδῷ δὲ τὰ ξυντομώτατα ἐς ἴστρον
ἀπὸ ἀβδήρων ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ· τὰ μὲν πρὸς
θάλασσαν τοσαύτη ἦν· ἐς ἤπειρον δὲ ἀπὸ βυζαντίου ἐς λαιαίους
καὶ ἐπὶ τὸν στρυμόνα· ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης

ἄνω ἐγίγνετο· ἡμερῶν ἀνδρὶ εὐζώνῳ, τριῶν καὶ δέκα ἀνύσαι·
φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν ἑλληνίδων πόλεων,
ὅσων προσῆξαν ἐπὶ σεύθου· ὃς ὕστερον σιτάλκου βασιλεύσας
πλεῖστον δὴ ἐποίησε· τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα
δύναμις· ἃ χρυσὸς καὶ ἄργυρος ᾔει· καὶ δῶρα οὐκ ἐλάσσω
τούτου χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο· χωρὶς δὲ ὅσα
ὑφαντά τε καὶ λεῖα· καὶ ἡ ἄλλη κατασκευή· καὶ οὐ μόνον αὐτῷ
ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις ὀδρυσῶν· κα-
τεστήσαντο γὰρ τοὐναντίον τῆς περσῶν βασιλείας τὸν νόμον·
ὄντα μὲν καὶ τοῖς ἄλλοις θρᾳξί· λαμβάνειν μᾶλλον ἢ διδόναι·
καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι, ἢ αἰτήσαντα μὴ τυχεῖν·
ὅμως δὲ κατὰ τὸ δύνασθαι ἐπὶ πλέον αὐτῷ ἐχρήσαντο· οὐ γὰρ
ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα· ὥστε ἐπὶ μέγα ἡ βασι-
λεία ἦλθεν ἰσχύος· τῶν γὰρ ἐν τῇ εὐρώπῃ ὅσαι μεταξὺ τοῦ ἰονί-
ου κόλπου καὶ τοῦ εὐξείνου πόντου, μεγίστη ἐγένετο χρημάτων προ-
σόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ· ἰσχύι δὲ μάχης καὶ στρατοῦ
πλήθει, πολὺ δευτέρα μετὰ τὴν σκυθῶν· ταύτῃ δὲ ἀδύνατα
ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ ἀσίᾳ ἔθνος
ἓν πρὸς ἕν, οὐκ ἔστιν ὅ, τι δυνατὸν σκύθαις ὁμογνωμονοῦσι,
πᾶσιν ἀντιστῆναι· οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ
ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται· σιτάλ-
κης μὲν οὖν χώρας τοσαύτης βασιλεύων, παρεσκευάζετο τὸν
στρατόν· καὶ ἐπειδὴ αὐτῷ ἑτοῖμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ
τὴν μακεδονίαν· πρῶτον μὲν διὰ τῆς αὑτοῦ ἀρχῆς· ἔπειτα
διὰ κερκίνης ὄρους ὅ ἐστι μεθόριον σιντῶν τε καὶ παιόνων· ἐπο-
ρεύετο δὲ δι' αὐτοῦ τὴν ὁδόν, ἣν πρότερον αὐτὸς ἐποιήσατο,
τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ παίονας ἐστράτευσε· τὸ δὲ ὄρος
ἐξ ὀδρυσῶν διιόντες, ἐν δεξιᾷ μὲν εἶχον παίονας· ἐν ἀρι-
στερᾷ δὲ σιντοὺς καὶ μαίδους· διελθόντες δὲ αὐτὸ ἀφίκοντο

β

ἐς Δόβηρον τὴν παιονικήν· πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο
οὐδὲν τοῦ στρατοῦ εἰ μή τι νόσῳ· προσεγίγνετο δέ· πολλοὶ γὰρ τῶν
αὐτονόμων θρᾳκῶν ἀπαράκλητοι, ἐφ' ἁρπαγὴν ἠκολούθουν·
ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον μυριάδων πεντε-
καίδεκα γενέσθαι· καὶ τούτου τὸ μὲν πλέον πεζὸν ἦν· τριτημό-
ριον δὲ μάλιστα ἱππικόν· τοῦ δ' ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ ὀ-
δρύσαι παρείχοντο· καὶ μετ' αὐτοὺς γέται· τοῦ δὲ πεζοῦ οἱ μα-
χαιροφόροι μαχιμώτατοι μὲν ἦσαν οἱ ἐκ τῆς ῥοδόπης αὐ-
τόνομοι καταβάντες· ὁ δὲ ἄλλος ὅμιλος ξύμμικτος πλήθει φο-
βερώτατος ἠκολούθει· ξυνηθροίζοντο οὖν ἐν τῇ δοβήρῳ καὶ
παρεσκευάζοντο ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω
μακεδονίαν· ἧς ὁ περδίκκας ἦρχε· τῶν γὰρ μακεδόνων εἰ-
σὶ καὶ λυγκησταί· καὶ ἐλιμιῶται· καὶ ἄλλα ἔθνη ἐπάνωθεν·
ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα· βασιλείας δ' ἔχει καθ'
αὑτά· τὴν δὲ παρὰ θάλασσαν νῦν μακεδονίαν, ἀλέξανδρος
ὁ περδίκκου πατὴρ καὶ οἱ πρόγονοι αὐτοῦ τημενίδαι τὸ ἀρχαῖον
ὄντες ἐξ ἄργους, πρῶτοι ἐκτήσαντο καὶ ἐβασίλευσαν· ἀναστή-
σαντες μάχῃ ἐκ μὲν πιερίας, πίερας· οἳ ὕστερον ὑπὸ τὸ πάγ-
γαιον πέραν στρυμόνος ᾤκησαν φάγρητα καὶ ἄλλα χωρία· καὶ ἔ-
τι καὶ νῦν πιερικὸς κόλπος καλεῖται· ἡ ὑπὸ τῷ παγγαίῳ
πρὸς θάλασσαν γῆ· ἐκ δὲ τῆς βοττίας καλουμένης, βοττιαί-
ους, οἳ νῦν ὅμοροι χαλκιδέων οἰκοῦσι· τῆς δὲ παιονίας παρὰ τὸν ἀ-
ξιὸν ποταμόν· στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι πέλλης
καὶ θαλάσσης ἐκτήσαντο· καὶ πέραν ἀξιοῦ μέχρι στρυμόνος
τὴν μυγδονίαν καλουμένην ἠδῶνας ἐξελάσαντες νέμονται·
ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν καλουμένης ἐορδίας, ἐορδούς·
ὧν οἱ μὲν πολλοὶ διεφθάρησαν· βραχὺ δέ τι αὐτῶν περὶ φύ-
σκαν κατῴκηται· καὶ ἐξ ἀλμωπίας, ἄλμωπας· ἐκράτησαν δὲ καὶ
τῶν ἄλλων ἐθνῶν οἱ μακεδόνες οὗτοι· ἃ καὶ νῦν ἔχουσι· τόν τε

ἀνθεμοῦντα καὶ χρηστωνίαν· καὶ βισαλτίαν· καὶ μακεδόνων
αὐτῶν πολλήν· τὸ δὲ ξύμπαν μακεδονία καλεῖται· καὶ περδίκ-
κας ὁ ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν ὅτε σιτάλκης ἐπῄει· καὶ
οἱ μὲν μακεδόνες οὗτοι ἐπιόντος πολλοῦ στρατοῦ, ἀδύνατοι
ὄντες ἀμύνεσθαι, ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη ὅσα ἦν ἐν τῇ
χώρᾳ ἐσεκομίσθησαν· ἦν δὲ οὐ πολλά· ἀλλὰ ὕστερον ἀρχέ-
λαος ὁ περδίκκου υἱὸς βασιλεὺς γενόμενος, τὰ νῦν ὄντα ἐν
τῇ χώρᾳ ᾠκοδόμησε· καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἆλλα δι-
εκόσμησε· τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ
ἄλλῃ παρασκευῇ κρείσσονι, ἢ ξύμπαντες οἱ ἄλλοι βασιλῆς ὀκτὼ
οἱ πρὸ αὐτοῦ γενόμενοι· ὁ δὲ στρατὸς τῶν θρακῶν ἐκ τῆς δο-
βήρου ἐσέβαλε πρῶτον μὲν ἐς τὴν φιλίππου πρότερον οὖ-
σαν ἀρχήν· καὶ εἷλεν εἰδομένην μὲν κατὰ κράτος· γορτυνίαν
δὲ καὶ ἀταλάντην καὶ ἄλλα ἄττα χωρία ὁμολογίᾳ διὰ τὴν ἀ-
μύντου φιλίαν· προσχωροῦντα τοῦ φιλίππου υἱέος παρόντος·
εὐρωπὸν δὲ ἐπολιόρκησαν μέν· ἑλεῖν δὲ οὐκ ἐδύναντο· ἔπειτα
δὲ καὶ ἐς τὴν ἄλλην μακεδονίαν· προυχώρει τὴν ἐν ἀριστερᾷ
πέλλης καὶ κύρρου· ἔσω δὲ τούτων ἐς τὴν βοττιαίαν καὶ πι-
ερίαν οὐκ ἀφίκοντο· ἀλλὰ τήν τε μυγδονίαν καὶ γρηστωνίαν καὶ ἀν-
θεμοῦντα ἐδῄουν· οἱ δὲ μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο
ἀμύνεσθαι· ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων
ὅπῃ δοκοίη ὀλίγοι πρὸς πολλούς, ἐσέβαλλον ἐς τὸ στράτευμα
τῶν θρακῶν· καὶ ᾗ μὲν προσπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας
ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους· ὑπὸ δὲ πλήθους
περικλῃόμενοι αὐτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ, ἐς κίνδυνον
καθίστασαν· ὥστε τέλος ἡσυχίαν ἦγον οὐ νομίζοντες ἱκανοὶ
εἶναι πρὸς τὸ πλέον κινδυνεύειν· ὁ δὲ σιτάλκης πρός τε τὸν
περδίκκαν λόγους ἐποιεῖτο ὧν ἕνεκα ἐστράτευσε· καὶ ἐπειδὴ
οἱ ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσὶν ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν,

δῶρά τε καὶ πρέσβεις ἔπεμψαν αὐτῷ. ἔς τε τοὺς χαλκιδέας καὶ βοτ-
τιαίους, μέρος τι τοῦ στρατοῦ πέμπει· καὶ τειχήρεις ποιήσας ἐ-
δῄου τὴν γῆν· καθημένου δ' αὐτοῦ περὶ τοὺς χώρους τούτους, οἱ πρὸς
νότον οἰκοῦντες θεσσαλοὶ καὶ μάγνητες· καὶ οἱ ἄλλοι ὑπήκοοι θε-
σσαλῶν καὶ οἱ μέχρι θερμοπυλῶν ἕλληνες, ἐφοβήθησαν μὴ καὶ
ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ· καὶ ἐν παρασκευῇ ἦσαν· ἐφο-
βήθησαν δὲ καὶ οἱ πέραν στρυμόνος πρὸς βορέαν θρᾷκες·
ὅσοι πεδία εἶχον· παναῖοι καὶ ὀδόμαντοι καὶ δρῶοι καὶ
δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες· παρέσχε δὲ λόγον καὶ ἐπὶ
τοὺς τῶν ἀθηναίων πολεμίους καὶ ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγό-
μενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. ὁ δὲ
τήν τε χαλκιδικὴν καὶ βοττικὴν καὶ μακεδονίαν ἅμα ἐπέ-
χων, ἔφθειρε· καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράττετο, ὧν ἕνεκα
ἐσέβαλε· καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ· καὶ ὑπὸ χει-
μῶνος ἐταλαιπώρει· ἀναπείθεται ὑπὸ σεύθου τοῦ σπαραδόκου
ἀδελφοῦ ὄντος καὶ μέγιστον μεθ' αὐτὸν δυναμένου, ὥστε ἐν
τάχει ἀπελθεῖν· τὸν δὲ σεύθην κρύφα περδίκκας ὑποσχό-
μενος ἀδελφὴν ἑαυτοῦ δώσειν, καὶ χρήματα ἐπ' αὐτῇ προσ-
ποιεῖται· καὶ ὁ μὲν πεισθεὶς καὶ μείνας τριάκοντα τὰς πάσας ἡ-
μέρας, τούτων δὲ ὀκτὼ ἐν χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ,
κατὰ τάχος ἐπ' οἴκου· περδίκκας δὲ ὕστερον στρατονίκην τὴν
ἑαυτοῦ ἀδελφὴν, δίδωσι σεύθῃ ὥσπερ ὑπέσχετο· τὰ μὲν
κατὰ τὴν σιτάλκου στρατείαν, οὕτως ἐγένετο· οἱ δὲ ἐν ναυπά-
κτῳ ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν πελοποννησί-
ων ναυτικὸν διελύθη, φορμίωνος ἡγουμένου ἐστράτευσαν πα-
ραπλεύσαντες ἐπ' ἀστακοῦ· καὶ ἀποβάντες ἐς τὴν μεσόγαιαν
τῆς ἀκαρνανίας τετρακοσίοις μὲν ὁπλίταις τῶν ἀθηναίων τῶν
ἀπὸ τῶν νεῶν· τετρακοσίοις δὲ μεσσηνίων· καὶ ἔκ τε στρά-
του καὶ κορόντων καὶ ἄλλων χωρίων, ἄνδρας οὐ δοκοῦντας βεβαίους

ἐξήλασαν καὶ κύνητα τὸν θεολύτου ἐς κόροντα καταγαγόντες ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς· ἐς γὰρ οἰνιάδας αἰεί ποτε πολεμίους ὄντας μόνους ἀκαρνάνων, οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ ἀχελῷος ποταμὸς ῥέων ἐκ πίνδου ὄρους, διὰ δολοπίας καὶ ἀγραίων, καὶ ἀμφιλόχων, καὶ διὰ τοῦ ἀκαρνανικοῦ πεδίου, ἄνωθεν μὲν παρὰ στράτον πόλιν ἐς θάλασσαν δ' ἐξιεὶς παρ' οἰνιάδας καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν ἐχινάδων, αἱ πολλαὶ καταντικρὺ οἰνιαδῶν τοῦ ἀχελῴου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι· ὥστε μέγας ὢν ὁ ποταμός, προσχοῖ αἰεὶ καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται· ἐλπὶς δὲ καὶ πάσας οὐκ ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν· τό τε γὰρ ῥεῦμα ἐστὶ μέγα καὶ πολὺ καὶ θολερόν· αἵ τε νῆσοι πυκναὶ καὶ ἀλλήλαις τῆς προσχώσεως τὸ μὴ σκεδάννυσθαι, ξύνδεσμοι γίγνονται· παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι· οὐδ' ἔχουσαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος· ἐρῆμαι δ' εἰσὶ καὶ οὐ μεγάλαι· λέγεται δὲ καὶ ἀλκμαίωνι τῷ ἀμφιαρέῳ ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρός, τὸν ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν· ὑπειπόντα οὐκ εἶναι λύσιν τῶν δειμάτων, πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται, ἥτις ὅτε ἔκτεινε τὴν μητέρα, μήπω ὑπὸ ἡλίου ἑωρᾶτο μηδὲ γῆ ἦν· ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ δ' ἀπορῶν ὥς φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ ἀχελῴου· καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι· ἀφ' οὗ περ κτείνας τὴν μητέρα, οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο· καὶ κατοικισθεὶς ἐς τοὺς περὶ οἰνιάδας τόπους, ἐδυνάστευσέ τε καὶ ἀπὸ ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν κατέλιπε· τὰ μὲν περὶ ἀλκμαίωνα τοιαῦτα λεγόμενα παρελάβομεν· οἱ δὲ ἀθηναῖοι καὶ ὁ φορμίων ἄραντες ἐκ τῆς ἀκαρνανίας, καὶ ἀφι-

κομισάμενοι δὲ τὴν ναῦν ἅπαντα ἅμα ἦρι. κατέπλευσαν ἐς τὰς ἀθή-
νας· τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄ-
γοντες οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν. καὶ τὰς ναῦς ἃς εἷλον. καὶ
ὁ χειμὼν ἐτελεύτα οὗτος. καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε
ὃν θουκυδίδης ξυνέγραψεν: +

## θουκυδίδου ξυγγραφῆς γ

Τοῦ δ' ἐπιγιγνομένου θέρους πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἅμα
τῷ σίτῳ ἀκμάζοντι. ἐστράτευσαν ἐς τὴν ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν
ἀρχίδαμος ὁ ζευξιδάμου λακεδαιμονίων βασιλεύς· καὶ ἐγκα-
θεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαί ὥσπερ εἰώθεσαν ἐγίγνοντο
τῶν ἀθηναίων ἱππέων ὅπῃ παρείκοι· καὶ τὸν πλεῖστον ὅμιλον τῶν
ψιλῶν εἶργον, τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως
κακουργεῖν· ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία. ἀνεχώ-
ρησαν καὶ διελύθησαν κατὰ πόλεις· μετὰ δὲ τὴν ἐσβολὴν τῶν πε-
λοποννησίων, εὐθὺς λέσβος πλὴν μηθύμνης ἀπέστη ἀπὸ ἀθηναίων,
βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου· ἀλλ' οἱ λακεδαιμόνιοι οὐ
προσεδέξαντο· ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον
ἢ διενοοῦντο ποιήσασθαι. τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τῶν τειχῶν
οἰκοδόμησιν καὶ νεῶν ποίησιν, ἐπέμενον τελεσθῆναι, καὶ ὅσα
ἐκ τοῦ πόντου ἔδει τελεσθῆναι ἀφικέσθαι. τοξότας τε καὶ σῖτον καὶ
ἃ μεταπεμπόμενοι ἦσαν· τενέδιοι γὰρ ὄντες αὐτοῖς διάφοροι καὶ
μηθυμναῖοι, καὶ αὐτῶν μυτιληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν πρό-
ξενοι ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς ἀθηναίοις ὅτι ξυνοικίζου-
σί τε τὴν λέσβον ἐς τὴν μυτιλήνην βίᾳ, καὶ τὴν παρασκευὴν ἅ-
πασαν μετὰ λακεδαιμονίων καὶ βοιωτῶν ξυγγενῶν ὄντων, ἐπὶ ἀ-
πόστασιν ἐπείγονται· καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερή-
σεσθαι αὐτοὺς λέσβου· οἱ δ' ἀθηναῖοι ἦσαν γὰρ τεταλαιπωρημ-

ὑπὸ τῆς νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ ἀκμά
ζοντος, μέγα μὲν ἔργον ἡγοῦντο εἶναι λέσβον προσπολεμώ
σασθαι καὶ ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον· καὶ οὐκ
ἀπεδέχοντο πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ
μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέ
σβεις οὐκ ἔπειθον τοὺς μυτιληναίους, τήν τε ξυνοίκισιν καὶ
τὴν παρασκευὴν διαλύειν, δείσαντες προκαταλαβεῖν ἐβού
λοντο· καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς, αἳ
ἔτυχον περὶ πελοπόννησον παρεσκευασμέναι πλεῖν· κλεϊππί
δης ὁ δεινίου, τρίτος αὐτὸς ἐστρατήγει· ἐσηγγέλθη γὰρ αὐτοῖς ὡς
εἴη ἀπόλλωνος μαλόεντος ἔξω τῆς πόλεως ἑορτή· ἐν ᾗ πανδη
μεὶ μυτιληναῖοι ἑορτάζουσι· καὶ ἐλπίδα εἶναι ἐπειχθέντας
ἐπιπεσεῖν ἄφνω· καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα· εἰ δὲ μή, μυτιλη
ναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τείχη καθελεῖν· μὴ πειθο
μένων δὲ πολεμεῖν· καὶ αἱ μὲν νῆες ᾤχοντο· τὰς δὲ τῶν μυ
τιληναίων δέκα τριήρεις αἳ ἔτυχον παρὰ σφᾶς κατὰ τὸ ξυμ
μαχικὸν παροῦσαι κατέσχον οἱ ἀθηναῖοι· καὶ τοὺς ἄνδρας
ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο· τοῖς δὲ μυτιληναίοις
ἀνὴρ ἐκ τῶν ἀθηναίων διαβὰς ἐς εὔβοιαν καὶ πεζῇ ἐπὶ γεραι
στὸν ἐλθών, ὁλκάδος ἀναγομένης ἐπιτυχών, πλῷ χρησάμενος
καὶ τριταῖος ἐκ τῶν ἀθηνῶν ἐς μυτιλήνην ἀφικόμενος, ἀγγέλ
λει τὸν ἐπίπλουν· οἱ δέ, οὔτε ἐς τὸν μαλόεντα ἐξῆλθον, τά τε
ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύ
λασσον· καὶ οἱ ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώ
ρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα· οὐκ ἐσα
κουόντων δὲ τῶν μυτιληναίων, ἐς πόλεμον καθίσταντο· ἀπα
ράσκευοι δὲ οἱ μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες πο
λεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμα
χίαν ὀλίγον πρὸ τοῦ λιμένος· ἔπειτα καταδιωχθέντες ὑπὸ τῶν

ἀπεκινδύνευσαν, λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς· βουλό-
μενοι τὰς ναῦς τὸ παραυτίκα εἰ δύναιντο ὁμολογίᾳ τινὶ ἐπιεικεῖ
ἀποπέμψασθαι. καὶ οἱ στρατηγοὶ τῶν ἀθηναίων ἀπεδέξαντο·
καὶ αὐτοὶ φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι λέσβῳ πάσῃ
πολεμεῖν. καὶ ἀνακωχὴν ποιησάμενοι. πέμπουσι δὲ τὰς ἀ-
θήνας οἱ μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα ᾧ μετέμελεν
ἤδη καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν, ὡς σφῶν
οὐδὲν νεωτεριούντων. ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς λακε-
δαίμονα τριήρει πρέσβεις· λαθόντες τὸ τῶν ἀθηναίων ναυτι-
κόν. οἳ ὥρμουν ἐν τῇ μαλέᾳ πρὸς βορέαν τῆς πόλεως. οὐ γὰρ
ἐπίστευον τοῖς ἀπὸ τῶν ἀθηναίων προχωρήσειν. καὶ οἱ μὲν ἐς
τὴν λακεδαίμονα ταλαιπώρως κομισθέντες αὐτοῖς ἔπρασσον
ὅπως τις βοήθεια ἥξει. οἱ δ᾽ ἐκ τῶν ἀθηναίων πρέσβεις ὡς οὐ-
δὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ μυτιληναῖοι
καὶ ἡ ἄλλη λέσβος πλὴν μηθύμνης. οὗτοι δὲ τοῖς ἀθηναίοις
ἐβεβοηθήκεσαν. καὶ ἴμβριοι καὶ λήμνιοι καὶ τῶν ἄλλων
ὀλίγοι τινὲς ξυμμάχων. καὶ ἔξοδον μέν τινα πανδημεὶ ἐποι-
ήσαντο οἱ μυτιληναῖοι. οὔτε δὲ ἐπηυλίσαντο, οὔτε ἐπίστευ-
σαν αὐτοῖς. ἀλλ᾽ ἀνεχώρησαν. ἔπειτα οἱ μὲν ἡσύχαζον
ἐκ πελοποννήσου καὶ μετ᾽ ἄλλης παρασκευῆς βουλόμενοι εἰ
προσγένοιτό τι κινδυνεύειν. καὶ γὰρ αὐτοῖς μελέας λάκων
ἀφικνεῖται. καὶ ἑρμαιώνδας θηβαῖος. οἳ προαπεστάλη-
σαν μὲν τῆς ἀποστάσεως. φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν
ἀθηναίων ἐπίπλουν, κρύφα μετὰ τὴν μάχην ὕστερον ἐσ-
πλέουσι τριήρει. καὶ παρῄνουν πέμπειν τριήρη ἄλλην καὶ
πρέσβεις μεθ᾽ αὑτῶν. καὶ ἐκπέμπουσιν. οἱ δὲ ἀθηναῖοι πολὺ
ἐπιρρωσθέντες διὰ τὴν τῶν μυτιληναίων ἡσυχίαν. ξυμμάχους
τε προσεκάλουν. οἳ πολὺ θᾶσσον παρῆσαν. ὁρῶντες οὐδὲν
ἰσχυρὸν ἀπὸ τῶν λεσβίων. καὶ περιορμισάμενοι τὸ πρὸς νότον

τῆς πόλεως. ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως.
καὶ τοὺς ἐφόρμους ἐπ᾽ ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. καὶ
τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς μυτιληναίους. τῆς δὲ
γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ μυτιληναῖοι καὶ οἱ ἄλλοι λέσβιοι
προσβεβοηθηκότες ἤδη. τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κα-
τεῖχον οἱ ἀθηναῖοι. ναύσταθμος δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ
ἀγορᾶς ἡ μαλέα. καὶ τὰ μὲν περὶ μυτιλήνην, οὕτως ἐπολε-
μεῖτο. κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου. οἱ ἀθηναῖοι
καὶ περὶ πελοπόννησον λ΄ ναῦς ἀπέστειλαν τε καὶ ἀσώ-
πιον τὸν φορμίωνος στρατηγὸν κελευσάντων ἀκαρνάνων τῶν
φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα.
καὶ παραπλέουσαι αἱ νῆες. τῆς λακωνικῆς τὰ ἐπιθαλάσσια
χωρία ἐπόρθησαν. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν
ἐπ᾽ οἴκου ὁ ἀσώπιος αὐτὸς δ᾽ ἔχων δώδεκα ἀφικνεῖται ἐς ναύ-
πακτον. καὶ ὕστερον ἀκαρνᾶνας ἀναστήσας πανδημεί, στρατεύει
ἐπ᾽ οἰνιάδας. καὶ ταῖς τε ναυσὶ κατὰ τὸν ἀχελῷον ἔπλευσε καὶ
ὁ στρατὸς ἐδῄου τὴν χώραν. ὡς δ᾽ οὐ προσεχώρουν τὸν μὲν πεζὸν
ἀφίησιν. αὐτὸς δὲ πλεύσας ἐς λευκάδα καὶ ἀπόβασιν ἐς
νήρικον ποιησάμενος, διαφθείρεται αὐτός τε καὶ
τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθι τε ξυμβοηθησάντων.
καὶ φρουρῶν τινῶν ὀλίγων. καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς
ἀποπλεύσαντες οἱ ἀθηναῖοι παρὰ τῶν λευκαδίων ἐκομίσαντο.
οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες μυτιληναίων πρέσβεις,
ὡς αὐτοῖς οἱ λακεδαιμόνιοι εἶπον ὀλυμπίαζε παρεῖναι. ὅπως
καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς
ὀλυμπίαν. ἦν δὲ ὀλυμπιάς. ᾗ δωριεὺς ῥόδιος δεύτερον
ἐνίκα. καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους εἶπον
τοιάδε:

Δημηγορία μυτιληναίων

Τὸ μὲν καθεστὸς τοῖς ἕλλησι νόμιμον ὦ λακεδαιμόνιοι καὶ ξύμ-

νόμιμον ἴσμεν· τοὺς μὲν ἀφισταμένους ἐν τοῖς πολέμοις καὶ ξυμ-
μαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι, καθ' ὅσον μὲν ὠ-
φελοῦνται, ἐν ἡδονῇ ἔχουσι· νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ
τοῦ φίλων χείρους ἡγοῦνται· καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐ-
στίν, εἰ τύχοιεν πρὸς ἀλλήλους ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρί-
νοιντο, ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ
παρασκευῇ καὶ δυνάμει· πρόφασίς τε ἐπιεικὴς μηδεμία
ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν τε καὶ ἀθηναίοις οὐκ ἦν· μὴ
δέ τῳ χείρους δόξωμεν εἶναι εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν
ἐν τοῖς δεινοῖς ἀφιστάμεθα· περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶ-
τον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι τοὺς λόγους ποιησόμεθα·
εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην, οὔτε κοινω-
νίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης γίγνοιτο· καὶ
τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης, καὶ
αἱ διαφοραὶ τῶν ἔργων καθίστανται· ἡμῖν δὲ καὶ ἀθηναίοις
ξυμμαχία ἐγένετο πρῶτον· ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ μη-
δικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοι-
πα τῶν ἔργων· ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει
τῶν ἑλλήνων ἀθηναίοις· ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ μήδου
τοῖς ἕλλησι· καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως
εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ μήδου
ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομέ-
νους, οὐκ ἀδεεῖς ἔτι ἦμεν· ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι
διὰ πολυψηφίαν ἀμύνασθαι οἱ ξύμμαχοι ἐδουλώθησαν· πλὴν
ἡμῶν καὶ χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ
ὀνόματι ξυνεστρατεύσαμεν· καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας
ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι· οὐ γὰρ
εἰκὸς ἦν αὐτοὺς, οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο, κατα-
στρέψασθαι, τοὺς δὲ ὑπολοίπους εἴ ποτε ἄρα ἐδυνήθησαν, μὴ

δρᾶσαι τοῦτο. καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαι-
ότεροι μὲν ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔ-
χοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλε-
πώτερον εἰκότως ἔμελλον οἴσειν καὶ πρὸς τὸ πλέον ἤδη εἶκον,
τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου· ἄλλως τε καὶ ὅσῳ δυνα-
τώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο, καὶ ἡμεῖς ἐρημότεροι. τὸ δὲ
ἀντίπαλον μόνον δέος πιστὸν ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τι
βουλόμενος τῷ μὴ προύχων ἂν ἐπελθεῖν ἀποτρέπεται. αὐτό-
νομοί τε ἐλείφθημεν οὐ δι᾽ ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν
εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος τὰ πράγ-
ματα ἐφαίνετο καταληπτά. ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο
μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπῇσαν,
ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑπο-
δεεστέρους πρώτους ξυνεπῆγον καὶ τὰ τελευταῖα λιπόντες τοῦ
ἄλλου περιῃρημένου, ἀσθενέστερα ἔμελλον ἕξειν. εἰ δὲ ἀφ᾽ ἡμῶν
ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν τε ἰσχὺν καὶ πρὸς ὅτι χρὴ
στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο. τό τε ναυτικὸν ἡμῶν
παρεῖχέ τινα φόβον μή ποτε καθ᾽ ἓν γενόμενον ἢ ὑμῖν ἢ ἄλλῳ τῳ
προσθέμενον, κίνδυνον σφίσι παράσχῃ. τὰ δὲ καὶ ἀπὸ θε-
ραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν αἰεὶ προεστώτων περιεγι-
γνόμεθα. οὐ μέντοι ἐπὶ πολὺ ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ
μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς ἐς
τοὺς ἄλλους. τίς οὖν αὕτη ἢ φιλία ἐγίγνετο ἢ ἐλευθερία πιστή,
ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα. καὶ οἱ μὲν
ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους
ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν, ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια
πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε. δέει τε τὸ
πλέον ἢ φιλίᾳ κατεχόμενοι, ξύμμαχοι ἦμεν· καὶ ὁπότεροι
θᾶσσον παράσχοι ἀσφάλεια θάρσος, οὗτοι πρότεροί τι καὶ

παραβήσεσθαι ἔμελλον· ὥστε εἰ δοκοῦμεν ἀδικεῖν προα-
ποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν αὐτοὶ
οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρ-
θῶς σκοπεῖτε· εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβου-
λεῦσαι καὶ ἀντιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις
εἶναι· ἐπ' ἐκείνοις δὲ ὄντος αἰεὶ τοῦ ἐπιχειρεῖν, καὶ ἐφ' ἡμῖν εἶναι
δεῖ τὸ προαμύνασθαι· τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας
ὦ λακεδαιμόνιοι ἀπέστημεν· σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι·
ὡς εἰκότως ἐδράσαμεν· ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι· καὶ πρὸς
ἀσφάλειάν τινα τρέψαι· βουλομένους μὲν καὶ πάλαι ὅτε ἔτι
ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν πρὸς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ
οὐ προσδεξαμένων κωλυθέντας· νῦν δὲ ἐπειδὴ βοιωτοὶ πρου-
καλέσαντο, εὐθὺς ὑπηκούσαμεν· καὶ ἐνομίζομεν ἀποστήσεσθαι
διπλῆν ἀπόστασιν· ἀπό τε τῶν ἑλλήνων μὴ ξὺν κακῶς ποιεῖν αὐ-
τοὺς μετὰ ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε τῶν ἀθηναίων
μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ ἀλλὰ προποιῆσαι·
ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος·
ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς διὰ ταχέων
βοήθειαν ἀποστέλλειν ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ· καὶ
ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες· καιρὸς δὲ ὡς οὔπω πρό-
τερον· νόσῳ τε γὰρ ἐφθάραται ἀθηναῖοι, καὶ χρημάτων
δαπάνῃ· νῆές τε αὐτοῖς, αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσίν· αἱ δ' ἐφ'
ἡμῖν τετάχαται· ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν·
ἢν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον
ἀλλ' ἢ ἡμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ ἀπ' ἀμφοτέρων ἀπο-
χωρήσονται· νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον
κίνδυνον ἕξειν· ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ λέσβος, τὴν
ὠφελίαν αὐτῷ ἐγγύθεν παρέξει· οὐ γὰρ ἐν τῇ ἀττικῇ ἔσται ὁ πό-
λεμος ὥς τις οἴεται· ἀλλὰ δι' ἣν ἡ ἀττικὴ ὠφελεῖται· ἔστι δὲ τῶν

χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος· καὶ ἔτι μείζων ἔσται
ἢν ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος, τά τε ἡμέ-
τερα προσγενήσεται· πάθοιμεν τ' ἂν δεινότερα ἢ οἱ πρὶν δου-
λεύοντες· βοηθησάντων δὲ ὑμῶν προθύμως, πόλιν τε προσ-
λήψεσθε ναυτικὸν ἔχουσαν μέγα οὗπερ ὑμῖν μάλιστα προσ-
δεῖ· καὶ ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐ-
τῶν τοὺς ξυμμάχους· θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται·
τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφιστα-
μένοις· ἢν δὲ ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέ-
μου βεβαιότερον ἕξετε· αἰσχυνθέντες οὖν τάς τε τῶν ἑλλήνων
ἐς ὑμᾶς ἐλπίδας· καὶ δία τὸν ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα
καὶ ἱκέται ἐσμέν, ἐπαμύνατε μυτιληναίοις ξύμμαχοι γε-
νόμενοι· καὶ μὴ προῆσθε ἡμᾶς ἴδιον μὲν τὸν κίνδυνον τῶν
σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορ-
θῶσαι ὠφελίαν ἅπασι δώσοντας· ἔτι δὲ κοινοτέραν τὴν βλά-
βην, εἰ μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα· γίγνεσθε δὲ
ἄνδρες, οἵουσπερ ὑμᾶς οἵ τε ἕλληνες ἀξιοῦσι, καὶ τὸ ἡμέτερον
δέος βούλεται: τοιαῦτα μὲν οἱ μυτιληναῖοι εἶπον· οἱ δὲ λα-
κεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἤκουσαν, προσδεξά-
μενοι τοὺς λόγους ξυμμάχους τε τοὺς λεσβίους ἐποιήσαντο· καὶ
τὴν ἐς τὴν ἀττικὴν ἐσβολὴν τοῖς ξυμμάχοις παροῦσι κατὰ τά-
χος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησό-
μενοι· καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο· καὶ ὁλκοὺς παρεσκεύα-
ζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ ὡς ὑπεροίσοντες ἐκ τῆς κορίνθου ἐς
τὴν πρὸς ἀθήνας θάλασσαν· καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπι-
όντες· καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ ἄλλοι
ξύμμαχοι βραδέως ξυνελέγοντο, καὶ ἐν καρποῦ ξυγκομιδῇ
ἦσαν καὶ ἀρρωστίᾳ τοῦ στρατεύειν· αἰσθόμενοι δὲ αὐτοὺς οἱ
ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζο-
μεν

δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τέ εἰσι
μὴ κινοῦντες τὸ ἐπὶ λέσβῳ ναυτικόν· καὶ τὸ ἀπὸ πελοπον-
νήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατόν·
ἐσβάντες αὐτοί τε πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων·
καὶ οἱ μέτοικοι· καὶ παρὰ τὸν ἰσθμὸν ἀναγαγόντες, ἐπίδει-
ξίν τε ἐποιοῦντο καὶ ἀποβάσεις τῆς πελοποννήσου ᾗ δοκοίη
αὐτοῖς· οἱ δὲ λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν παράλογον,
τά τε ὑπὸ τῶν λεσβίων ῥηθέντα, ἡγοῦντο οὐκ ἀληθῆ· καὶ ἄπο-
ρα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν· καὶ
ἠγγέλλοντο καὶ αἱ περὶ πελοπόννησον τριάκοντα νῆες τῶν ἀθη-
ναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου·
ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον, ὅτι πέμψουσιν ἐς λέσ-
βον· καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος·
καὶ ναύαρχον ἐπέταξαν ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι·
καὶ οἱ ἀθηναῖοι δὲ ἀνεχώρησαν ταῖς ἑκατὸν ναυσίν, ἐπειδὴ
καὶ ἐκείνους εἶδον· καὶ κατὰ τὸν χρόνον τοῦτον ὃν αἱ νῆες
ἔπλεον, ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει
ἐγένοντο· παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πο-
λέμου· τήν τε γὰρ ἀττικὴν καὶ εὔβοιαν καὶ σαλαμῖνα ἑκα-
τὸν ἐφύλασσον· καὶ περὶ πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν·
χωρὶς δὲ αἱ περὶ ποτίδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις· ὥστε
αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι καὶ πεντήκον-
τα· καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ ποτι-
δαίας· τήν τε γὰρ ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν·
αὑτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας· τρισ-
χίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν· ἑξα-
κόσιοι δὲ καὶ χίλιοι μετὰ φορμίωνος οἳ προαπῆλθον· νῆές
τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον· τὰ μὲν οὖν χρήματα
οὕτως ὑπαναλώθη τὸ πρῶτον· καὶ νῆες τοσαῦται δὴ πλεῖσται

ἐπληρώθησαν. μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον, ὃν οἱ
λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν, ἐπὶ μήθυμναν ὡς
προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε καὶ οἱ ἐπίκου
ροι. καὶ προσβαλόντες τῇ πόλει ἐπειδὴ οὐ προυχώρει ᾗ προ-
σεδέχοντο, ἀπῆλθον ἐπ' ἀντίσσης καὶ πύρρας καὶ ἐρέσου. καὶ
καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα, καὶ
τείχη κρατύναντες, διὰ τάχους ἀπῆλθον ἐπ' οἴκου. ἐστρά
τευσαν δὲ καὶ οἱ μηθυμναῖοι ἀναχωρησάντων αὐτῶν ἐπ' ἄντισσαν.
καὶ ἐκβοηθείας τινὸς γενομένης πληγέντες ὑπό τε τῶν ἀντισσαίων
καὶ τῶν ἐπικούρων, ἀπέθανόν τε πολλοὶ καὶ ἀνεχώρησαν
οἱ λοιποὶ κατὰ τάχος. οἱ δὲ ἀθηναῖοι πυνθανόμενοι ταῦτα, τούς
τε μυτιληναίους τῆς γῆς κρατοῦντας, καὶ τοὺς σφετέρους
στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι περὶ τὸ φθι
νόπωρον ἤδη ἀρχόμενον πάχητα τὸν ἐπικούρου στρατηγὸν καὶ
χιλίους ὁπλίτας ἑαυτῶν. οἱ δέ, αὐτερέται πλεύσαντες τῶν νε
ῶν ἀφικνοῦνται. καὶ περιτειχίζουσι μυτιλήνην ἐν κύκλῳ
ἁπλῷ τείχει. φρούρια δ' ἔστιν ᾗ ἐπὶ τῶν καρτερῶν ἐγκατῳ
κοδόμηται. καὶ ἡ μὲν μυτιλήνη κατὰ κράτος ἤδη ἀμφοτέ
ρωθεν καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο. καὶ ὁ χειμὼν ἤρχετο
γίγνεσθαι. προσδεόμενοι δὲ οἱ ἀθηναῖοι χρημάτων ἐς τὴν
πολιορκίαν. καὶ αὐτοὶ ἐσενεγκόντες τότε πρῶτον ἐσφο
ρὰν διακόσια τάλαντα, ἐξέπεμψαν. καὶ ἐπὶ τοὺς ξυμ
μάχους ἀργυρολόγους ναῦς δώδεκα. καὶ λυσικλέα πέμ
πτον αὐτὸν στρατηγόν. ὁ δέ, ἄλλα τε ἠργυρολόγει καὶ περι
έπλει. καὶ τῆς καρίας ἐκ μυοῦντος ἀναβὰς διὰ τοῦ μαιάν
δρου πεδίου μέχρι τοῦ σανδίου λόφου, ἐπιθεμένων τῶν
καρῶν καὶ ἀναιιτῶν, αὐτός τε διαφθείρεται καὶ τῆς ἄλλης
στρατιᾶς πολλοί. τοῦ δ' αὐτοῦ χειμῶνος οἱ πλαταιῆς. ἔτι
γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν πελοποννησίων καὶ βοιωτῶν

ἐπειδὴ τῷ τε σίτῳ ἐπιλελοιπότι ἐπιέζοντο, καὶ ἀπὸ τῶν ἀθηνῶν
οὐδεμία ἐλπὶς ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο· ἐπιβου-
λεύουσιν αὐτοί τε καὶ ἀθηναίων οἱ ξυμπολιορκούμενοι, πρῶτον
μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων ἢν
δύνωνται βιάσασθαι· ἐσηγησαμένου τὴν πεῖραν αὐτοῖς θεαινέτου
τε τοῦ τολμίδου ἀνδρὸς μάντεως, καὶ εὐπομπίδου τοῦ δαϊμά-
χου· ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως τὸν
κίνδυνον μέγαν ἡγησάμενοι· ἐς δὲ ἄνδρας διακοσίους
καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοι-
ῷδε· κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων·
ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων ᾗ ἔτυχε πρὸς
σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος αὐτῶν· ἠριθμοῦντο δὲ ἅ-
μα πολλοὶ τὰς ἐπιβολάς· καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσε-
σθαι· οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ· ἄλλως τε καὶ
πολλάκις ἀριθμοῦντες, καὶ ἅμα οὐ πολὺ ἀπέχοντες· ἀλλὰ
ῥαδίως καθορωμένου ἐς ὃ ἐβούλοντο τοῦ τείχους· τὴν μὲν οὖν
ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον· ἐκ τοῦ πάχους τῆς
πλίνθου εἰκάσαντες τὸ μέτρον· τὸ δὲ τεῖχος ἦν τῶν πελοποννη-
σίων τοιόνδε τῇ οἰκοδομήσει· εἶχε μὲν δύο τοὺς περιβόλους πρός
τε πλαταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ᾽ ἀθηνῶν ἐπίοι· διεῖχον δὲ οἱ
περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ᾽ ἀλλήλων· τὸ οὖν
μεταξὺ τοῦτο οἱ ἑκκαίδεκα πόδες τοῖς φύλαξιν, οἰκήματα
διανενεμημένα ᾠκοδόμητο· καὶ ἦν ξυνεχῆ ὥστε ἓν φαίνεσθαι
τὸ τεῖχος παχύ· ἐπάλξεις ἔχον ἀμφοτέρωθεν· διὰ δέκα δὲ
ἐπάλξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει· διήκον-
τες ἔς τε τὸ μέσον μέτωπον αὐτοῦ· καὶ οἱ αὐτοὶ καὶ τὸ ἔξω· ὥστε
πάροδον μὴ εἶναι παρὰ πύργον· ἀλλὰ δι᾽ αὐτῶν μέσων διῆσαν·
τὰς οὖν νύκτας ὁπότε χειμὼν εἴη νοτερός· τὰς μὲν ἐπάλξεις ἀπέλει-
πον· ἐκ δὲ τῶν πύργων ὄντων δι᾽ ὀλίγου καὶ ἄνωθεν

στεγανῶν τὴν φυλακὴν ἐποιοῦντο. τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ πλαταιῆς, τοιοῦτον ἦν. οἱ δ' ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ, καὶ ἅμα ἀσέληνον ἐξῇσαν. ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν αὐτούς. ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων λαθόντες τοὺς φύλακας ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων. ἅμα δὲ καὶ διέχοντες πολὺ ᾖσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα, αἴσθησιν παρέχοι. ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἐρῆμοι εἰσί. πρῶτον μὲν οἱ τὰς κλίμακας προσφέροντες προσέθεσαν. ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίοις καὶ θώραξιν ἀνέβαινον· ὧν ἡγεῖτο ἀμμέας ὁ κοροίβου καὶ πρῶτος ἀνέβη. μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἓξ ἐφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον. ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν. οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν· καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς πολεμίοις εἶεν. ὡς δὲ ἄνω πλείους ἐγένοντο, ᾔσθοντο οἱ ἐκ τῶν πύργων φύλακες. κατέβαλε γάρ τις τῶν πλαταιέων ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμίδα. ἣ πεσοῦσα δοῦπον ἐποίησεν. καὶ αὐτίκα βοὴ ἦν. τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν. οὐ γὰρ ᾔδει ὅ,τι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς καὶ χειμῶνος ὄντος. καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν πλαταιέων ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μέ-

νοντες· βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς·
ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον· καὶ οἱ τριακόσιοι αὐ-
τῶν οἷς ἐτέτακτο παραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξωθεν τοῦ
τείχους πρὸς τὴν βοήν· φρυκτοί τε ἤροντο πρὸς τὰς θήβας
πολέμιοι· παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως πλαταιῆς·
ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους·
ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ
καὶ μὴ βοηθοῖεν· ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι ἢ τὸ
ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν· καὶ τοῦ ἀσ-
φαλοῦς ἀντιλάβοιντο· οἱ δ' ὑπερβαίνοντες τῶν πλαταιέων
ἐν τούτῳ ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν, τάς τε διόδους τῶν
πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐτῶν ἐπι-
βοηθεῖν· καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύρ-
γοις καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν, ἀπὸ τῶν
πύργων τοὺς ἐπιβοηθοῦντας, καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον.
βάλλοντες· οἱ δ' ἐν τούτῳ οἱ πλείους πολλὰς προσθέντες κλίμα-
κας ἅμα καὶ τὰς ἐπάλξεις ἀπώσαντες, διὰ τοῦ μεταπυργί-
ου ὑπερέβαινον· ὁ δὲ διακομιζόμενος ἀεὶ ἵστατο ἐπὶ τοῦ χεί-
λους τῆς τάφρου· καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον εἴ τις
παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως·
ἐπεὶ δὲ πάντες διεπεραιῶντο οἱ ἀπὸ τῶν πύργων, χαλεπῶς
οἱ τελευταῖοι καταβαίνοντες, ἐχώρουν ἐπὶ τὴν τάφρον· καὶ
ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο λαμπάδας ἔχον-
τες· οἱ μὲν οὖν πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκό-
τους, ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου· καὶ ἐτόξευόν τε καὶ ἐσ-
ηκόντιζον ἐς τὰ γυμνά· αὐτοὶ δὲ ἐν τῷ ἀφανεῖ ὄντες, ἧσσον
διὰ τὰς λαμπάδας καθεωρῶντο· ὥστε φθάνουσι τῶν πλα-
ταιέων καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον· χαλεπῶς δὲ
καὶ βιαίως· κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ

ὥστε διελθεῖν· ἀλλ' οἷος ἀπηλιώτου ἢ βορέου ὑδατώδης μᾶλλον
καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονειφομένη, πολὺ τὸ ὕδωρ ἐν αὐτῇ
ἐποίησε· ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν· ἐγένετο δὲ καὶ
ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος. ὁρ-
μήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ πλαταιῆς ἐχώρουν ἀθρόοι τὴν
ἐς θήβας φέρουσαν ὁδόν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ ἀνδροκρά-
τους ἡρῷον· νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι
τραπέσθαι τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς πελο-
ποννησίους, τὴν πρὸς κιθαιρῶνα καὶ δρυὸς κεφαλὰς τὴν ἐπ'
ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας· καὶ ἐπὶ μὲν ἓξ
ἢ ἑπτὰ σταδίους οἱ πλαταιῆς τὴν ἐπὶ τῶν θηβῶν ἐχώρησαν· ἔπειθ'
ὑποστρέψαντες ᾖσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν ἐς ἐρύ-
θρας καὶ ὑσιάς· καὶ λαβόμενοι τῶν ὀρῶν, διαφεύγουσιν ἐς
τὰς ἀθήνας, ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων·
εἰσὶ γὰρ τινὲς αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν πρὶν ὑπερβαί-
νειν· εἷς δὲ ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη· οἱ μὲν οὖν πε-
λοποννήσιοι κατὰ χώραν ἐγένοντο τῆς βοηθείας παυσάμενοι· οἱ
δὲ ἐκ τῆς πόλεως πλαταιῆς τῶν μὲν γεγενημένων οὐδὲν εἰδότες,
τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων ὡς οὐδεὶς
περίεστι, κήρυκα ἐκπέμψαντες ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπέν-
δοντο ἀναίρεσιν τοῖς νεκροῖς· μαθόντες δὲ τὸ ἀληθὲς ἐπαύσαντο·
οἱ μὲν δὴ τῶν πλαταιέων ἄνδρες οὕτως ὑπερβάντες διεσώθησαν·
ἐκ δὲ τῆς λακεδαίμονος τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος ἐκπέμ-
πεται σάλαιθος ὁ λακεδαιμόνιος ἐς μυτιλήνην τριήρει· καὶ πλεύ-
σας ἐς πύρραν καὶ ἐξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινά ᾗ
ὑπερβατὸν ἦν τὸ περιτείχισμα, διαλαθὼν ἐσέρχεται ἐς τὴν
μυτιλήνην· καὶ ἔλεγε τοῖς προέδροις ὅτι ἐσβολή τε ἅμα
ἐς τὴν ἀττικὴν ἔσται καὶ αἱ τεσσαράκοντα νῆες παρέσονται
ἃς ἔδει βοηθῆσαι αὐτοῖς· προαποπεμφθῆναι δὲ αὐτὸς τούτ-

ἅμα καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος· καὶ οἱ μὲν μυτιληναῖοι
ἐθάρσουν τε· καὶ πρὸς τοὺς ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην ὥσ-
τε ξυμβαίνειν· ὅ τε χειμὼν ἐτελεύτα οὗτος· καὶ τέταρτον ἔτος
τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν θουκυδίδης ξυνέγραψεν· τοῦ δὲ
ἐπιγιγνομένου θέρους οἱ πελοποννήσιοι ἐπειδὴ τὰς ἐς τὴν μυ-
τιλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν ἄρχοντα ἀλ-
κίδαν ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες αὐτοὶ ἐς τὴν ἀτ-
τικὴν καὶ οἱ ξύμμαχοι ἐσέβαλον ὅπως οἱ ἀθηναῖοι ἀμφο-
τέρωθεν θορυβούμενοι, ἧσσον ταῖς ναυσὶν ἐς τὴν μυτιλήνην κα-
ταπλεούσαις ἐπιβοηθήσωσιν· ἡγεῖτο δὲ τῆς ἐσβολῆς ταύτης
κλεομένης· ὑπὲρ παυσανίου τοῦ πλειστοάνακτος υἱέος βασι-
λέως ὄντος ἔτι καὶ νεωτέρου ἔτι· πατρὸς δὲ ἀδελφὸς ὤν· ἐδῄω-
σαν δὲ τῆς ἀττικῆς τά τε πρότερον τετμημένα, καὶ εἴ τι ἐβε-
βλαστήκει· καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς παρελέλειπτο· καὶ
ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο τοῖς ἀθηναίοις μετὰ τὴν δευ-
τέραν· ἐπιμένοντες γὰρ αἰεὶ ἀπὸ τῆς λέσβου τι πεύσεσθαι τῶν
νεῶν ἔργον ὡς ἤδη πεπεραιωμένων, ἐπεξῆλθον τὰ πολλὰ
τέμνοντες· ὡς δ᾽ οὐδὲν ἀπέβαινεν αὐτοῖς ὧν προσεδέχοντο,
καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πό-
λεις· οἱ δὲ μυτιληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ ἧκον
ἀπὸ τῆς πελοποννήσου· ἀλλὰ ἐνεχρόνιζον καὶ ὁ σῖτος ἐπελελοίπει,
ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς ἀθηναίους διὰ τάδε·
ὁ σάλαιθος καὶ αὐτὸς οὐ προσδεχόμενος ἔτι τὰς ναῦς, ὁπλίζει
τὸν δῆμον πρότερον ψιλὸν ὄντα, ὡς ἐπεξιὼν τοῖς ἀθηναίοις.
οἱ δὲ, ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν ἀρχόντων
κατὰ ξυλλόγους τε γιγνόμενοι, ἢ τὸν σῖτον ἐκέλευον τοὺς δυνατοὺς
φέρειν ἐς τὸ φανερὸν, καὶ διανέμειν ἅπασιν, ἢ αὐτοὶ ξυγ-
χωρήσαντες πρὸς ἀθηναίους ἔφασαν παραδώσειν τὴν πόλιν·
γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν οὔτε κωλύειν δυνατοὶ ὄντες, εἰ

ἀπομονωθήσονται τῆς ξυμβάσεως κινδυνεύσοντες, ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε πάχητα καὶ τὸ στρατόπεδον, ὥστε ἀθηναίοις μὲν ἐξεῖναι βουλεῦσαι περὶ μυτιληναίων, ὁποῖον ἄν τι βούλωνται· καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς· πρεσβείαν δὲ ἀποστέλλειν ἐς τὰς ἀθήνας μυτιληναίους περὶ ἑαυτῶν· ἐν ὅσῳ δ' ἂν ἔλθωσι πάλιν, πάχητα μήτε δῆσαι μυτιληναίων μηδένα, μήτε ἀνδραποδίσαι μήτε ἀποκτεῖναι. ἡ μὲν ξύμβασις αὕτη ἐγένετο. οἱ δὲ πράξαντες πρὸς τοὺς λακεδαιμονίους μάλιστα τῶν μυτιληναίων, περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι· πάχης δ' ἀναστήσας αὐτοὺς ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς τένεδον μέχρις οὗ τοῖς ἀθηναίοις τι δόξοι. πέμψας δὲ καὶ ἐς τὴν ἄντισσαν τριήρεις προσεκτήσατο· καὶ τἆλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ᾗ αὐτῷ ἐδόκει. οἱ δ' ἐν ταῖς τεσσαράκοντα ναυσὶ πελοποννήσιοι, οὓς ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες περί τε αὐτὴν τὴν πελοπόννησον ἐνδιέτριψαν, καὶ κατὰ τὸν ἄλλον πλοῦν σχολαῖοι κομισθέντες, τοὺς μὲν ἐκ τῆς πόλεως ἀθηναίους λανθάνουσι. πρὶν δὴ τῇ δήλῳ ἔσχον, προσμίξαντες δ' ἀπ' αὐτῆς τῇ ἰκάρῳ καὶ μυκόνῳ, πυνθάνονται πρῶτον ὅτι ἡ μυτιλήνη ἑάλωκε. βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι, κατέπλευσαν ἐς ἔμβατον τῆς ἐρυθραίας· ἡμέραι δὲ ἦσαν μάλιστα τῇ μυτιλήνῃ ἑαλωκυίᾳ ἑπτά, ὅτε ἐς τὸ ἔμβατον κατέπλευσαν. πυθόμενοι δὲ τὸ σαφές, ἐβουλεύοντο ἐκ τῶν παρόντων· καὶ ἔλεξεν αὐτοῖς τευτίαπλος ἀνὴρ ἠλεῖος τάδε.

Τευτίαπλος — Δημηγορία

Ἀλκίδα καὶ πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ μυτιλήνην, πρὶν ἐκπύστους γενέσθαι ὥσπερ ἔχομεν. κατὰ γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων, πολὺ τὸ ἀφύλακτον εὑρήσομεν. κατὰ μὲν θάλασσαν καὶ πάνυ, ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα

σφίσι πολέμιον, καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα·
εἰκὸς δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον ὡς κεκρατη-
κότων διεσπάρθαι· εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτός,
ἐλπίζω μετὰ τῶν ἔνδον, εἴ τις ἄρα ἡμῖν ἐστὶν ὑπόλοιπος εὔνους,
καταληφθῆναι ἂν τὰ πράγματα· καὶ μὴ ἀποκνήσωμεν τὸν
κίνδυνον· νομίσαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου
ἢ τὸ τοιοῦτον· ὃ εἴ τις στρατηγὸς ἔν τε αὑτῷ φυλάσσοιτο, καὶ τοῖς
πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο: ὁ μὲν το-
σαῦτα εἰπὼν οὐκ ἔπειθε τὸν ἀλκίδαν· ἄλλοι δέ τινες τῶν ἀπ'
ἰωνίας φυγάδων, καὶ οἱ λέσβιοι ξυμπλέοντες παρῄνουν· ἐ-
πειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται, τῶν ἐν ἰωνίᾳ πόλεων κα-
ταλαβεῖν τινὰ, ἢ κύμην τὴν αἰολίδα· ὅπως ἐκ πόλεως ὁρ-
μώμενοι, τὴν ἰωνίαν ἀποστήσωσιν· ἐλπίδα δ' εἶναι· οὐδενὶ
γὰρ ἀκουσίως ἀφῖχθαι· καὶ τὴν πρόσοδον ταύτην μεγίστην οὖσαν
ἀθηναίων ἢν ὑφέλωσι καὶ ἅμα ἢν ἐφορμῶσιν αὐτοῖς, δαπά-
νη σφίσι γίγνηται· πείσειν τε οἴεσθαι καὶ πισσούθνην ὥστε
ξυμπολεμεῖν· ὁ δὲ, οὐδὲ ταῦτα ἐνεδέχετο· ἀλλὰ τὸ πλεῖστον
τῆς γνώμης εἶχεν, ἐπειδὴ τῆς μυτιλήνης ὑστερήκει, ὅτι τά-
χιστα τῇ πελοποννήσῳ πάλιν προσμίξαι· ἄρας δὲ ἐκ τοῦ ἐμ-
βάτου, παρέπλει· καὶ προσσχὼν μυοννήσῳ τῇ τηίων, τοὺς αἰχ-
μαλώτους οὓς κατὰ πλοῦν εἰλήφει, ἀπέσφαξε τοὺς πολλούς·
καὶ ἐς τὴν ἔφεσον καθορμισαμένου αὐτοῦ, σαμίων τῶν ἐξ
ἀναίων ἀφικόμενοι πρέσβεις, ἔλεγον οὐ καλῶς τὴν ἑλλά-
δα ἐλευθεροῦν αὐτόν, εἰ ἄνδρας διέφθειρεν, οὔτε χεῖρας ἀν-
ταιρομένους οὔτε πολεμίους, ἀθηναίων δὲ ὑπὸ ἀνάγκης ξυμ-
μάχους· εἴ τε μὴ παύσοιτο, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φι-
λίαν προσάξεσθαι· πολὺ δὲ πλείους τῶν φίλων πολεμίους
ἕξειν· καὶ ὁ μὲν, ἐπείσθη τε καὶ χίων ἄνδρας ὅσους εἶχεν
ἔτι ἀφῆκε καὶ τῶν ἄλλων τινάς· ὁρῶντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι

οὐκ ἔφυγον· ἀλλὰ προσεχώρουν μᾶλλον ὡς Ἀττικαῖς· καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον, μή ποτε Ἀθηναίων τῆς θαλάσσης κρατούντων, ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν· ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος· καὶ φυγὴν ἐποιεῖτο· ὤφθη γὰρ ἀπὸ τῆς Σαλαμινίας καὶ Παράλου ἔτι περὶ Κλάρον ὁρμῶν· αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι· καὶ δεδιὼς τὴν δίωξιν, ἔπλει διὰ τοῦ πελάγους, ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ· τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις, ἦλθε μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία· ἀφικνεῖτο δὲ καὶ πανταχόθεν· ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας, μέγα τὸ δέος ἐγένετο, μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο μένειν, πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις· αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ Κλάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία, ἔφρασαν· ὁ δέ, ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Πάτμου τῆς νήσου ἐπεδίωξεν· ὡς δὲ οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει· κέρδος δὲ ἐνόμισεν ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρατόπεδόν τε ποιεῖσθαι, καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν· παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων· οὗ κατῴκηντο Κολοφώνιοι τῆς ἄνω πόλεως ἑαλωκυίας ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίαν ἐπαχθέντων· ἑάλω δὲ μάλιστα αὕτη ὅτε ἡ δευτέρα Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο· ἐν οὖν τῷ Νοτίῳ οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι, αὖθις στασιάσαντες· οἱ μέν, παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων καὶ τῶν βαρβάρων ἐπαγόμενοι, ἐν διατειχίσματι εἶχον· καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ μηδίσαντες, ξυνελθόντες ἐπολίτευον· οἱ δὲ ὑπεξελθόντες τούτους καὶ ὄντες φυγάδες, τὸν Πάχητα ἐπα

γονται· ὁ δὲ προσκαλεσάμενος ἐς λόγους ἱππίαν τὸν ἐν τῷ διατει-
χίσματι ἀρκάδων ἄρχοντα, ὥστε ἢν μηδὲν ἀρέσκον λέγῃ, πάλιν
αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ ὑγιᾶ· ὁ δὲ, ἐξῆλθε παρ'
αὐτόν· ὁ δὲ ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν· αὐτὸς δὲ
προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως, καὶ οὐ προσδεχομένων
αἱρεῖ τούς τε ἀρκάδας, καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφ-
θείρει· καὶ τὸν ἱππίαν ὕστερον ἐσαγαγὼν ὥσπερ ἐσπείσατο, ἐ-
πειδὴ ἔνδον ἦν, ξυλλαμβάνει καὶ κατατοξεύει· κολοφωνίοις δὲ
νότιον παραδίδωσι· πλὴν τῶν μηδισάντων· καὶ ὕστερον ἀθηναῖοι
οἰκιστὰς πέμψαντες, κατὰ τοὺς ἑαυτῶν νόμους, κατῴκισαν τὸ
νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴ πού τις ἦν κολο-
φωνίων· ὁ δὲ πάχης ἀφικόμενος ἐς τὴν μυτιλήνην, τήν τε πύρ-
ραν καὶ ἔρεσον παρεστήσατο· καὶ σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν
λακεδαιμόνιον κεκρυμμένον, ἀποπέμπει ἐς τὰς ἀθήνας·
καὶ τοὺς ἐκ τῆς τενέδου μυτιληναίων ἄνδρας ἅμα οὓς κατέθετο·
καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως· ἀπο-
πέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον· τοῖς δὲ λοιποῖς ὑπομένων
καθίστατο τὰ περὶ τὴν μυτιλήνην καὶ τὴν ἄλλην λέσβον ᾗ αὐτῷ
ἐδόκει· ἀφικομένων δὲ τῶν ἀνδρῶν καὶ τοῦ σαλαίθου ἐς τὰς
ἀθήνας, οἱ ἀθηναῖοι τὸν μὲν σάλαιθον εὐθὺς ἀπέκτειναν· ἔστιν
ἃ παρεχόμενον τά τ' ἄλλα καὶ ἀπὸ πλαταιῶν· ἔτι γὰρ ἐπολιορ-
κοῦντο, ἀπάξειν πελοποννησίους· περὶ δὲ τῶν ἀνδρῶν γνώ-
μας ἐποιοῦντο· καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς, οὐ τοὺς παρόντας
μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας μυτιληναίους ὅσοι
ἡβῶσι· παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦν-
τες τήν τε ἄλλην ἀπόστασιν, ὅτι οὐκ ἀρχόμενοι ὥσπερ οἱ ἄλλοι
ἐποιήσαντο· καὶ προσξυνεβάλλοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς
αἱ πελοποννησίων νῆες, ἐς ἰωνίαν ἐκείνοις βοηθοὶ τολμή-
σασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδόκουν τὴν ἀπόστασιν

ποιήσασθαι. πέμπουσιν οὖν τριήρη ὡς πάχητα ἄγγελον τῶν δε-
δογμένων κατὰ τάχος κελεύοντες διαχρήσασθαι μυτιληναίους.
καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν καὶ ἀναλογισμὸς, ὠμὸν
τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι πόλιν ὅλην διαφθεῖραι
μᾶλλον ἢ οὐ τοὺς αἰτίους. ὡς δ' ᾔσθοντο τοῦτο τῶν μυτιληναίων
οἱ πρέσβεις οἱ παρόντες, καὶ οἱ αὐτοῖς τῶν ἀθηναίων ξυμ-
πράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας
προθεῖναι. καὶ ἔπεισαν ῥᾷον. διότι καὶ ἐκείνοις ἔνδηλον
ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν, αὖθίς τινας σφίσιν
ἀποδοῦναι βουλεύσασθαι. καταστάσης δ' εὐθὺς ἐκκλη-
σίας, ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο. καὶ κλέων ὁ κλε-
αινέτου, ὅσπερ καὶ τὴν προτέραν ἐνενικήκει ὥστε ἀποκτεῖναι,
ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν. τῷ τε δήμῳ παρὰ πολὺ
ἐν τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις ἔλεγε τοιάδε.

Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν, ὅτι
ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ νῦν ὑμετέρᾳ
μυτιληναίων μεταμελείᾳ. διὰ γὰρ τὸ καθ' ἡμέραν ἀδεὲς καὶ
ἀνεπιβούλευτον πρὸς ἀλλήλους, καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ
ἔχετε. καὶ ὅτι ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε ἢ
οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς. καὶ οὐκ
ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι. οὐ σκοποῦντες
ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν καὶ πρὸς ἐπιβουλεύοντας
αὐτοὺς καὶ ἄκοντας ἀρχομένους. οἳ οὐκ ἐξ ὧν ἂν χαρίζησθε βλα-
πτόμενοι αὐτοὶ ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχύι μᾶλλον
ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. πάντων δὲ δεινότατον
εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι. μηδὲ
γνωσόμεθα ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις
κρείσσων ἐστὶν ἢ καλῶς ἔχουσιν ἀκύροις. ἀμαθία τε μετὰ
σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας.

οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ
πλέον, ἄμεινον οἰκοῦσι τὰς πόλεις. οἱ μὲν γὰρ τῶν τε νόμων
σοφώτεροι βούλονται φαίνεσθαι, τῶν τε ἀεὶ λεγομένων ἐς
τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώ
σαντες τὴν γνώμην, καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι
τὰς πόλεις. οἱ δ' ἀπιστοῦντες τῇ ἑαυτῶν ξυνέσει, ἀμαθέστεροι
μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι. ἀδυνατώτεροι δὲ τοῦ κα
λῶς εἰπόντος μέμψασθαι λόγον. κριταὶ δὲ ὄντες ἀπὸ τοῦ
ἴσου μᾶλλον ἢ ἀγωνισταί, ὀρθοῦνται τὰ πλείω. ὡς οὖν χρὴ
καὶ ἡμᾶς ποιοῦντας μὴ δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐ
παιρομένους, παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν.
ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ. καὶ θαυμάζω μὲν τῶν προ
θέντων αὖθις περὶ μυτιληναίων λέγειν. καὶ χρόνου διατριβὴν
ἐμποιησάντων. ὅ ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλλον. ὁ γὰρ
παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται. ἀμύ
νασθαι δὲ τῷ παθεῖν ὅτι ἐγγυτάτω κείμενον ἀντίπαλον ὂν μά
λιστα τὴν τιμωρίαν ἀναλαμβάνει. θαυμάζω δὲ καὶ ὅστις ἔ
σται ὁ ἀντερῶν καὶ ἀξιώσων, τὰς μὲν μυτιληναίων ἀδι
κίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δὲ ἡμετέρας ξυμφορὰς
τοῖς ξυμμάχοις βλάβας καθισταμένας. καὶ δῆλον ὅτι
ἢ τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν ἀνταποφῆναι ὡς οὐκ
ἔγνωσται, ἀγωνίσαιτ' ἄν. ἢ κέρδει ἐπαιρόμενος, τὸ εὐπρε
πὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται. ἡ δὲ πόλις
ἐκ τῶν τοιῶνδε ἀγώνων, τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐ
τὴ δὲ τοὺς κινδύνους ἀναφέρει. αἴτιοι δ' ὑμεῖς κακῶς ἀ
γωνοθετοῦντες. οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνε
σθαι. ἀκροαταὶ δὲ τῶν ἔργων. τὰ μὲν μέλλοντα ἔργα ἀπὸ
τῶν εὖ εἰπόντων σκοποῦντες ὡς δυνατὰ γίγνεσθαι. τὰ δὲ
πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν πιστότερον ὄψει λαβόν θεαθέν

ἢ τὸ ἀκουσθὲν ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· καὶ μετὰ
καινότητος μὲν λόγου, ἀπατᾶσθαι ἄριστοι· μετὰ δεδοκιμασ-
μένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι ὄντες τῶν ἀεὶ ἀτό-
πων· ὑπερόπται δὲ τῶν εἰωθότων· καὶ μάλιστα μὲν αὐ-
τὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι· εἰ δὲ μή, ἀνταγω-
νιζόμενοι τοῖς τοιαῦτα λέγουσι· μὴ ὕστεροι ἀκολουθῆσαι δο-
κεῖν τῇ γνώμῃ· ὀξέως δέ τι λέγοντες προεπαινέσαι· καὶ προ-
αισθέσθαι τε πρόθυμοι εἶναι τὰ λεγόμενα· καὶ προνοῆσαι
βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· ζητοῦντές τε ἄλλο τι ὡς
εἰπεῖν ἢ ἐν οἷς ζῶμεν· φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόν-
των ἱκανῶς· ἁπλῶς τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι· καὶ σοφι-
στῶν θεαταῖς ἐοικότες, καθημένοις μᾶλλον ἢ περὶ πόλεως
βουλευομένοις· ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς, ἀ-
ἡττῶνται ποφαίνω Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικη-
κότας ὑμᾶς· ἐγὼ γὰρ οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑ-
μετέραν ἀρχήν, ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες
ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ
τειχῶν, καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους
πολεμίους· ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφρα-
κτοι ἦσαν πρὸς αὐτούς· αὐτόνομοί τε οἰκοῦντες· καὶ τιμώ-
μενοι ἐς τὰ πρῶτα ὑφ' ἡμῶν, τοιαῦτα εἰργάσαντο, τί ἄλλο
οὗτοι ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστη-
σαν· ἀπόστασις γε τῶν βίαιόν τι πασχόντων ἐστίν· ἐζήτησάν
τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι· καίτοι
δεινότερόν ἐστιν ἢ καθ' αὑτοὺς δύναμιν κτώμενοι ἀντεπολέμη-
σαν· παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐ-
γένοντο· ὅσοι ἀποστάντες ἤδη ὑφ' ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ πα-
ροῦσα εὐδαιμονία παρέσχεν ὄκνον· μὴ ἐλθεῖν ἐς τὰ δεινά·
γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς, καὶ ἐλπίσαντες μα-

πρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως, πό-
λεμον ἤραντο. ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι·
ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικού-
μενοι· εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα, καὶ δι' ἐλαχίστου
ἀπροσδόκητος εὐπραγία ἔλθοι, ἐς ὕβριν τρέπειν· τὰ δὲ
πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφαλέστερα ἢ παρὰ
δόξαν, καὶ κακοπραγίαν ὡς εἰπεῖν ῥᾷον ἀπωθοῦνται, ἢ εὐδαι-
μονίαν διασῴζονται· χρῆν δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν
διαφέροντας τῶν ἄλλων τετιμῆσθαι ὑφ' ἡμῶν· καὶ οὐκ ἂν ἐς
τόδε ἐξύβρισαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος. τὸ μὲν θερα-
πεῦον μὴ ὑπερφρονεῖν· τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. κολα-
σθέντων δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας· καὶ μὴ τοῖς μὲν ὀλί-
γοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε· πάντες γὰρ
ὑμῖν γε ὁμοίως ἐπέθεντο· οἷς γε ἐξῆν ὡς ἡμᾶς τραπομένοις
νῦν πάλιν ἐν τῇ πόλει εἶναι· ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυ-
νον ἡγησάμενοι βεβαιότερον ξυναπέστησαν· τῶν τε ξυμμά-
χων σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπό τε τῶν πολεμίων·
καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα
οἴεσθε ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι· ὅταν ἢ κα-
τορθώσαντι ἐλευθέρωσις ᾖ· ἢ σφαλέντι μηδὲν παθεῖν ἀ-
νήκεστον· ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκινδυνεύσεται
τά τε χρήματα καὶ αἱ ψυχαί· καὶ τυχόντες μὲν πόλιν ἐφθαρ-
μένην παραλαβόντες, τῆς ἔπειτα προσόδου δι' ἣν ἰσχύομεν,
τὸ λοιπὸν στερήσεσθε· σφαλέντες δὲ πολεμίους πρὸς τοῖς
ὑπάρχουσιν ἕξομεν· καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ
ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν·
οὔκουν δεῖ προθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε χρήμασιν
ὠνητήν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως λήψονται· ἄκοντες
μὲν γὰρ οὐκ ἔβλαψαν· εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον

δέ ἐστι τὸ ἀκούσιον· ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν δια-
μάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα. μηδὲ
τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων
καὶ ἐπιεικείᾳ ἁμαρτάνειν· ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δί-
καιος ἀντιδίδοσθαι· καὶ μὴ πρὸς τοὺς οὔτε αὐτοὺς ἀντοικτιοῦντας,
ἐξ ἀνάγκης τε αἰεὶ πολεμίους καθεστῶτας· οἵ τε τέρποντες ῥή-
τορες ἕξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα· καὶ μὴ ἐν ᾧ ἡ
μὲν πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται· αὐτοὶ δὲ
ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται· καὶ ἡ ἐπιείκεια πρὸς
τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι, μᾶλλον
δίδοται, ἢ πρὸς τοὺς ὁμοίους καὶ οὐδὲν ἧσσον πολεμίους ὑ-
πολειπομένους· ἕν τε ξυνελὼν λέγω· πειθόμενοι μὲν ἐμοί,
τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα ἅμα
ποιήσετε· ἄλλως δὲ γνόντες, τοῖς μὲν οὐ χαριεῖσθε· ὑμᾶς δ'
αὐτοὺς δικαιώσεσθε μᾶλλον· εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν,
ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε· εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως
ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκός τοι καὶ τούσδε ξυμφόρως
δεῖ κολάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς καὶ ἐκ τοῦ ἀκινδύνου
ἀνδραγαθίζεσθαι· τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι,
καὶ μὴ ἀναλγητότεροι τῶν ἐπιβουλευσάντων οἱ διαφεύ-
γοντες φανῆναι· ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρα-
τήσαντας ὑμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας. μάλι-
στα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες, ἐπεξέρχονται
καὶ διολλύναι, τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολοίπου
ἐχθροῦ· ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τι παθὼν, χαλεπώτερος διαφυ-
γὼν τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. μὴ οὖν προδόται γένησθε ὑμῶν
αὐτῶν· γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν, καὶ ὡς
πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀν-
ταπόδοτε· μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα· μηδὲ

ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. κολάσατε δὲ ἀξίως τούτους τε καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφίστηται, θανάτῳ ζημιωσόμενον· τόδε γὰρ ἢν γνῶσιν, ἧσσον τῶν πολεμίων ἀμελήσαντες, τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις. Τοιαῦτα μὲν ὁ Κλέων εἶπε· μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ τότε ἔλεγε τοιάδε· Δημηγορία Διοδότου

Οὔτε τοὺς προθέντας τὴν γνώμην αὖθις περὶ Μυτιληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ· νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν· ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι· τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης· τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν, ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει· ἀξύνετος μὲν εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι, καὶ μὴ ἐμφανοῦς φράσαι· διαφέρει δ' αὐτῷ εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι, εὖ μὲν εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι· εὖ δὲ διαβαλὼν ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους· χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προκατηγοροῦντες ἐπίδειξίν τινα· εἰ μὲν γὰρ ἀμαθίαν κατῃτιῶντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι, ἢ ἀδικώτερος ἀπεχώρει· ἀδικίας δ' ἐπιφερομένης, πείσας τε ὕποπτος γίγνεται· καὶ μὴ τυχὼν μετὰ ἀξυνεσίας καὶ ἄδικος· ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων· καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πεισθείη ἁμαρτάνειν· χρὴ δὲ τὸν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι

τὸ ἄμεινον λέγοντα. τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ
ὅτι βουλεύοντι μὴ προστιθέναι τιμήν· ἀλλὰ μὴ δ' ἐλασσοῦν τῆς
ὑπαρχούσης· καὶ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως ζημι-
οῦν, ἀλλὰ μὴ δ' ἀτιμάζειν. οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστ' ἂν
ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι παρὰ γνώμην τι καὶ πρὸς
χάριν λέγοι, ὅ τε μὴ ἐπιτυχὼν, ὀρέγοιτο τῷ αὐτῷ χαριζό-
μενός τι καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος. ὧν ἡμεῖς
τἀναντία δρῶμεν. καὶ προσέτι ἤν τις καὶ ὑποπτεύηται κερ-
δους μὲν ἕνεκα, τὰ βέλτιστα δὲ ὅμως λέγειν φθονήσαντες
τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν, τὴν φανερὰν ὠ-
φελίαν τῆς πόλεως ἀφαιρούμεθα. καθέστηκε δὲ τἀγαθὰ
ἀπὸ τοῦ εὐθέος λεγόμενα, μὴ δὲ ἀνυποπτότερα εἶναι τῶν
κακῶν. ὥστε δεῖν τόν τε τὰ δεινότατα βουλόμενον πεῖ-
σαι. ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος. καὶ τὸν τὰ ἀμείνω
λέγοντα ψευσάμενον πιστὸν γενέσθαι. μόνην τε πόλιν διὰ
τὰς περινοίας εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς, μὴ ἐξαπατή-
σαντα ἀδύνατον. ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν, ἀνθυ-
ποπτεύεται ἀφανῶς πῃ πλέον ἕξειν. χρὴ δὲ πρὸς τὰ μέγιστα
καὶ ἐν τῷ τοιῷδε ἀξιοῦν τι ἡμᾶς περαιτέρω προνοοῦντας
λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων, ἄλλως τε καὶ ὑπεύ-
θυνον τὴν παραίνεσιν ἔχοντας, πρὸς ἀνεύθυνον τὴν ὑμετέ-
ραν ἀκρόασιν. εἰ γὰρ ὅ τε πείσας καὶ ὁ ἐπισπόμενος ὁμοί-
ως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε. νῦν δὲ πρὸς
ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες. τὴν τοῦ πείσαν-
τος μίαν γνώμην ζημιοῦτε. καὶ οὐ τὰς ὑμετέρας αὐτῶν,
εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον. ἐγὼ δὲ παρῆλθον οὔτε
ἀντερῶν περὶ Μυτιληναίων, οὔτε κατηγορήσων. οὐ γὰρ
περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν εἰ σωφρονοῦμεν. ἀλλὰ
περὶ τῆς ἡμετέρας εὐβουλίας. ἤν τε γὰρ ἀποφαίνω πάνυ ἀ-

δικοῦντας αὐτοὺς. οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω εἰ μὴ
ξυμφέρον· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, εἰ τῇ πόλει μὴ
ἀγαθὸν φαίνοιτο· νομίζω δὲ περὶ τοῦ μέλλοντος ἡμᾶς μᾶλλον
βουλεύεσθαι ἢ τοῦ παρόντος· καὶ τοῦτο ὃ μάλιστα κλέων ἰ-
σχυρίζεται ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι, πρὸς τὸ ἴσον ἀ- ἧσσον
φίστασθαι, θάνατον τὴν ζημίαν προθεῖσι· καὶ αὐτὸς περὶ τοῦ
ἐς τὸ μέλλον καλῶς ἔχοντος, ἀντισχυριζόμενος τἀναντία γι-
γνώσκω· καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου,
τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. δικαιότερος γὰρ ὢν αὐτοῦ
ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς μιτυληναίους, τάχ'
ἂν ἐπισπάσαιτο· ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτοὺς ὥστε
τῶν δικαίων δεῖν· ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν ὅπως χρη-
σίμως ἕξουσιν· ἐν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημίαι
πρόκεινται· καὶ οὐκ ἴσων τῷδε ἀλλ' ἐλαττόνων ἁμαρτημάτων·
ὅμως δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι· καὶ οὐδείς
πω καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι
ἦλθεν ἐς τὸ δεινόν· πόλις τε ἀφισταμένη τίς πω ἥσσω τῇ δο-
κήσει ἔχουσα τὴν παρασκευὴν ἢ οἰκείαν ἢ ἄλλων ξυμμαχίᾳ,
τούτῳ ἐπεχείρησε· πεφύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημο-
σίᾳ ἁμαρτάνειν· καὶ οὐκ ἔστι νόμος ὅστις ἀπείρξει τούτου· ἐπεὶ
διεξεληλύθασί γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι, προστιθέν-
τες εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων· καὶ εἰκὸς τὸ
πάλαι τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι
αὐτάς· παραβαινομένων δὲ τῷ χρόνῳ ἐς τὸν θάνατον, αἱ
πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως παραβαίνεται· ἢ τοίνυν
δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν, ἢ τόδε γε οὐδὲν
ἐπίσχει· ἀλλ' ἡ μὲν πενία, ἀνάγκῃ τὴν τόλμαν παρέχουσα· ἡ
δ' ἐξουσία ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι· αἱ δ' ἄλλαι
ξυντυχίαι τῇ ὀργῇ τῶν ἀνθρώπων ὡς ἑκάστη τις κατέχεται ὑπ' ἀνηκέ

τινὸς κρείττονος ἐξάγουσιν ἐς τοὺς κινδύνους· ἥ τε ἐλπὶς καὶ ὁ
ἔρως ἐπὶ παντί, ὁ μὲν ἡγούμενος· ἡ δ' ἐφεπομένη· καὶ ὁ μὲν τὴν
ἐπιβουλὴν ἐκφροντίζων· ἡ δὲ τὴν εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα
βλάπτουσι πλεῖστα· καὶ ὄντα ἀφανῆ κρείσσω ἐστὶ τῶν ὁρωμένων
δεινῶν· καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐ
παίρειν· ἀδοκήτως γὰρ ἔστιν ὅτε παρισταμένη καὶ ἐκ τῶν ὑπο
δεεστέρων κινδυνεύειν τινὰ προάγει· καὶ οὐχ ἧσσον τὰς πόλεις
ὅσῳ περὶ τῶν μεγίστων τε ἐλευθερίας ἢ ἄλλων ἀρχῆς· καὶ μετὰ
πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὑτὸν ἐδόξασεν· ἁπλῶς
τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται τῆς ἀνθρωπείας φύ
σεως ὁρμωμένης προθύμως τι πρᾶξαι, ἀποτροπήν τινα ἕξειν,
ἢ νόμων ἰσχύϊ ἢ ἄλλῳ τῳ δεινῷ· οὔκουν χρὴ οὔτε τοῦ θανάτου ζη
μίᾳ ὡς ἐχεγγύῳ πιστεύσαντας χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλ
πιστον καταστῆσαι τοῖς ἀποστᾶσιν, ὡς οὐκ ἔσται μεταγνῶναι· καὶ
ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι· σκέψασθε γὰρ ὅ
τι νῦν μὲν ἤν τις καὶ ἀποστᾶσα πόλις, γνῷ μὴ περιεσομένη, ἔλ
θοι ἂν ἐς ξύμβασιν δυνατὴ οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι·
καὶ τὸ λοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ τίνα οἴεσθε ἥντινα οὐκ
ἄμεινον ἢ νῦν παρασκευάσεσθαι, πολιορκίᾳ τε παραταθήσεσ
θαι ἐς τὸ ἔσχατον, εἰ τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ ξυμβῆ
ναι· ἡμῖν τε πῶς οὐ βλάβη δαπανᾶν καθημένοις διὰ τὸ ἀ
ξύμβατον· καὶ ἢν ἕλωμεν πόλιν ἐφθαρμένην παραλαβεῖν καὶ
τῆς προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι· ἰσχύομεν δὲ πρὸς
τοὺς πολεμίους τῷδε· ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλ
λον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι· ἢ ὁρᾶν
ὅπως ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες, ταῖς πό
λεσιν ἕξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι· καὶ
τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποι
εῖσθαι· ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας· οὗ νῦν τοὐναντίον

δρῶντες, ἥν τινα ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον· εἰκότως πρὸς
αὐτονομίαν ἀποστάντα χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι
τιμωρεῖσθαι. χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ ἀφισταμένους
σφόδρα κολάζειν· ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυλάσσειν
καὶ προκαταλαμβάνειν ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι.
κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν. ὑμεῖς
δὲ σκέψασθε ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε κλέωνι πειθό-
μενοι. νῦν μὲν γὰρ ὑμῖν ἐν πάσαις ταῖς πόλεσιν ὁ δῆμος εὔ-
νους ἐστί· καὶ οὐ ξυναφίσταται τοῖς ὀλίγοις· ἢ ἐὰν βιασθῇ, ὑπάρ-
χει τοῖς ἀποστήσασι πολέμιος εὐθύς· καὶ τῆς ἀντικαθισταμένης
πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες ἐς πόλεμον ἐπέρχεσθε·
εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τῶν μυτιληναίων, ὃς οὔτε μετέσχε
τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν ἑκὼν παρέδωκε
τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνον-
τες· ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται
μάλιστα· ἀφιστάντες γὰρ τὰς πόλεις, τὸν δῆμον εὐθὺς ξύμμα-
χον ἕξουσι, προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν, τοῖς τε ἀδι-
κοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή· δεῖ δὲ καὶ εἰ ἠδίκησαν μὴ
προσποιεῖσθαι ὅπως ὃ μόνον ἡμῖν ξύμμαχόν ἐστι μὴ πολέμιον
γένηται. καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθε-
ξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως οὓς μὴ
δεῖ διαφθεῖραι· καὶ τὸ κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον
τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν ἅμα γίγνεσθαι.
ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι· καὶ μήτε οἴκτῳ πλέον νεί-
μαντες μήτε ἐπιεικείᾳ· οἷς οὐδὲ ἐγὼ ἐῶ προσάγεσθαι· ἀπ' αὐ-
τῶν δὲ τῶν παραινουμένων, πείθεσθέ μοι μυτιληναίων οὓς μὲν
πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας κρῖναι καθ' ἡσυχίαν· τοὺς δ'
ἄλλους ἐᾶν οἰκεῖν· τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθά· καὶ τοῖς πο-
λεμίοις ἤδη φοβερά· ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἐναντί-

κρείσσων ἐστὶν ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών. τοιαῦτα δὲ ὁ διό-
δοτος εἶπε. ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων μάλιστα ἀντιπάλων
πρὸς ἀλλήλας, οἱ ἀθηναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης καὶ
ἐγένοντο ἐν τῇ χειροτονίᾳ ἀγχώμαλοι. ἐκράτησε δὲ ἡ τοῦ διοδότου.
καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδήν. ὅπως μὴ φθα-
σάσης τῆς δευτέρας, εὕρωσι διεφθαρμένην τὴν πόλιν. προεῖ-
χε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα. παρασκευασάντων δὲ τῶν μι-
τυληναίων πρέσβεων τῇ νηΐ, οἶνον καὶ ἄλφιτα καὶ μεγάλα ὑπο-
σχομένων εἰ φθάσειεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη, ὥστε
ἤσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα.
καὶ οἱ μέν, ὕπνον ᾑροῦντο κατὰ μέρος. οἱ δὲ ἤλαυνον. κατὰ τύ-
χην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος, καὶ τῆς μὲν προτέ-
ρας νεὼς οὐ σπουδῇ πλεούσης, ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύ-
της δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μέν, ἔφθασε τοσοῦτον ὅ-
σον πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα, καὶ μέλλειν δράσειν τὰ
δεδογμένα. ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται καὶ διεκώλυσε
μὴ διαφθαρῆναι. παρὰ τοσοῦτον μὲν ἡ μιτυλήνη ἦλθε κιν-
δύνου. τοὺς δ' ἄλλους ἄνδρας οὓς ὁ πάχης ἀπέπεμψεν ὡς αἰτιω-
τάτους ὄντας τῆς ἀποστάσεως, κλέωνος γνώμῃ διέφθειραν οἱ ἀ-
θηναῖοι. ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων. καὶ μιτυληναίων τεί-
χη καθεῖλον καὶ ναῦς παρέλαβον. ὕστερον δὲ φόρον μὲν οὐκ
ἔταξαν λεσβίοις. κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν τῆς μη-
θυμναίων, τρισχιλίους, τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς
ἐξεῖλον. ἐπὶ δὲ τοὺς ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λα-
χόντας ἀπέπεμψαν. οἷς ἀργύριον λέσβιοι ταξάμενοι τοῦ
κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν, αὐτοὶ εἰργάζοντο
τὴν γῆν. παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ ἀθη-
ναῖοι ὅσων μιτυληναῖοι ἐκράτουν. καὶ ὑπήκουον ὕστερον ἀ-
θηναίων. τὰ μὲν κατὰ λέσβον οὕτως ἐγένετο. ἐν δὲ τῷ αὐτῷ

θέρει μετὰ τὴν λέσβου ἅλωσιν. ἀθηναῖοι νικίου τοῦ νικηράτου στρα-
τηγοῦντος, ἐστράτευσαν ἐπὶ μινῴαν τὴν νῆσον· ἣ κεῖται πρὸ
μεγάρων· ἐχρῶντο δὲ αὐτῇ πύργον ἐνοικοδομήσαντες οἱ μεγα-
ρῆς φρουρίῳ· ἐβούλετο δὲ νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐ-
λάσσονος τοῖς ἀθηναίοις καὶ μὴ ἀπὸ τοῦ βουδόρου καὶ τῆς σαλα-
μῖνος εἶναι· τούς τε πελοποννησίους ὅπως μὴ ποιῶνται ἔκπλους
αὐτόθεν λανθάνοντες, τριήρων τε οἷον καὶ τὸ πρὶν γενόμενον
καὶ λῃστῶν ἐκπομπαῖς· τοῖς τε μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν.
ἑλὼν οὖν ἀπὸ τῆς νισαίας πρῶτον δύο πύργω προέχοντε μηχα-
ναῖς ἐκ θαλάσσης· καὶ τὸν ἔσπλουν ἐς τὸ μεταξὺ τῆς νήσου ἐλευ-
θερώσας, ἀπετείχιζε καὶ τὸ ἐκ τῆς ἠπείρου· ᾗ κατὰ γέφυραν διὰ
τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ, οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου·
ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ὀλίγαις ἡμέραις, ὕστερον καὶ ἐν τῇ
νήσῳ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν, ἀνεχώρησε τῷ στρατῷ.
ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου, καὶ οἱ πλαταιῆς
οὐκ ἔχοντες σῖτον οὐδὲ δυνάμενοι πολιορκεῖσθαι, ξυνέβησαν
τοῖς πελοποννησίοις τοιῷδε τρόπῳ· προσέβαλον αὐτῶν τῷ τείχει·
οἱ δὲ, οὐκ ἐδύναντο ἀμύνεσθαι· γνοὺς δὲ ὁ λακεδαιμόνιος ἄρ-
χων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· εἰρημέ-
νον γὰρ ἦν αὐτῷ ἐκ λακεδαίμονος ὅπως εἰ σπονδαὶ γίγνοιντο
ποτὲ πρὸς ἀθηναίους καὶ ξυγχωροῖεν ὅσα πολέμῳ χωρία ἔ-
χουσιν ἑκάτεροι ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ πλάταια,
ὡς αὐτῶν ἑκόντων προσχωρησάντων· προσπέμπει δὲ αὐτοῖς
κήρυκα λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες
τοῖς λακεδαιμονίοις καὶ δικασταῖς ἐκείνοις χρήσασθαι· τούς τε
ἀδίκους κολάζειν. παρὰ δίκην δὲ οὐδένα· τοσαῦτα μὲν ὁ κῆρυξ
εἶπεν. οἱ δὲ, ἦσαν γὰρ ἤδη ἐν τῷ ἀσθενεστάτῳ, παρέδοσαν τὴν πόλιν
καὶ τοὺς πλαταιέας ἔτρεφον οἱ λακεδαιμόνιοι ἡμέρας τινὰς ἐν
ὅσῳ οἱ ἐκ τῆς λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο.

ἐλθόντων δὲ αὐτῶν κατηγορεία μὲν οὐδεμία προσετέθη· ἠρώτων
δὲ αὐτοὺς ἐπικαλεσάμενοι τοσοῦτον μόνον, εἴ τι Λακεδαιμονί-
ους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ καθεστῶτι ἀγαθόν τι εἰρ-
γασμένοι εἰσίν· οἱ δὲ ἔλεγον αἰτησάμενοι μακρότερα εἰπεῖν· καὶ
προταξάμενοι σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου· καὶ
Λάκωνα τὸν Αἰειμνήστου, πρόξενον ὄντα Λακεδαιμονίων, καὶ
ἐπελθόντες ἔλεγον τοιάδε· δημηγορία Πλαταιέων

Τὴν μὲν παράδοσιν τῆς πόλεως ὦ Λακεδαιμόνιοι πιστεύσαντες
ὑμῖν ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰόμενοι ὑφέξειν· νο-
μιμωτέραν δέ τινα ἔσεσθαι καὶ ἐν δικασταῖς οὐκ ἂν ἄλλοις δε-
ξάμενοι ὥσπερ καὶ ἐσμέν, γενέσθαι ἢ ὑμῖν· ἡγούμενοι τὸ ἴσον
μάλιστ᾽ ἂν φέρεσθαι· νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα
ἡμαρτήκαμεν· τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι εἰκότως
ὑποπτεύομεν· καὶ ὑμᾶς μὴ οὐ κοινοὶ ἀποβῆτε τεκμαιρόμενοι,
προκατηγορίας τε ἡμῶν οὐ προγεγενημένης, ᾗ χρὴ ἀντειπεῖν,
ἀλλ᾽ αὐτοὶ λόγον ᾐτησάμεθα, τό τε ἐπερώτημα βραχὺ ὂν ἀποπλα-
ομεν· ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται· τὰ δὲ
ψευδῆ ἔλεγχον ἔχει· πανταχόθεν δὲ ἄποροι καθεστῶτες ἀνα-
γκαζόμεθα· καὶ ἀσφαλέστερον δοκεῖ εἶναι εἰπόντας τι κινδυ-
νεύειν· καὶ γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ᾽ ἔχουσιν αἰτίαν ἂν πα-
ράσχοι, ὡς εἰ ἐλέχθη, σωτήριος ἂν ἦν· χαλεπῶς δὲ ἔχει ἡμῖν
πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ· ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων
καὶ ἐπεσενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε, ὠφελούμεθ᾽
ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται· καὶ δέδιμεν οὐχὶ μὴ
προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἥσσους εἶναι τῶν ὑμετέρων
ἔγκλημα αὐτὸ ποιῆτε· ἀλλὰ μὴ ἄλλοις χάριν φέροντες, ἐπὶ
διεγνωσμένην κρίσιν καθιστώμεθα· παρεχόμενοι δὲ ὅμως
ἃ ἔχομεν δίκαια πρός τε τὰ Θηβαίων διάφορα καὶ ἐς ὑμᾶς
καὶ τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δεδρασμένων ὑπόμνησιν

ποιησόμεθα καὶ πείθειν πειρασόμεθα· φαμὲν γὰρ πρὸς τὸ ἐρώ-
τημα τὸ βραχύ, ὅτι λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ
πολέμῳ τῷδε ἀγαθόν τι πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους ἐ-
ρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς μὴ εὖ παθόντας, φίλους δὲ
νομίζοντας, αὐτοὺς ἁμαρτάνειν μᾶλλον τοὺς ἡμῖν ἐπιστρατεύ-
σαντας· τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ πρὸς τὸν μῆδον ἀγαθοὶ γεγενή-
μεθα· τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι· τῷ δὲ ξυνεπιθέ-
μενοι τότε ἐς ἐλευθερίαν τῆς ἑλλάδος, μόνοι βοιωτῶν· καὶ
γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ' ἀρτεμισίῳ· μάχῃ
τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ, παρεγενόμεθα ὑμῖν τε καὶ
παυσανίᾳ· εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπι-
κίνδυνον τοῖς ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν·
καὶ ὑμῖν ὦ λακεδαιμόνιοι ἰδίᾳ, ὅτεπερ δὴ μέγιστος φόβος
περιέστη τὴν σπάρτην, μετὰ τὸν σεισμόν, τῶν ἐς ἰθώμην εἱλώτ-
ων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς
ἐπικουρίαν· ὧν οὐκ εἰκὸς ἀμνημονεῖν· καὶ τὰ μὲν παλαιὰ
καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι· πολέμιοι δὲ ἐγενό-
μεθα ὕστερον· ὑμεῖς δὲ αἴτιοι· δεομένων γὰρ ξυμμαχίας, ὅτε
θηβαῖοι ἡμᾶς ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε· καὶ πρὸς ἀθη-
ναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν
ἀποικούντων· ἐν μέντοι τῷ πολέμῳ, οὐδὲν ἐκπρεπέστερον ὑπὸ
ἡμῶν οὔτε ἐπάθετε οὔτε ἐμελλήσατε· εἰ δ' ἀποστῆναι ἀθηναίων
οὐκ ἠθελήσαμεν ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν· καὶ γὰρ ἐ-
κεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία θηβαίοις· ὅτε ὑμεῖς ἀπωκνεῖ-
τε· καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλόν· ἄλλως τε καὶ οὓς εὖ
παθών τις, καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους, καὶ
πολιτείας μετέλαβεν, ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα, εἰκὸς
ἦν προθύμως· ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε, τοῖς ξυμμάχοις, οὐχ
οἱ ἑπόμενοι αἴτιοι εἴ τι μὴ καλῶς ἐδρᾶτο· ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ

μὴ ὀρθῶς ἔχοντα. Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδικήκασι τὸ δὲ τελευταῖον αὐτοὶ ξύνιστε. δι' ἅπερ καὶ τάδε πάσχομεν. πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν σπονδαῖς, καὶ προσέτι ἱερομηνίᾳ, ὀρθῶς τε ἐτιμωρησάμεθα κατὰ τὸν πᾶσι νόμον καθεστῶτα. τὸν ἐπιόντα πολέμιον, ὅσιον εἶναι ἀμύνεσθαι. καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. καίτοι εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ' αὐτοῦ ἦσαν. καὶ δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας, εἰ ἄρα ἡμάρτηται, ἀντιθεῖναι τὴν τότε προθυμίαν. καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε. καὶ ἐν καιροῖς οἷς σπάνιον ἦν τινὰ ἀρετὴν τῶν Ἑλλήνων τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι. ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὑτοῖς ἀσφαλείᾳ πράσσοντες. ἐθέλοντες δὲ τολμᾶν μετὰ κινδύνων τὰ βέλτιστα. ὧν ἡμεῖς γενόμενοι καὶ τιμηθέντες ἐς τὰ πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς δέδιμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. καίτοι χρὴ ταὐτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν αἰεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι. καὶ τὸ παραυτίκα που ὑμῖν ὠφέλιμον καθιστῆται. προσκέψασθέ τε ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε. εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα, οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε. ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν, ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξονται ἀνδρῶν

ἀγαθὸν ποιεῖν αὐτοὺς ἀμείνους ὄντας, ἀπρεπές τι ἐπιγνῶναι οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς ἑλλάδος ἀνατεθῆναι. δεινὸν δὲ εἶναι δόξει πλαταιᾶν λακεδαιμονίους πορθῆσαι. καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν δελφοῖς δι' ἀρετὴν τὴν πόλιν. ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ ἑλληνικοῦ πανοικησίᾳ διὰ θηβαίους ἐξαλεῖψαι. ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες μήδων τε κρατησάντων ἀπωλλύμεθα. καὶ νῦν ἐν ὑμῖν τοῖς πρὶν φιλτάτοις, θηβαίων ἡσσώμεθα. καὶ δύο ἀγῶνας τοὺς μεγίστους ὑπέστημεν. τότε μὲν τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι. νῦν δὲ θανάτου δίκῃ κρίνεσθαι. καὶ περιεώσμεθα ἐκ πάντων πλαταιῆς. οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς ἕλληνας, ἐρῆμοι καὶ ἀτιμώρητοι. καὶ οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδείς. ὑμεῖς τε ὦ λακεδαιμόνιοι ἡ μόνη ἐλπίς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε. καίτοι ἀξιοῦμεν καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτὲ γενομένων καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς ἕλληνας καμφθῆναι ὑμᾶς καὶ μεταγνῶναι εἴ τι ὑπὸ θηβαίων ἐπείσθητε. τήν τε δωρεὰν ἀνταπαιτῆσαι αὐτούς, μὴ κτείνειν οὓς μὴ ὑμῖν πρέπει. σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν. καὶ μὴ ἡδονὴν δόντας ἄλλοις, κακίαν αὐτοὺς ἀντιλαβεῖν. βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι. ἐπίπονον δὲ τὴν δύσκλειαν αὐτοῦ ἀφανίσαι. οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμωρήσεσθε. ἀλλ' εὔνους κατ' ἀνάγκην πολεμήσαντας. ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες, ὅσια ἂν δικάζοιτε. καὶ προνοοῦντες ὅτι ἑκόντας τε ἐλάβετε καὶ χεῖρας προϊσχομένους. ὁ δὲ νόμος τοῖς ἕλλησι μὴ κτείνειν τούτους. ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διὰ παντός. ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς ἀποθανόντας ὑπὸ μήδων καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ, ἐτιμῶμεν κατ'

ἔτοι

ἔθνος ἕκαστον δημοσίᾳ· ἐσθήμασί τε καὶ τοῖς ἄλλοις νομίμοις·
ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου, ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέ
ροντες· εὖνοι μὲν ἐκ φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχ
μοις ποτὲ γενομένοις, ὧν ὑμεῖς τὸ ἐναντίον ἂν δράσαιτε μὴ
ὀρθῶς γνόντες· σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν
αὐτούς· νομίζων ἐν γῇ τε φιλίᾳ τιθέναι καὶ παρ' ἀνδράσι τοιού
τοις· ὑμεῖς δὲ εἰ κτενεῖτε ἡμᾶς καὶ χώραν τὴν Πλαταιίδα Θη
βαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς αὐθέν
ταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς ἀτίμους γερῶν, ὧν νῦν
ἴσχουσι καταλείψετε· πρὸς δέ, καὶ γῆν ἐν ᾗ ἠλευθερώθησαν οἱ
Ἕλληνες δουλώσετε· ἱερά τε θεῶν οἷς εὐξάμενοι Μήδων ἐ
κράτησαν, ἐρημοῦτε· καὶ θυσίας τὰς πατρίους τῶν ἑσσαμένων
καὶ κτισάντων ἀφαιρήσεσθε· οὐ πρὸς τῆς ὑμετέρας δόξης
ὦ Λακεδαιμόνιοι τάδε, οὔτε ἐς τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα
καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν· οὔτε ἡμᾶς τοὺς εὐεργέτας
ἀλλοτρίας ἕνεκα ἔχθρας· μὴ αὐτοὺς ἀδικηθέντας διαφθεῖραι·
φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ οἴκτῳ σώφρονι λα
βόντας, μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανοοῦντας· ἀλλ'
οἷοί τε ἂν ὄντες πάθοιμεν· καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφο
ρᾶς· ᾧτινί ποτ' ἂν καὶ ἀναξίῳ ξυμπέσοι· ἡμεῖς τε ὡς πρέ
πον ἡμῖν καὶ ὡς ἡ χρεία προάγει αἰτούμεθα ὑμᾶς, θεοὺς
τοὺς ὁμοβωμίους καὶ κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι πεῖ
σαι τάδε· προφερόμενοι ὅρκους οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν μὴ
ἀμνημονεῖν· ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων
ἐπικαλούμεθα τοὺς κεκμηκότας μὴ γενέσθαι ὑπὸ Θηβαίοις
μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆναι· ἡμέρας,
τε ἀναμιμνήσκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μετ' αὐτῶν πρά
ξαντες, νῦν ἐν τῇδε κινδυνεύομεν τὰ δεινότατα παθεῖν· ὅπερ
δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι λόγου τελευτᾶν,

διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ· παυόμενοι λέ-
γομεν ὅτι οὐ θηβαίοις παρέδομεν τὴν πόλιν· εἱλόμεθα
γὰρ ἂν πρό γε τούτου τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ τελευτῆσαι.
ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν· καὶ δίκαιον, εἰ μὴ πεί-
θομεν, ἐς τὰ αὐτὰ καταστήσαντες τὸν ξυντυχόντα κίνδυνον ἐ-
ᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι· ἐπισκήπτομέν τε ἅμα μὴ πλα-
ταιῆς ὄντες οἱ προθυμότατοι περὶ τοὺς ἕλληνας γενόμενοι, θη-
βαίοις τοῖς ἡμῖν ἐχθίστοις ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑ-
μετέρας πίστεως ἱκέται ὄντες ὦ λακεδαιμόνιοι παραδοθῆ-
ναι· γενέσθαι δὲ σωτῆρας ἡμῶν· καὶ μὴ τοὺς ἄλλους ἕλληνας
ἐλευθεροῦντας ἡμᾶς διολέσαι: Τοιαῦτα μὲν οἱ πλαται-
ῆς εἶπον· οἱ δὲ θηβαῖοι δείσαντες πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ
λακεδαιμόνιοί τι ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βού-
λεσθαι εἰπεῖν· ἐπειδὴ καὶ ἐκείνοις παρὰ γνώμην τὴν αὐτῶν
μακρότερος λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως.
ὡς δ' ἐκέλευσαν, ἔλεγον τοιάδε: Δημηγορία θηβαίων

Τοὺς μὲν λόγους οὐκ ἂν ᾐτησάμεθα εἰπεῖν· εἰ καὶ αὐτοὶ βραχέως
τὸ ἐρωτηθὲν ἀπεκρίναντο· καὶ μὴ ἐπὶ ἡμᾶς τραπόμενοι
λοιδορίαν ἐποιήσαντο· καὶ περὶ αὐτῶν ἔξω τῶν προκειμένων
καὶ ἅμα οὐδὲ ᾐτιαμένων πολλὴν τὴν ἀπολογίαν καὶ ἔπαι-
νον, ὧν οὐδεὶς ἐμέμψατο· νῦν δὲ πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ·
τῶν δὲ, ἔλεγχον ποιήσασθαι· ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς
κακία ὠφελῇ, μήτε ἡ τούτων δόξα· τὸ δ' ἀληθὲς περὶ ἀμ-
φοτέρων ἀκούσαντες κρίνητε· ἡμεῖς δὲ αὐτοῖς διάφο-
ροι ἐγενόμεθα τὸ πρῶτον, ὅτι ἡμῶν κτισάντων πλάταιαν ὕ-
στερον τῆς ἄλλης βοιωτίας· καὶ ἄλλα χωρία μετ' αὐτῆς, ἃ ξυμμεί- ἐ
κτους ἀνθρώπους ἐξελάσαντες ἔσχομεν, οὐκ ἠξίουν οὗτοι ὥσπερ
τὸ πρῶτον ἡγεμονεύεσθαι ὑφ' ἡμῶν· ἔξω δὲ τῶν ἄλλων βοι-
ωτῶν παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο

προσεχώρησαν πρὸς ἀθηναίους· καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς
ἔβλαπτον, ὧνπερ καὶ αὐτοὶ ἔπαθον· ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος
ἦλθεν ἐπὶ τὴν ἑλλάδα· φασὶ μόνοι βοιωτῶν οὐ μηδίσαι· καὶ
τούτῳ μάλιστα αὐτοί τε ἀγάλλονται· καὶ ἡμᾶς λοιδοροῦσιν.
ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὔ φαμεν διότι οὐδ' ἀθηναίους·
τῇ μέντοι αὐτῇ ἰδέᾳ ὕστερον ἰόντων ἀθηναίων ἐπὶ τοὺς ἕλληνας
μόνους αὖ βοιωτῶν ἀττικίσαι· καίτοι σκέψασθε ἐν οἵῳ εἴδει ἑ
κάτεροι ἡμῶν τοῦτο ἔπραξαν· ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐ
τύγχανεν, οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα, οὔτε
κατὰ δημοκρατίαν· ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρο
νεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀ
λίγων ἀνδρῶν εἶχε τὰ πράγματα· καὶ οὗτοι ἰδίας δυνάμεις
ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν εἰ τὰ τοῦ μήδου κρατήσειε· κα
τέχοντες ἰσχύι τὸ πλῆθος, ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα
πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς τοῦτ' ἔπραξεν· οὐδ' ἄξι
ον ὀνειδίσαι αὐτῇ ὧν μὴ μετὰ νόμων ἥμαρτεν· ἐπειδὴ γοῦν ὅ
τε μῆδος ἀπῆλθε· καὶ τοὺς νόμους ἀπέλαβε, σκέψασθαι χρή·
ἀθηναίων ὕστερον ἐπιόντων τήν τε ἄλλην ἑλλάδα καὶ τὴν ἡμε
τέραν χώραν πειρωμένων ὑφ' αὑτοῖς ποιεῖσθαι, καὶ κατὰ στά
σιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλά, εἰ μαχόμενοι ἐν κορωνείᾳ
καὶ νικήσαντες αὐτοὺς ἠλευθερώσαμεν τὴν βοιωτίαν καὶ
τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν· ἵππους τε παρέχοντες
καὶ παρασκευὴν ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων· καὶ τὰ μὲν
ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα· ὡς δὲ ὑμεῖς μᾶλλον
τε ἠδικήκατε τοὺς ἕλληνας, καὶ ἀξιώτεροι ἐστὲ πάσης ζημίας,
πειρασόμεθα ἀποφαίνειν· ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρί
ᾳ ὡς φατὲ ἀθηναίων ξύμμαχοι καὶ πολῖται· οὐκοῦν χρῆν
τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ἐπάγεσθαι αὐτούς· καὶ μὴ ξυνεπι
έναι μετ' αὐτῶν ἄλλοις· ὑπάρχον γε ὑμῖν, εἴ τι καὶ ἄκοντες

πρόσχημα δ' ὑπ' ἀθηναίων, τῆς τῶν λακεδαιμονίων τῶν δὲ ἡ
δὴ ἐπὶ τῶν μήδων ξυμμαχίας γεγενημένης ἣν αὐτοὶ προβάλλε-
σθε μάλιστα. ἱκανὴ γὰρ ἦν ἡμᾶς τε ἀποτρέπειν ὑμῶν καὶ τὸ μέ-
γιστον ἀδεῶς παρέχειν βουλεύεσθαι· ἀλλ' ἑκόντες καὶ οὐ βιαζό-
μενοι ἔτι εἵλεσθε μᾶλλον τὰ τῶν ἀθηναίων· καὶ λέγετε ὡς αἰ-
σχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δὲ αἴσχιον καὶ ἀδι-
κώτερον τοὺς πάντας ἕλληνας καταπροδοῦναι οἷς ξυνωμό-
σατε, ἢ ἀθηναίους μόνους· τοὺς μὲν, καταδουλουμένους
τὴν ἑλλάδα· τοὺς δὲ, ἐλευθεροῦντας· καὶ οὐκ ἴσην αὐτοῖς τὴν
χάριν ἀνταπέδοτε· οὐδὲ αἰσχύνης ἀπηλλαγμένην· ὑμεῖς
μὲν γὰρ ἀδικούμενοι αὐτοὺς ὡς φατὲ ἐπηγάγεσθε· τοῖς δὲ,
ἀδικοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε· καίτοι τὰς ὁμοίας χάρι-
τας μὴ ἀντιδιδόναι, αἰσχρὸν μᾶλλον ἢ τὰς μετὰ δικαιο-
σύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας· δῆ-
λόν τε ἐποιήσατε· οὐδὲ τότε τῶν ἑλλήνων ἕνεκα μόνοι οὐ μη-
δίσαντες· ἀλλ' ὅτι οὐδ' ἀθηναῖοι· ὑμεῖς δὲ τοῖς μὲν ταὐτὰ βου-
λόμενοι ποιεῖν τοῖς δὲ, τἀναντία· καὶ νῦν ἀξιοῦτε ἀφ' ὧν δι' ἑ-
τέρους ἐγένεσθε ἀγαθοὶ, ἀπὸ τούτων ὠφελεῖσθαι· ἀλλ' οὐκ εἰκός·
ὥσπερ δὲ ἀθηναίους εἵλεσθε τούτοις ξυναγωνίζεσθε· καὶ μὴ
προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν, ὡς χρὴ ἀπ' αὐτῆς
νῦν σῴζεσθαι. ἀπελίπετε γὰρ αὐτὴν· καὶ παραβάντες ξυγκατε-
δουλοῦσθε μᾶλλον αἰγινήτας καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων,
ἢ διεκωλύετε· καὶ ταῦτα οὔτε ἄκοντες, ἔχοντές τε τοὺς νόμους
οὕσπερ μέχρι τοῦ δεῦρο, καὶ οὐδενὸς ὑμᾶς βιασαμένου ὥσ-
περ ἡμᾶς· τὴν τελευταίαν τε πρὶν περιτειχίζεσθαι πρόκλησιν
ἐς ἡσυχίαν ὑμῶν ὥστε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε·
τίνες ἂν οὖν ὑμῶν δικαιότερον πᾶσι τοῖς ἕλλησι μισοῖντο· οἵ-
τινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε· καὶ ἃ
μέν ποτε χρηστοὶ ἐγένεσθε ὡς φατὲ, οὐ προσήκοντα νῦν

ἀπεδέξατε. ἃ δὲ ἡ φύσις αἰεὶ ἐβούλετο. ἐξηλέγχθη ἐς τὸ ἀληθές· μετὰ γὰρ ἀθηναίων ἄδικον ἰόντων ὁδὸν ἐχωρήσατε. τὰ μὲν οὖν ἐς τόν ἡμέτερόν τε ἀκούσιον μηδισμόν. καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμόν, τοιαῦτα ἀποφαίνομεν. ἃ δὲ τελευταῖά φατε ἀδικηθῆναι, παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν, οὐ νομίζομεν οὐδὲ ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτάνειν. εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν. εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν βοιωτῶν πάτρια καταστῆσαι ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν. οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων. ἀλλ᾽ οὔτε ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔτε ἡμεῖς. πολῖται δὲ ὄντες ὥσπερ ὑμεῖς, καὶ πλείω παραβαλλόμενοι τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες, καὶ ἐς τὴν αὐτῶν πόλιν φιλίως οὐ πολεμίως κομίσαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν. σωφρονισταὶ ὄντες τῆς γνώμης. καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες. ἀλλ᾽ ἐς τὴν ξυγγένειαν οἰκειοῦντες. ἐχθροὺς οὐδενὶ καθιστάντες. ἅπασι δ᾽ ὁμοίως ἐνσπόνδους. τεκμήριον δὲ ὡς οὐ πολεμίως ἐπράσσομεν. οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομεν τε τὸν βουλόμενον κατὰ τὰ πάντων βοιωτῶν πάτρια πολιτεύειν, ἰέναι ἐς ἡμᾶς. καὶ ὑμεῖς ἀσμένως χωρήσαντες. καὶ ξύμβασιν ποιησάμενοι, τὸ μὲν πρῶτον ἡσυχάζετε. ὕστερον δὲ κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμεν τι ἀνεπιεικέστερον πρᾶξαι, οὐ μετὰ τοῦ πλήθους ὑμῶν ἐσελθόντες, τὰ μὲν ὅμοια οὐκ ἀνταπέδοτε ἡμῖν. μήτε νεωτερίσαι ἔργῳ, λόγοις τε πείθειν ὥστε ἐξελθεῖν· ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπεκτεί-

ναι, οὐχ ὁμοίως ἀλγοῦμεν· κατὰ νόμον γάρ δή τινα ἔπασχον· οὓς δὲ
χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν
ὕστερον μὴ κτενεῖν, παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ
εἴργασθε· καὶ ταῦτα τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες· τήν τε
λυθεῖσαν ὁμολογίαν· καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον· καὶ
τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτενεῖν ψευσθεῖσαν ὑπόσχεσιν, ἢν τὰ ἐν
τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν· ὅμως φατὲ ἡμᾶς παρανομῆ-
σαι· καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦναι δίκην· οὐκ ἤν γε οὗτοι
τὰ ὀρθὰ γιγνώσκωσι· πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε·
καὶ ταῦτα ὦ λακεδαιμόνιοι τούτου ἕνεκα ἐπεξήλθομεν· καὶ
ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν
καταγνωσόμενοι· ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι· καὶ
μὴ παλαιὰς ἀρετάς, εἴ τις ἄρα καὶ ἐγένετο ἀκούοντες ἐπικλα-
σθῆτε· ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους εἶναι· τοῖς δὲ
αἰσχρόν τι δρῶσι διπλασίας ζημίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρ-
τάνουσι· μηδὲ ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν· πατέρων τε
τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι καὶ τὴν σφετέραν ἐρημίαν·
καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν τὴν
ὑπὸ τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην· ὧν πατέρες, οἱ μέν,
πρὸς ὑμᾶς τὴν βοιωτίαν ἄγοντες, ἀπέθανον ἐν κορωνείᾳ· οἱ δὲ
πρεσβῦται λελυμένοι· καὶ οἰκίαι ἐρῆμοι πολλῷ δικαιοτέ-
ραν ὑμῶν ἱκετείαν ποιοῦνται, τούσδε τιμωρήσασθαι· οἴκτου
τε ἀξιώτεροι τυγχάνειν, οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀνθρώπων·
οἱ δὲ δικαίως ὥσπερ οἵδε τὰ ἐναντία ἐπίχαρτοι εἶναι· καὶ
τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι· τοὺς γὰρ ἀμείνους ξυμμά-
χους, ἑκόντες ἀπεώσαντο· παρενόμησάν τε οὐ προπαθόντες
ὑφ' ἡμῶν· μίσει δὲ πλέον ἢ δίκῃ κρίναντες, καὶ οὐκ ἀντα-
ποδόντες νῦν τὴν ἴσην τιμωρίαν· ἔννομα γὰρ πείσονται· καὶ
οὐχὶ ἐκ μάχης χεῖρας προϊσχόμενοι ὥσπερ φασίν, ἀλλ' ἀπὸ

ξυμβάσεως δὲ ἐλπίδι σφᾶς αὐτοὺς παραδόντες· ἀμύνατε οὖν ὦ λα-
κεδαιμόνιοι καὶ τῷ τῶν ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβα-
θέντι· καὶ ἡμῖν ἄνομα παθοῦσιν, ἀνταπόδοτε χάριν δικαί-
αν ὧν πρόθυμοι γεγενήμεθα· καὶ μὴ τοῖς τῶνδε λόγοις περι-
ωσθῶμεν ἐν ὑμῖν· ποιήσατε δὲ τοῖς ἕλλησι παράδειγμα· οὐ λό-
γων τοὺς ἀγῶνας προθήσοντες· ἀλλ' ἔργων· ὧν ἀγαθῶν μὲν
ὄντων, βραχεῖα ἡ ἐπαγγελία ἀρκεῖ· ἁμαρτανομένων δὲ λό-
γοι ἔπεσι κοσμηθέντες, προκαλύμματα γίγνονται· ἀλλ' ἢν οἱ ἡ-
γεμόνες ὥσπερ ὑμεῖς νῦν κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας
διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους κα-
λοὺς ζητήσει: Τοιαῦτα οἱ θηβαῖοι εἶπον· οἱ δὲ λακεδαιμό-
νιοι δικασταὶ νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν,
εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθόν τι πεπόνθασι· διότι τόν
τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς παυ-
σανίου μετὰ τὸν μῆδον σπονδὰς ἡσυχάζειν· καὶ ὅτε ὕστερον
ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς κοινοὺς εἶναι κατ' ἐ-
κεῖνα ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλή-σει
ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖθις τὸ αὐτὸ
ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες εἴ τι λακεδαιμονί-
ους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσίν, ὁπότε
μὴ φαῖεν ἀπάγοντες, ἀπέκτεινον· καὶ ἐξαίρετον ἐποιήσαντο
οὐδένα· διέφθειραν δὲ πλαταιῶν μὲν αὐτῶν οὐκ ἐλάσσους δι-
ακοσίων· ἀθηναίων δὲ πέντε καὶ εἴκοσιν· οἳ ξυνεπολιορκοῦν-
το· γυναῖκας δὲ ἠνδραπόδισαν· τὴν δὲ πόλιν ἐνιαυτὸν μὲν
τινα θηβαῖοι μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι, καὶ
ὅσοι τὰ σφέτερα φρονοῦντες πλαταιέων περιῆσαν, ἔδοσαν ἐνοι-
κεῖν· ὕστερον δὲ καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν
θεμελίων, ᾠκοδόμησαν πρὸς τῷ ἡραίῳ καταγώγιον δια-
κοσίων ποδῶν, πανταχῇ κύκλῳ οἰκήματα ἔχον κάτωθεν

καὶ ἄνωθεν· καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν πλαταιῶν
ἐχρήσαντο· καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα χαλκὸς καὶ
σίδηρος, κλίνας κατασκευάσαντες, ἀνέθεσαν τῇ ἥρᾳ· καὶ
νεὼν ἑκατόμπεδον λίθινον ᾠκοδόμησαν αὐτῇ· τὴν δὲ γῆν δημο
σιώσαντες· ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη· καὶ ἐνέμοντο θηβαῖοι·
σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ πλαταιῶν οἱ λακεδαιμόνιοι
οὕτως ἀποτετραμμένοι ἐγένοντο θηβαίων ἕνεκα, νομίζοντες
ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθισταμένου ὠφελίμους εἶναι·
καὶ τὰ μὲν κατὰ πλάταιαν ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ ἐπειδὴ ἀθη
ναίων ξύμμαχοι ἐγένοντο, οὕτως ἐτελεύτησεν· αἱ δὲ τεσσα
ράκοντα νῆες τῶν πελοποννησίων, αἱ λεσβίοις βοηθοὶ ἐλθοῦ
σαι, ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους, ἔκ τε τῶν ἀθηναίων
ἐπιδιωχθεῖσαι, καὶ πρὸς τῇ κρήτῃ χειμασθεῖσαι, ἀπ᾽ αὐτῆς σπο
ράδες πρὸς τὴν πελοπόννησον κατηνέχθησαν, καταλαμβά
νουσι τριήρεις τρεῖς καὶ δέκα ἐν τῇ κυλλήνῃ λευκαδίων καὶ
ἀμπρακιωτῶν· καὶ βρασίδαν τὸν τέλλιδος ξύμβουλον ἀλκίδᾳ
ἐπεληλυθότα· ἐβούλοντο γὰρ οἱ λακεδαιμόνιοι ὡς τῆς λέσβου
ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες, ἐς κέρκυραν
πλεῦσαι στασιάζουσαν· δώδεκα μὲν ναυσὶ μόναις παρόντων
ἀθηναίων περὶ ναύπακτον· πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι
ἐκ τῶν ἀθηνῶν ναυτικὸν ὅπως προφθάσωσι· καὶ παρεσκευά
ζοντο ὅ τε ἀλκίδας καὶ ὁ βρασίδας πρὸς ταῦτα· οἱ γὰρ κερκυ
ραῖοι ἐστασίαζον· ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς, οἱ ἐκ τῶν
περὶ ἐπίδαμνον ναυμαχιῶν ὑπὸ κορινθίων ἀφεθέντες, τῷ
μὲν λόγῳ ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγγυημένοι·
ἔργῳ δέ, πεπεισμένοι κορινθίοις κέρκυραν προσποιῆσαι· καὶ
ἔπρασσον οὗτοι ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀπο
στήσωσιν ἀθηναίων τὴν πόλιν· καὶ ἀφικομένης ἀττικῆς τε
νεὼς καὶ κορινθίας πρέσβεις ἀγουσῶν καὶ ἐς λόγους κατα-

στάντων, ἐψηφίσαντο κερκυραῖοι ἀθηναίοις μὲν ξύμμαχοι
εἶναι κατὰ τὰ ξυγκείμενα· πελοποννησίοις δὲ φίλοι ὥσπερ καὶ
πρότερον· καὶ ἦν γὰρ πειθίας ἐθελοπρόξενός τε τῶν ἀθηναίων
καὶ τοῦ δήμου προειστήκει, ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες
ἐς δίκην λέγοντες ἀθηναίοις τὴν κέρκυραν καταδουλοῦν· ὁ
δὲ ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε
ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε διὸς τοῦ τεμέ-
νους καὶ τοῦ ἀλκίνου· ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο
στατήρ· ὀφλόντων δὲ αὐτῶν καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθε-
ζομένων, διὰ πλῆθος τῆς ζημίας ὅπως ταξάμενοι ἀποδῶσι,
ὁ πειθίας. ἐτύγχανε γὰρ καὶ βουλῆς ὤν. πείθει ὥστε τῷ νόμῳ
χρήσασθαι· οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο. καὶ ἅμα ἐπυν-
θάνοντο τὸν πειθίαν, ἕως ἔτι βουλῆς ἐστὶ μέλλειν τὸ πλῆθος
ἀναπείσειν τοὺς αὐτοὺς ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομί-
ζειν· ξυνίσταντό τε καὶ λαβόντες ἐγχειρίδια ἐξαπιναίως ἐς τὴν
βουλὴν ἐσελθόντες, τόν τε πειθίαν κτείνουσι καὶ ἄλλους. τῶν τε
βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα· οἱ δέ τινες τῆς αὐτῆς γνώ-
μης τῷ πειθίᾳ ὀλίγοι ἐς τὴν ἀττικὴν τριήρη κατέφυγον ἔτι πα-
ροῦσαν· δράσαντες δὲ τοῦτο καὶ ξυγκαλέσαντες κερκυραίους,
εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη, καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ'
ἀθηναίων· τό τε λοιπὸν μηδετέρους δέχεσθαι· ἀλλ' ἢ μιᾷ νηὶ
ἡσυχάζοντας· τὸ δὲ πλέον πολέμιον ἡγεῖσθαι· ὡς δὲ εἶπον
καὶ ἠνάγκασαν ἐπικυρῶσαι τὴν γνώμην. πέμπουσι καὶ ἐς
τὰς ἀθήνας εὐθὺς πρέσβεις, περί τε τῶν πεπραγμένων διδάξον-
τας, ὡς ξυνέφερε, καὶ τοὺς ἐκεῖ καταπεφευγότας πείσοντας, μη-
δὲν ἀνεπιτήδειον πράσσειν· ὅπως μή τις ἐπιστροφὴ γένηται. ἐλ-
θόντων δὲ οἱ ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας ξυλλα-
βόντες. καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς αἴγιναν· ἐν δὲ τοῦ-
τῳ τῶν κερκυραίων οἱ ἔχοντες τὰ πράγματα ἐλθούσης

τριήρους Κορινθίας καὶ Λακεδαιμονίων πρέσβεων ἐπιτίθενται
τῷ δήμῳ καὶ μαχόμενοι ἐνίκησαν· ἀφικομένης δὲ νυκτὸς ὁ μὲν
δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει·
καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύθη· καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον· οἱ
δὲ τήν τε ἀγορὰν κατέλαβον οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ
τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον· τῇ δ' ὑστεραίᾳ
ἠκροβολίσαντό τε ὀλίγα· καὶ ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφό-
τεροι τοὺς δούλους παρακαλοῦντές τε καὶ ἐλευθερίαν ὑπισχνού-
μενοι· καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμ-
μαχον· τοῖς δὲ ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι·
διαλιπούσης δ' ἡμέρας μάχη αὖθις γίγνεται· καὶ νικᾷ ὁ δῆμος
χωρίων τε ἰσχύι καὶ πλήθει προύχων· αἵ τε γυναῖκες αὐτοῖς τολ-
μηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ·
καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον· γενομένης δὲ
τῆς τροπῆς περὶ δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι μὴ αὐτοβοεὶ ὁ δῆ-
μος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν καὶ σφᾶς διαφθείρειεν,
ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς· καὶ τὰς ξυνοι-
κίας ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας·
ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη· καὶ ἡ πόλις ἐκιν-
δύνευσε πᾶσα διαφθαρῆναι· εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπί-
φορος ἐς αὐτήν· καὶ οἱ μὲν παυσάμενοι τῆς μάχης ὡς ἑκάτεροι
ἡσυχάσαντες τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία ναῦς τοῦ
δήμου κεκρατηκότος ὑπεξανήγετο· καὶ τῶν ἐπικούρων οἱ πο-
λλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν· τῇ δὲ ἐπιγιγνομένῃ
ἡμέρᾳ, Νικόστρατος ὁ Διοτρέφους Ἀθηναίων στρατηγὸς, παραγί-
γνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσί· καὶ Μεσσηνίων
πεντακοσίοις ὁπλίταις· ξύμβασίν τε ἔπρασσε· καὶ πείθει ὥστε
ξυγχωρῆσαι ἀλλήλοις· δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι·
οἳ οὐκέτι ἔμειναν· τοὺς δ' ἄλλους οἰκεῖν σπονδὰς πρὸς ἀλλήλους

ποιησαμένους καὶ πρὸς ἀθηναίους· ὥστε τοὺς αὐτοὺς ἐχθροὺς
καὶ φίλους νομίζειν· καὶ ὁ μέν, ταῦτα πράξας ἔμελλεν ἀπο
πλεύσεσθαι· οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτόν, πέντε
μὲν ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν· ὅπως ἧσσόν τι ἐν κινήσει
ὦσιν οἱ ἐναντίοι· ἴσας δὲ πληρώσαντες ἐκ σφῶν αὐτῶν ξυμ
πέμψειν· καὶ ὁ μέν, ξυνεχώρησεν· οἱ δέ, τοὺς ἐχθροὺς κατέλε
γον ἐς τὰς ναῦς· δείσαντες δὲ ἐκεῖνοι μὴ ἐς τὰς ἀθήνας ἀπο
πεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν διοσκούρων ἱερόν· νικό
στρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο· ὡς δ' οὐκ ἔπειθεν
ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν
ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ. τά τε ὅπλα
τῶν ἐκ τῶν οἰκιῶν ἔλαβε· καὶ αὐτῶν τινὰς οἷς ἐπέτυχον εἰ μὴ νι
κόστρατος ἐκώλυσε, διέφθειραν ἄν· ὁρῶντες δὲ οἱ ἄλλοι τὰ γιγνό
μενα· καθίζουσιν ἐς τὸ ἥραιον ἱκέται· καὶ γίγνονται οὐκ ἐλάσ
σους τετρακοσίων· ὁ δὲ δῆμος δείσας μή τι νεωτερίσωσιν, ἀνίστη
σί τε αὐτοὺς πείσας· καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ ἡραίου νῆσον
καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο· τῆς δὲ στάσεως ἐν
τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν
νῆσον διακομιδήν· αἱ ἐκ τῆς κυλλήνης πελοποννησίων νῆες μετὰ
τὸν ἐκ τῆς ἰωνίας πλοῦν ἐφορμοῦσαι, παραγίνονται τρεῖς καὶ
πεντήκοντα· ἦρχε δὲ αὐτῶν ἀλκίδας ὥσπερ καὶ πρότερον· βρα
σίδας δὲ αὐτῷ ξύμβουλος ἐπέπλει· ὁρμισάμενοι δὲ ἐς σύβοτα
λιμένα τῆς ἠπείρου ἅμα ἕῳ, ἐπέπλεον τῇ κερκύρᾳ· οἱ δὲ πολ
λῷ θορύβῳ καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν
παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς· καὶ τὰς αἰεὶ πληρουμένας
ἐξέπεμπον πρὸς τοὺς ἐναντίους· παραινούντων ἀθηναίων σφᾶς τε
ἐᾶσαι πρῶτον ἐκπλεῦσαι· καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπι
γενέσθαι· ὡς δὲ αὐτοῖς πρὸς τοὺς πολεμίους ἦσαν σποράδες αἱ
νῆες, δύο μὲν εὐθὺς ηὐτομόλησαν· ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ

ἐμπλέοντες ἐμάχοντο. ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων. ἰδόν
τες δὲ οἱ πελοποννήσιοι τὴν ταραχήν, εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς
κερκυραίους ἐτάξαντο. ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς
τῶν ἀθηναίων· ὧν ἦσαν αἱ δύο σαλαμινία καὶ πάραλος. καὶ οἱ
μὲν κερκυραῖοι κακῶς τε καὶ κατ' ὀλίγας προσπίπτοντες, ἐτα
λαιπώρουν τὸ καθ' αὑτούς. οἱ δ' ἀθηναῖοι φοβούμενοι τὸ πλῆθος
καὶ τὴν περικύκλωσιν. ἀθρόαις μὲν οὐ προσέπιπτον. οὐδὲ
κατὰ μέσον ταῖς ἐφ' ἑαυτοὺς τεταγμέναις. προσβαλόντες δὲ κα
τὰ κέρας καταδύουσι μίαν ναῦν. καὶ μετὰ ταῦτα κύκλον ταξα
μένων αὐτῶν περιέπλεον. καὶ ἐπειρῶντο θορυβεῖν. γνόντες δ'
οἱ πρὸς τοῖς κερκυραίοις καὶ δείσαντες μὴ ὅπερ ἐν ναυπάκτῳ
γένοιτο, ἐπιβοηθοῦσι. καὶ γενόμεναι ἀθρόαι αἱ νῆες, ἅμα τὸν
ἐπίπλουν τοῖς ἀθηναίοις ἐποιοῦντο. οἱ δ' ὑπεχώρουν ἤδη πρύ
μναν κρουόμενοι. καὶ ἅμα τὰς τῶν κερκυραίων ἐβούλοντο
προκαταφυγεῖν ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων,
καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. ἡ μὲν οὖν ναυμαχία
τοιαύτη γενομένη, ἐτελεύτα ἐς ἡλίου δύσιν. καὶ οἱ κερκυραῖοι
δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν ὡς κρατοῦν
τες οἱ πολέμιοι, ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν ἢ καὶ ἄλλο τι νεω
τερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ ἥραιον διεκόμισαν καὶ
τὴν πόλιν ἐφύλασσον. οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦ
σαι κρατοῦντες τῇ ναυμαχίᾳ. τρεῖς καὶ δέκα δὲ ναῦς ἔχοντες τῶν
κερκυραίων, ἀπέπλευσαν ἐς τὴν ἤπειρον ὅθενπερ ἀνηγάγοντο.
τῇ δ' ὑστεραίᾳ, ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον. καί
περ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας. καὶ βρασίδου παραινοῦν
τος ὡς λέγεται ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος. ἐπὶ δὲ τὴν λευκίμ
μην τὸ ἀκρωτήριον ἀποβάντες, ἐπόρθουν τοὺς ἀγρούς. ὁ δὲ
δῆμος τῶν κερκυραίων ἐν τούτῳ περιδεὴς γενόμενος μὴ ἐπιπλεύ
σωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ἦσαν ἐς λόγους. καὶ τοῖς ἄλλοις ὅπως

σωθήσεται ἡ πόλις· καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐσβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα προσδεχόμενοι τὸν ἐπίπλουν· οἱ δὲ πελοποννήσιοι μέχρι μέσου ἡμέρας δῃώσαντες τὴν γῆν, ἀπέπλευσαν· καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες ἀθηναίων προσπλέουσαι ἀπὸ λευκάδος· ἃς οἱ ἀθηναῖοι πυνθανόμενοι τὴν στάσιν καὶ τὰς μετ' ἀλκίδου ναῦς, ἐπὶ κέρκυραν μελλούσας πλεῖν, ἀπέστειλαν· καὶ εὐρυμέδοντα τὸν θουκλέους στρατηγόν· οἱ μὲν οὖν πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος, ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται· κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε ἀττικὰς ναῦς προσπλεούσας, τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον πρότερον ἔξω ὄντας· καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες ἃς ἐπλήρωσαν ἐς τὸν ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι, ἐκβιβάζοντες ἀπεχρῶντο· ἐς τὸ ἥραιόν τε ἐλθόντες τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας, δίκην ὑποσχεῖν ἔπεισαν· καὶ κατέγνωσαν πάντων θάνατον· οἱ δὲ πολλοὶ τῶν ἱκετῶν ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειρον αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους· καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο· οἱ δ' ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο· ἡμέρας τε ἑπτὰ ἃς ἀφικόμενος ὁ εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε, κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι, ἐφόνευον· τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα· καὶ ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων· πᾶσά τε ἰδέα κατέστη θανάτου· καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ,τι οὐ ξυνέβη· καὶ ἔτι περαιτέρω· καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε·

καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο καὶ πρὸς αὐτοῖς ἐκτείνοντο·
οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀ-
πέθανον. οὕτως ὠμὴ στάσις προυχώρησε· καὶ ἔδοξε μᾶλλον
διότι ἐν τοῖς πρώτη ἐγένετο· ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς εἰπεῖν τὸ
ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ τοῖς τε τῶν δή-
μων προστάταις τοὺς ἀθηναίους ἐπάγεσθαι· καὶ τοῖς ὀλίγοις
τοὺς λακεδαιμονίους· καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφα-
σιν· οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς· πολεμουμένων δὲ καὶ
ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει, καὶ σφίσιν
αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει· ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νε-
ωτερίζειν βουλομένοις ἐπορίζοντο· καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ
κατὰ στάσιν ταῖς πόλεσι· γιγνόμενα μὲν καὶ αἰεὶ ἐσόμενα ἕως ἂν
ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ· μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι
διηλλαγμένα· ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφι-
στῶνται· ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν, αἵ τε πόλεις
καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους
ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ κα-
θ' ἡμέραν, βίαιος διδάσκαλος καὶ πρὸς τὰ παρόντα τὰς ὀρ-
γὰς τῶν πολλῶν ὁμοιοῖ· ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ
ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν
ὑπερβολὴν· τοῦ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων
περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτεχνίᾳ [ἀτοπία]· καὶ τὴν εἰωθυῖαν ἀξίω-
σιν τῶν ὀνομάτων, ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει· τόλ-
μα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις
δὲ προμηθὴς, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου
πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν· τὸ δ'
ἐμπλήκτως ὀξὺ, ἀνδρὸς μοίρᾳ προσετέθη· ἀσφαλείᾳ δὲ
τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος· καὶ ὁ
μὲν χαλεπαίνων πιστὸς αἰεί· ὁ δ' ἀντιλέγων αὐτῷ ὕποπτος· ἐπι-

βουλεύσας δέ τις τυχὼν ξυνετὸς καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρείας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν, ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν· οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῷ κοινῇ τι παρανομῆσαι. τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προύχοιεν, καὶ οὐ γενναιότητι. ἀντιτιμωρήσασθαί τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ προπαθεῖν. καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφαρκτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τὸ ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι ἀπάτῃ περιγενόμενος ξυνέσεως ἀγώνισμα προσελάμβανε. ῥᾷον δ᾽ οἱ πολλοὶ κακοῦργοι ὄντες δεξιοὶ κέκληνται ἢ ἀμαθεῖς ἀγαθοί, καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. πάντων δ᾽ αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ᾽ αὐτῶν καὶ ἐς τὸ φιλονικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετὰ ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς, καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες, ἆθλα ἐποιοῦντο· παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῇσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου

καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν αὐτί-
κα φιλονικίαν ἐμπιπλάναι. ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνό-
μιζον. εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τι διαπρά-
ξασθαι, ἄμεινον ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρ(ων)
ἢ ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι διεφθείροντο.
οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ ἑλλη-
νικῷ. καὶ τὸ εὔηθες οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν
ἠφανίσθη. τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ, ἀπίστως ἐπὶ
πολὺ διήνεγκεν. οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρός, οὔτε
ὅρκος φοβερός. κρείσσους δὲ ὄντες ἅπαντες, λογισμῷ ἐς τὸ ἀ-
νέλπιστον τοῦ βεβαίου μὴ παθεῖν μᾶλλον προυσκόπουν ἢ πι-
στεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιε-
γίγνοντο. τῷ γὰρ δεδιέναι τό τε αὐτῶν ἐνδεὲς καὶ τὸ τῶν ἐναντίων
ξυνετόν, μὴ λόγοις τε ἥσσους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς
γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔρ-
γα ἐχώρουν. οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔρ-
γῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλ-
λον διεφθείροντο. ἐν δ' οὖν τῇ κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολ-
μήθη. καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ
ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων. οἱ ἀνταμυνόμενοι δρά-
σειαν. πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστ'
δ' ἂν διὰ πάθος ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δί-
κην γιγνώσκοιεν. οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ. ἀπὸ ἴσου δὲ μάλιστα
ἐπιόντες ἀπαιδευσίᾳ, ὀργῆς πλεῖστον ἐκφερόμενοι, ὠμῶς καὶ ἀ-
παραιτήτως ἐπέλθοιεν. ξυνταραχθέντος δὲ τοῦ βίου ἐς τὸν καιρὸν
τοῦτον τῇ πόλει, καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία φύσις
εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν ἀσμένη, ἐδήλωσεν ἀκρα-
τὴς μὲν ὀργῆς οὖσα. κρείσσων δὲ τοῦ δικαίου. πολεμία δὲ τοῦ
προύχοντος. οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τιμωρεῖσθαι προυτίθεσαν

τοῦ τε μὴ ἀλγεῖν τὸ μετ᾽ αὐτοῦ, ἐν ᾧ μὴ βλάπτοιαν ἰσχὺν ἔχον
τὸ φθονεῖν· ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι
νόμους, ἀφ᾽ ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς
διασώζεσθαι, ἐν ἄλλων τιμωρίαις προκαταλύειν· καὶ μὴ ὑπο
λείπεσθαι εἴ ποτε ἄρα τις κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.
οἱ μὲν οὖν κατὰ τὴν πόλιν κερκυραῖοι, τοιαύταις ὀργαῖς ταῖς
πρώταις ἐς ἀλλήλους ἐχρήσαντο· καὶ ὁ εὐρυμέδων καὶ οἱ ἀθη
ναῖοι ἀπέπλευσαν ταῖς ναυσίν· ὕστερον δὲ οἱ φεύγοντες τῶν
κερκυραίων, διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους, τείχη τε
λαβόντες ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς·
καὶ ἐξ αὐτῆς ὁρμώμενοι ἐλῄζοντο τοὺς ἐν τῇ νήσῳ· καὶ πολλὰ
ἔβλαπτον αὐτούς· καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει· ἐπρε
σβεύοντο δὲ καὶ ἐς τὴν λακεδαίμονα καὶ κόρινθον, περὶ καθόδου·
καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρόνῳ πλοῖα καὶ
ἐπικούρους παρασκευασάμενοι, διέβησαν ἐς τὴν νῆσον, ἑξα
κόσιοι μάλιστα οἱ πάντες· καὶ τὰ πλοῖα ἐμπρήσαντες, ὅπως
ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος
τὴν ἰστώνην, τεῖχος ἐνοικοδομησάμενοι, ἔφθειρον τοὺς ἐν τῇ πόλει
καὶ τῆς γῆς ἐκράτουν· τοῦ δ᾽ αὐτοῦ θέρους τελευτῶντος, ἀθηναῖ
οι εἴκοσι ναῦς ἔστειλαν ἐς σικελίαν· καὶ λάχητα τὸν μελανώ
που στρατηγὸν αὐτῶν καὶ χαροιάδην τὸν εὐφιλήτου· οἱ γὰρ συρα
κούσιοι καὶ λεοντῖνοι, ἐς πόλεμον ἀλλήλοις καθέστασαν· ξύμ
μαχοι δὲ τοῖς μὲν συρακουσίοις ἦσαν, πλὴν καμαριναίων, αἱ ἄλ
λαι δωριέες πόλεις· αἵπερ καὶ πρὸς τὴν τῶν λακεδαιμονίων
τὸ πρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν· οὐ μέν
τοι ξυνεπολέμησάν γε· τοῖς δὲ λεοντίνοις αἱ χαλκιδικαὶ πόλεις
καὶ καμάρινα· τῆς δὲ ἰταλίας λοκροὶ μὲν συρακουσίων ἦσαν· ῥη
γῖνοι δὲ κατὰ τὸ ξυγγενὲς λεοντίνων· ἐς οὖν τὰς ἀθήνας πέμ
ψαντες οἱ τῶν λεοντίνων ξύμμαχοι, κατά τε παλαιὰν ξυμμαχίαν

καὶ οἱ ἴωνες ἦσαν, πείθουσι τοὺς ἀθηναίους πέμψαι σφίσι ναῦς·
ἀπὸ γὰρ τῶν συρακοσίων τῆς τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης·
καὶ ἔπεμψαν οἱ ἀθηναῖοι, τῆς μὲν οἰκειότητος προφάσει· βου-
λόμενοι δὲ μήτε σῖτον ἐς τὴν πελοπόννησον ἄγεσθαι αὐτόθεν·
πρόπειράν τε ποιούμενοι εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ σικελίᾳ
πράγματα ὑποχείρια γενέσθαι· καταστάντες οὖν ἐς ῥή-
γιον τῆς ἰταλίας τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων·
καὶ τὸ θέρος ἐτελεύτα· τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος, ἡ νόσος
τὸ δεύτερον ἐπέπεσε τοῖς ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδέ-
να χρόνον τὸ παντάπασιν· ἐγένετο δέ τις ὅμως διοκωχή· παρέ-
μεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ· τὸ δὲ πρότερον
καὶ δύο ἔτη· ὥστε ἀθηναίων γε μὴ εἶναι ὅτι μᾶλλον ἐκάκωσε
τὴν δύναμιν· τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων
οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων· καὶ τριακοσίων ἱπ-
πέων· τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός· ἐγένοντο
δὲ τότε καὶ οἱ πολλοὶ σεισμοί· ἔν τε ἀθήναις καὶ ἐν εὐβοίᾳ καὶ
ἐν βοιωτοῖς· καὶ μάλιστα ἐν ὀρχομενῷ τῷ βοιωτίῳ· καὶ οἱ ἐν
σικελίᾳ ἀθηναῖοι καὶ ῥηγῖνοι τοῦ αὐτοῦ χειμῶνος τριάκοντα
ναυσὶ στρατεύουσιν ἐπὶ τὰς αἰόλου νήσους καλουμένας· θέρους
γὰρ δι᾽ ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν· νέμονται δὲ λιπα-
ραῖοι αὐτὰς κνιδίων ἄποικοι ὄντες· οἰκοῦσι δ᾽ ἐν μιᾷ τῶν νή-
σων οὐ μεγάλῃ· καλεῖται δὲ λιπάρα· τὰς δὲ ἄλλας ἀπὸ ταύτης
ὁρμώμενοι γεωργοῦσι· διδύμην καὶ στρογγύλην καὶ ἱεράν·
νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ ἱερᾷ· ὡς ὁ ἥφαιστος χαλκεύει·
ὅτι τὴν νύκτα πῦρ ἀναδιδοῦσα πολὺ καὶ τὴν ἡμέραν καπνόν·
κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν σικελῶν καὶ μεσσηνίων
γῆν· ξύμμαχοι δ᾽ ἦσαν συρακοσίων· τεμόντες δὲ οἱ ἀθηναῖοι τὴν
γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ ῥήγιον· καὶ ὁ χει-
μὼν ἐτελεύτα· καὶ πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε

ὃν θουκυδίδης ξυνέγραψεν. Τοῦ δ᾽ ἐπιγιγνομένου θέρους πελο-
ποννήσιοι καὶ οἱ ξύμμαχοι· μέχρι μὲν τοῦ ἰσθμοῦ ἦλθον ὡς ἐς
τὴν ἀττικὴν ἐσβαλοῦντες. ἄγιδος τοῦ ἀρχιδάμου ἡγουμένου
λακεδαιμονίων βασιλέως. σεισμῶν δὲ γενομένων πολλῶν ἀ-
πετράποντο πάλιν· καὶ οὐκ ἐγένετο ἐσβολή· καὶ περὶ τούτους
τοὺς χρόνους τῶν σεισμῶν κατεχόντων τῆς εὐβοίας, ἐν ὀροβίαις
ἡ θάλασσα ἐπανελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς καὶ κυματωθεῖ-
σα, ἐπῆλθε τῆς πόλεως μέρος τι· καὶ τὸ μὲν κατέκλυσε· τὸ δ᾽ ὑπε-
νόστησε· καὶ θάλασσα νῦν ἐστὶ πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους δι-
έφθειρεν ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδρα-
μόντες· καὶ περὶ ἀταλάντην τὴν ἐπὶ λοκροῖς τοῖς ὀπουντίοις νῆσον
παραπλησία γίγνεται ἐπίκλυσις· καὶ τοῦ τε φρουρίου τῶν ἀθη-
ναίων παρεῖλε· καὶ δύο νεῶν ἀνειλκυσμένων, τὴν ἑτέραν
κατέαξεν· ἐγένετο δὲ καὶ ἐν πεπαρήθῳ κύματος ἐπαναχώρησις
τις· οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι κατέβα-
λε· καὶ τὸ πρυτανεῖον· καὶ ἄλλας οἰκίας ὀλίγας· αἴτιον δ᾽ ἔ-
γωγε νομίζω τοῦ τοιούτου ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ
τοῦτο ἀποστέλλειν τὴν θάλασσαν· καὶ ἐξαπίνης πάλιν ἐπισπω-
μένην, βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ
ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι. Τοῦ δ᾽ αὐτοῦ
θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι ὡς ἕκαστοι ξυνέβαινον ἐν τῇ σι-
κελίᾳ· καὶ αὐτοὶ οἱ σικελιῶται ἐπ᾽ ἀλλήλους στρατεύοντες· καὶ οἱ
ἀθηναῖοι ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου ἄξια μάλιστα
ἢ μετὰ τῶν ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν, ἢ πρὸς τοὺς ἀθη-
ναίους οἱ ἀντιπολέμιοι, τούτων μνησθήσομαι· χαροιάδου γὰρ
ἤδη τοῦ ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ συρακουσίων
πολέμῳ, λάχης ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχήν, ἐστράτευσε
μετὰ τῶν ξυμμάχων ἐπὶ μυλὰς τὰς μεσσηνίων· ἔτυχον δὲ δύο φυ-
λαὶ ἐν ταῖς μυλαῖς τῶν μεσσηνίων φρουροῦσαι· καί τινα ἐνέδραν

πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν· οἱ δὲ ἀθηναῖοι καὶ οἱ ξύμμαχοι
τούς τε ἐκ τῆς ἐνέδρας τρέπουσι· καὶ διαφθείρουσι πολλούς· καὶ τῷ
ἐρύματι προσβαλόντες, ἠνάγκασαν ὁμολογία τήν τε ἀκρόπο
λιν παραδοῦναι, καὶ ἐπὶ μεσσήνην ξυστρατεῦσαι· καὶ μετὰ
τοῦτο ἐπελθόντων οἱ μεσσήνιοι τῶν ἀθηναίων καὶ τῶν ξυμμά
χων προσεχώρησαν καὶ αὐτοί· ὁμήρους τε δόντες καὶ τἆλλα
πιστὰ παρασχόμενοι· τοῦ δ' αὐτοῦ θέρους οἱ ἀθηναῖοι τριά
κοντα μὲν ναῦς ἔστειλαν περὶ πελοπόννησον, ὧν ἐστρατήγει
δημοσθένης τε ὁ ἀλκισθένους· καὶ προκλῆς ὁ θεοδώρου· ἑξή
κοντα δὲ ἐς μῆλον· καὶ δισχιλίους ὁπλίτας· ἐστρατήγει δὲ αὐ
τῶν νικίας ὁ νικηράτου· τοὺς γὰρ μηλίους ὄντας νησιώτας καὶ
οὐκ ἐθέλοντας ὑπακούειν οὐδὲ ἐς τὸ αὐτῶν ξυμμαχικὸν ἰέ
ναι, ἐβούλοντο προσαγαγέσθαι· ὡς δὲ αὐτοῖς δῃουμένης
τῆς γῆς οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς μήλου, αὐτοὶ μὲν ἔ
πλευσαν ἐς ὠρωπὸν τῆς πέραν γῆς· ὑπὸ νύκτα δὲ σχόντες
εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς τάναγραν
τῆς βοιωτίας· οἱ δὲ ἐκ τῆς πόλεως πανδημεὶ ἀθηναῖοι, ἱππονί
κου τε τοῦ καλλίου στρατηγοῦντος, καὶ εὐρυμέδοντος τοῦ θου
κλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων· καὶ στρα
τοπεδευσάμενοι ταύτην τὴν ἡμέραν ἐν τῇ τανάγρα, ἐδῄουν καὶ
ἐνηυλίσαντο· καὶ τῇ ὑστεραίᾳ μάχῃ κρατήσαντες τοὺς ἐπεξελ
θόντας τῶν ταναγραίων καὶ θηβαίων τινὰς προσβεβοηθηκότας
καὶ ὅπλα λαβόντες· καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐπ'
οἴκου· ὑπὸ δὲ τὸν χρόνον τοῦτον λακεδαιμόνιοι ἡράκλειαν
τὴν ἐν τραχινίᾳ ἀποικίαν καθίσαντο ἀπὸ τοιᾶσδε γνώμης·
μηλιῆς οἱ ξύμπαντες εἰσὶ μὲν τρία μέρη· παράλιοι· ἱερῆς·
τραχίνιοι· τούτων δὲ τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ οἰ
ταίων ὁμόρων ὄντων, τὸ πρῶτον μελλήσαντες ἀθηναίοις προ
σθεῖναι σφᾶς αὐτούς, δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ ὦσι,

πέμπουσιν ἐς λακεδαίμονα ἑλόμενοι πρεσβευτὴν τισα-
μενόν. ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ δωριεῖς, ἡ μητρόπολις
τῶν λακεδαιμονίων, τὰ αὐτὰ δεόμενοι. ὑπὸ γὰρ τῶν οἰταίων
καὶ αὐτοὶ πολέμῳ ἐφθείροντο. ἀκούσαντες δὲ οἱ λακεδαι-
μόνιοι γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν. τοῖς τε τρα-
χινίοις βουλόμενοι καὶ τοῖς δωριεῦσι τιμωρεῖν. καὶ ἅμα
τοῦ πρὸς ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις
καθίστασθαι. ἐπί τε γὰρ τῇ εὐβοίᾳ ναυτικὸν παρασκευασ-
θῆναι ἄν. ὥστ' ἐκ βραχέος τὴν διάβασιν γίγνεσθαι, τῆς τε
ἐπὶ θρᾴκης παρόδου χρησίμως ἕξειν. τό τε ξύμπαν, ὥρμηντο
τὸ χωρίον κτίζειν. πρῶτον μὲν οὖν ἐν δελφοῖς τὸν θεὸν ἐ-
πήροντο. κελεύοντος δὲ ἐξέπεμψαν τοὺς οἰκήτορας αὐτῶν
τε καὶ τῶν περιοίκων. καὶ τῶν ἄλλων ἑλλήνων τὸν βουλόμενον
ἐκέλευον ἕπεσθαι. πλὴν ἰώνων καὶ ἀχαιῶν. καὶ ἔστιν ὧν
ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς λακεδαιμονίων ἡγήσαντο λέων
καὶ ἀλκίδας καὶ δαμάγων. καταστάντες δὲ ἐτείχισαν τὴν
πόλιν ἐκ καινῆς, ἣ νῦν ἡράκλεια καλεῖται. ἀπέχουσα θερ-
μοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα. τῆς δὲ θαλάσ-
σης εἴκοσι. νεώριά τε παρεσκευάζοντο καὶ εἷρξαν τὸ κατὰ θερ-
μοπύλας κατ' αὐτὸ τὸ στενὸν ὅπως εὐφύλακτα αὐτοῖς εἴη. οἱ δ'
ἀθηναῖοι τῆς πόλεως ταύτης ξυνοικιζομένης, τὸ πρῶτον ἔ-
δεισάν τε καὶ ἐνόμισαν ἐπὶ τῇ εὐβοίᾳ μάλιστα καθίστασθαι. ὅτι
βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ κήναιον τῆς εὐβοίας. ἔπει-
τα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη. οὐ γὰρ ἐγένετο ἀπ' αὐ-
τῆς δεινὸν οὐδέν. αἴτιον δὲ ἦν οἵ τε θεσσαλοὶ ἐν δυνάμει ὄν-
τες τῶν ταύτῃ χωρίων, καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο. φοβούμενοι
μὴ σφίσι μεγάλῃ ἰσχύι παροικῶσιν, ἔφθειρον καὶ δια-
παντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν
γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς. πᾶς γάρ τις λα-

Λακεδαιμονίων οἰκιζόντων, θαρσαλέως ᾔεσαν βέβαιον νομίζοντες τὴν
πόλιν. οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν Λακεδαιμονίων
οἱ ἀφικνούμενοι τά τε πράγματα ἔφθειρον καὶ ἐς ὀλιγανθρω-
πίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλούς, χαλεπῶς τε καὶ
ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι, ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρό-
σοικοι ἐπεκράτησαν. Τοῦ δ' αὐτοῦ θέρους καὶ περὶ τὸν αὐτὸν
χρόνον ἐν ᾧ ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο, καὶ οἱ ἀπὸ τῶν
τριάκοντα νεῶν Ἀθηναῖοι περὶ Πελοπόννησον ὄντες πρῶτον ἐν
Ἐλλομενῷ τῆς Λευκαδίας φρουρούς τινας λοχίσαντες διέφθει-
ραν. ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον, Ἀκαρ-
νᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν ξυνέσποντο, καὶ
Ζακυνθίοις καὶ Κεφαλλῆσι καὶ Κερκυραίων πέντε καὶ δέ-
κα ναυσί. καὶ οἱ μὲν Λευκάδιοι τῆς τε ἔξω γῆς δῃουμένης καὶ
ἐντὸς τοῦ ἰσθμοῦ, ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι καὶ τὸ ἱερὸν τοῦ Ἀπόλ-
λωνος, πλήθει βιαζόμενοι ἡσύχαζον. οἱ δὲ Ἀκαρνᾶνες ἠξί-
ουν Δημοσθένην τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν αὐ-
τούς, νομίζοντες ῥᾳδίως γ' ἂν ἐκπολιορκῆσαι καὶ πόλεως
αἰεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης δ' ἀναπείθεται
κατὰ τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων ὡς καλὸν αὐτῷ στρα-
τιᾶς τοσαύτης ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ
τε πολεμίοις οὖσι. καὶ ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο
ἠπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προσποιήσειν. τὸ γὰρ ἔθνος
μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ
κώμας ἀτειχίστους, καὶ ταύτας διὰ πολλοῦ, καὶ σκευῇ ψιλῇ χρώμενον
οὐ χαλεπὸν ἀπέφαινον πρὶν ξυμβοηθῆσαι καταστραφῆναι. ἐ-
πιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδωτοῖς, ἔπειτα δὲ Ὀφι-
ονεῦσι, καὶ μετὰ τούτους Εὐρυτᾶσιν, ὅπερ μέγιστον μέρος ἐστὶ
τῶν Αἰτωλῶν, ἀγνωστότατοι δὲ γλῶσσαν καὶ ὠμοφάγοι εἰσίν,
ὡς λέγονται. τούτων γὰρ ληφθέντων ῥᾳδίως καὶ τἆλλα προσχωρήσειν

ὁ δὲ, τῶν μεσσηνίων χάριτι πεισθεὶς καὶ μάλιστα νομίσας ἄνευ
τῆς τῶν ἀθηναίων δυνάμεως τοῖς ἠπειρώταις ξυμμάχοις με-
τὰ τῶν αἰτωλῶν δύνασθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ βοιωτοὺς
διὰ λοκρῶν τῶν ὀζολῶν ἐς κυτίνιον τὸ δωρικὸν, ἐν δεξιᾷ
ἔχων τὸν παρνασσὸν ἕως καταβαίη ἐς φωκέας, οἳ προθύ-
μως ἐδόκουν κατὰ τὴν ἀθηναίων ἀεί ποτε φιλίαν, ξυστρα-
τεύσειν ἢ κἂν βίᾳ προσαχθῆναι· καὶ φωκεῦσιν ἤδη ὅμορος
ἡ βοιωτία ἐστίν. ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς
λευκάδος ἀκόντων τῶν ἀκαρνάνων, παρέπλευσεν ἐς σόλλιον.
κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς ἀκαρνᾶσιν, ὡς οὐ προσε-
δέξαντο διὰ τῆς λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς τῇ
λοιπῇ στρατιᾷ κεφαλλῆσι καὶ μεσσηνίοις καὶ ζακυνθίοις
καὶ ἀθηναίων τριακοσίοις ἐπιβάταις τῶν σφετέρων νεῶν,
αἱ γὰρ πεντεκαίδεκα τῶν κερκυραίων ἀπῆλθον νῆες, ἐστρά-
τευσεν ἐπ' αἰτωλούς· ὡρμᾶτο δὲ ἐξ οἰνεῶνος τῆς λοκρίδος.
οἱ δὲ ὀζόλαι οὗτοι λοκροὶ ξύμμαχοι ὄντες. καὶ ἔδει αὐτοὺς
πανστρατιᾷ ἀπαντῆσαι τοῖς ἀθηναίοις ἐς τὴν μεσόγειαν· ὄν-
τες γὰρ ὅμοροι τοῖς αἰτωλοῖς καὶ ὁμόσκευοι, μεγάλη ὠφελία ἐ-
δόκουν ξυστρατεύοντες μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων καὶ χω-
ρίων. αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ διὸς τοῦ νεμείου τῷ ἱε-
ρῷ, ἐν ᾧ ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν,
χρησθὲν αὐτῷ ἐν νεμέᾳ τοῦτο παθεῖν, ἅμα τῇ ἕῳ ἄρας ἐπορ-
εύετο ἐς τὴν αἰτωλίαν. καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ ποτιδανίαν.
καὶ τῇ δευτέρᾳ κροκύλειον· καὶ τῇ τρίτῃ τείχιον· ἔμενέ τε αὐτοῦ
καὶ τὴν λείαν ἐς εὐπάλιον τῆς λοκρίδος ἀπέπεμψε· τὴν γὰρ γνώ-
μην εἶχε τἆλλα καταστρεψάμενος, οὕτως ἐπὶ ὀφιονέας
εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς ναύπακτον ἐπαναχωρήσας,
στρατεῦσαι ὕστερον· τοὺς δὲ αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη
ἡ παρασκευὴ, οὔτε ὅτε τὸ πρῶτον ἐπεβουλεύετο· ἐπειδὴ

τε ὁ στρατὸς ἐσβεβλήκει· πολλῇ ἤδη ἐβοήθουν πάντες· ὥστε καὶ οἱ
ἔσχατοι ὀφιονέων οἱ πρὸς τὸν μηλιακὸν κόλπον καθήκοντες, βωμι-
ῆς καὶ καλλιῆς ἐβοήθησαν· τῷ δὲ δημοσθένει τοιόνδε τι οἱ μεσ
σήνιοι παρῄνουν ὅπερ καὶ τὸ πρῶτον· ἀναδιδάσκοντες αὐτὸν
τῶν αἰτωλῶν ὡς εἴη ῥᾳδία ἡ αἵρεσις· ἰέναι ἐκέλευον ὅτι τάχιστα
ἐπὶ τὰς κώμας· καὶ μὴ μένειν ἕως ἂν ξυμπάντες ἀθροισθέν
τες ἀντιτάξωνται· τὴν δὲ ἐν ποσὶν αἰεὶ πειρᾶσθαι αἱρεῖν· ὁ δὲ τού
τοις τε πεισθεὶς καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ ἠναντιοῦτο,
τοὺς λοκροὺς οὐκ ἀναμείνας οὓς αὐτῷ ἔδει προσβοηθῆσαι, ψιλῶν
γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα, ἐχώρει ἐπὶ αἰγίτιον· καὶ κα
τὰ κράτος αἱρεῖ ἐπιών· ὑπέφευγον γὰρ οἱ ἄνθρωποι καὶ ἐκάθηντο
ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως· ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων ἀπέ
χουσα τῆς θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα· οἱ δὲ αἰτωλοὶ
βεβοηθηκότες ἤδη ἐπὶ τὸ αἰγίτιον, προσέβαλλον τοῖς ἀθη
ναίοις καὶ τοῖς ξυμμάχοις καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλ
λοθεν καὶ ἐσηκόντιζον· καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν ἀθηναίων στρα
τόπεδον, ὑπεχώρουν· ἀναχωροῦσι δὲ ἐπέκειντο· καὶ ἦν ἐπὶ
πολὺ αὕτη ἡ μάχη, διώξεις τε καὶ ἐπαγωγαί· ἐν οἷς ἀμ
φοτέροις ἥσσους ἦσαν οἱ ἀθηναῖοι· μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν
τε τὰ βέλη αὐτοῖς, καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον· το
ξευόμενοι γὰρ οἱ αἰτωλοὶ ἄνθρωποι ψιλοὶ ἀνεστέλλοντο· ἐπειδὴ δὲ τοῦ
τοξάρχου ἀποθανόντος, οὗτοι διεσκεδάσθησαν, καὶ αὐτοὶ ἐκεκ
μήκεσαν· καὶ ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι, οἵ τε αἰτωλοὶ
ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον· καὶ
ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους καὶ χωρία ὧν οὐκ
ἦσαν ἔμπειροι διεφθείροντο· καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν
χρόμων ὁ μεσσήνιος ἐτύγχανε τεθνηκώς· οἱ δὲ αἰτωλοὶ ἐσακοντί
ζοντες πολλοὺς μὲν αὐτοῦ ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦντες αἱ
ροῦντες ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ διέφθειρον· τοὺς δὲ πλείους

τῶν ὁδῶν ἁμαρτάνοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους. ὅθεν διέ
ξοδοι οὐκ ἦσαν πῦρ κομισάμενοι, διεπίμπρασαν· πᾶσά τε ἰδέα
κατέστη φυγῆς τε καὶ ὀλέθρου τῷ στρατοπέδῳ τῶν Ἀθηναίων.
μόλις τε ἐπὶ θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθεν περ
καὶ ὡρμήθησαν οἱ περιγενόμενοι κατέφυγον· ἀπέθανον δὲ τῶν
ξυμμάχων πολλοί· καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι
μάλιστα καὶ ἑκατόν· τοσοῦτοι μὲν τὸ πλῆθος καὶ ἡλικία ἡ αὐ
τή· οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων
πόλεως διεφθάρησαν· ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προ
κλῆς· τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν
Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον, ὕστερον ἐς τὰς
Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν· Δημοσθένης δὲ περὶ Ναύ
πακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη τοῖς πεπραγμένοις φο
βούμενος τοὺς Ἀθηναίους· κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ
περὶ Σικελίαν Ἀθηναῖοι πλεύσαντες ἐς τὴν Λοκρίδα ἐν ἀπο
βάσει τινί, τούς τε προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν· καὶ
περιπόλιον αἱροῦσιν· ὃ ἦν ἐπὶ τῷ Ἄληκι ποταμῷ· τοῦ δ᾽ αὐτοῦ
θέρους Αἰτωλοὶ προπέμψαντες ἐς τε Κόρινθον καὶ ἐς Λακεδαί
μονα πρέσβεις, Τόλοφόν τε τὸν Ὀφιονέα καὶ Βοριάδην τὸν Εὐ
ρυτᾶνα· καὶ Τείσανδρον τὸν Ἀποδωτόν, πείθουσιν ὥστε σφίσι
πέμψαι στρατιὰν ἐπὶ Ναύπακτον διὰ τὴν τῶν Ἀθηναίων ἐπα
γωγήν· καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον
τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων· τούτων ἦσαν πεντακόσιοι
ἐξ Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως, τότε νεοκτίστου οὔσης· Σπαρ
τιάτης δ᾽ ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς· καὶ ξυνηκολούθουν
αὐτῷ Μακάριος καὶ Μενεδάιος οἱ Σπαρτιᾶται· ξυλλεγέντος
δὲ τοῦ στρατεύματος ἐς Δελφούς, ἐπεκηρυκεύετο Εὐρύλοχος
Λοκροῖς τοῖς Ὀζόλαις· διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον.
καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς· ξυνέπρασσον

δὲ μάλιστα αὐτῷ τῶν λοκρῶν, ἀμφισσῆς διὰ τὸ τῶν φωκέων ἔχθος
δεδιότες· καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους καὶ τοὺς ἄλλους ἔ-
πεισαν δοῦναι· φοβουμένους τὸν ἐπιόντα στρατόν· πρῶτον
μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς μυονέας, ταύτῃ γὰρ δυσεμβολω-
τάτη ἡ λοκρίς· ἔπειτα ἰπνέας καὶ μεσσαπίους· καὶ τριταιέας
καὶ χαλαίους καὶ τολοφωνίους καὶ ἡσσίους καὶ οἰανθέας· οὗτοι
καὶ ξυνεστράτευον πάντες. ὀλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν·
ἠκολούθουν δὲ οὔ· καὶ ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους, πρὶν
αὐτῶν εἷλον κώμην πόλιν ὄνομα ἔχουσαν· ἐπειδὴ δὲ παρε-
σκεύαστο πάντα καὶ τοὺς ὁμήρους κατέθετο ἐς κυτίνιον τὸ
δωρικόν· ἐχώρει τῷ στρατῷ ἐπὶ τὴν ναύπακτον διὰ τῶν λο-
κρῶν· καὶ πορευόμενος οἰνεῶνα αἱρεῖ αὐτῶν· καὶ εὐπάλιον·
οὐ γὰρ προσεχώρησαν· γενόμενοι δ' ἐν τῇ ναυπακτίᾳ, καὶ οἱ αἰ-
τωλοὶ ἅμα προσβεβοηθηκότες, ἐδῄουν τὴν γῆν· καὶ τὸ προά-
στειον εἷλον ἀτείχιστον ὄν· ἐπί τε μολύκρειον ἐλθόντες, τὴν κο-
ρινθίων μὲν ἀποικίαν ἀθηναίων δὲ ὑπήκοον, αἱροῦσι· δημο-
σθένης δὲ ὁ ἀθηναῖος, ἔτι γὰρ ἐτύγχανεν ὤν, μετὰ τὰ ἐκ τῆς αἰ-
τωλίας περὶ ναύπακτον, προαισθόμενος τοῦ στρατοῦ καὶ δείσας
περὶ αὐτῆς, ἐλθὼν πείθει ἀκαρνᾶνας χαλεπῶς διὰ τὴν ἐκ τῆς λευ-
κάδος ἀναχώρησιν βοηθῆσαι ναυπάκτῳ· καὶ πέμπουσι μετ'
αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας· οἳ ἐσελθόντες περιεποίη-
σαν τὸ χωρίον· δεινὸν γὰρ ἦν μὴ μεγάλου ὄντος τοῦ τείχους, ὀλί-
γων δὲ τῶν ἀμυνομένων οὐκ ἀντίσχωσιν· εὐρύλοχος δὲ καὶ οἱ
μετ' αὐτοῦ ὡς ᾔσθοντο τὴν στρατιὰν ἐσεληλυθυῖαν· καὶ ἀδύνα-
τον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν· οὐκ ἐπὶ πελοποννήσου·
ἀλλ' ἐπὶ τὴν αἰολίδα τὴν νῦν καλουμένην καλυδῶνα καὶ πλευ-
ρῶνα καὶ ἐς τὰ ταύτῃ χωρία· καὶ ἐς πρόσχιον τῆς αἰτωλίας·
οἱ γὰρ ἀμπρακιῶται ἐλθόντες πρὸς αὐτούς, πείθουσιν ὥστε μεθ'
αὐτῶν ἄργει τε τῷ ἀμφιλοχικῷ καὶ ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπι-

-χειρῆσαι. καὶ ἀκαρνανίᾳ ἅμα. λέγοντες ὅτι ἢν τούτου κρατήσωσι,
πᾶν τὸ ἠπειρωτικὸν λακεδαιμονίοις ξύμμαχον καθεστήξει. καὶ ὁ
μὲν εὐρύλοχος πεισθεὶς καὶ τοὺς αἰτωλοὺς ἀφεὶς, ἡσύχαζε τῷ στρα-
τῷ περὶ τοὺς χώρους τούτους. ἕως τοῖς ἀμπρακιώταις ἐκστρατευ-
σαμένοις περὶ τὸ ἄργος δέοι βοηθεῖν. καὶ τὸ θέρος ἐτελεύτα.
οἱ δ' ἐν τῇ σικελίᾳ ἀθηναῖοι τοῦ ἐπιγιγνομένου χειμῶνος, ἐπελ-
θόντες μετὰ τῶν ἑλλήνων ξυμμάχων καὶ ὅσοι σικελῶν κατὰ
κράτος ἀρχόμενοι ὑπὸ συρακοσίων καὶ ξύμμαχοι ὄντες, ἀ-
ποστάντες αὐτοῖς ἀπὸ συρακοσίων, ξυνεπολέμουν ἐπὶ νῆσσαν
τὸ σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν συρακούσιοι εἶχον,
προσέβαλον. καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, ἀπῇσαν. ἐν δὲ τῇ
ἀναχωρήσει ὑστέροις ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν, ἐπι-
τίθενται οἱ ἐκ τοῦ τειχίσματος συρακούσιοι. καὶ προσπεσόντες τρέ-
πουσί τε μέρος τι τοῦ στρατοῦ καὶ ἀπέκτειναν οὐκ ὀλίγους. καὶ με-
τὰ τοῦτο ἀπὸ τῶν νεῶν ὁ λάχης καὶ οἱ ἀθηναῖοι ἐς τὴν λοκρίδα ἀπο-
βάσεις τινὰς ποιησάμενοι κατὰ τὸν καϊκῖνον ποταμὸν, τοὺς προσ-
βοηθοῦντας λοκρῶν μετὰ προξένου τοῦ καπάτωνος ὡς τρια-
κοσίους μάχῃ ἐκράτησαν καὶ ὅπλα λαβόντες ἀπεχώρησαν. τοῦ
δ' αὐτοῦ χειμῶνος καὶ δῆλον ἐκάθηραν ἀθηναῖοι κατὰ χρησμὸν δή
τινα. ἐκάθηρε μὲν γὰρ καὶ πεισίστρατος ὁ τύραννος πρότερον
οὐχ ἅπασαν αὐτήν. ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου. τότε
δὲ πᾶσα ἐκαθάρθη τρόπῳ τοιῷδε. θῆκαι ὅσαι τῶν τεθνεώτων
ἦσαν ἐν δήλῳ. πάσας ἀνεῖλον. καὶ τὸ λοιπὸν προεῖπον μήτε ἐν-
αποθνήσκειν ἐν τῇ νήσῳ. μήτε ἐντίκτειν. ἀλλ' ἐς τὴν ῥήνειαν δια-
κομίζεσθαι. ἀπέχει δὲ ἡ ῥήνεια τῆς δήλου οὕτως ὀλίγον. ὥστε
πολυκράτης ὁ σαμίων τύραννος ἰσχύσας τινὰ χρόνον ναυτι-
κῷ. καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν ῥήνειαν ἑλών. ἀνέθηκε τῷ ἀ-
πόλλωνι τῷ δηλίῳ. ἁλύσει δήσας πρὸς τὴν δῆλον. καὶ τὴν πεν-
τετηρίδα τότε πρῶτον οἱ ἀθηναῖοι μετὰ τὴν κάθαρσιν ἐποίησαν

γ

ἐς τὴν Δῆλον

τὰ Δήλια· ἦν δέ ποτε καὶ τὸ πάλαι μεγάλη ξύνοδος τῶν Ἰώνων τε
καὶ περικτιόνων νησιωτῶν· ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώ-
ρουν ὥσπερ νῦν ἐς τὰ Ἐφέσια Ἴωνες· καὶ ἀγὼν ἐποιεῖτο αὐ-
τόθι καὶ γυμνικὸς καὶ μουσικός· χορούς τε ἀνῆγον αἱ πόλεις· δη-
λοῖ δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν ἐν τοῖς ἔπεσι τοῖσδε ἅ ἐστιν
ἐκ προοιμίου Ἀπόλλωνος· ἀλλ' ὅτε Δήλῳ Φοῖβε μάλιστά γε
θυμὸν ἐτέρφθης· ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται.
σύν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν· ἔνθα σε πυγ-
μαχίῃ καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ μνησάμενοι τέρπουσιν ὅταν
καθίσωσιν ἀγῶνα· ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν. καὶ ἀγω-
νιούμενοι ἐφοίτων. ἐν τοῖσδε αὖ δηλοῖ ἅ ἐστιν ἐκ τοῦ αὐτοῦ προ-
οιμίου· τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας· ἐτε-
λεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη· ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνή-
σθη· ἀλλ' ἄγε θ' ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν· χαίρετε
δ' ὑμεῖς πᾶσαι· ἐμεῖο δὲ καὶ μετόπισθε μνήσασθ' ὁππότε κέν
τις ἐπιχθονίων ἀνθρώπων· ἐνθάδ' ἀνείρηται ταλαπείριος ἄλλος ἐ-
πελθών· ὦ κοῦραι τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν ἐνθάδε
πωλεῖται. καὶ τέῳ τέρπεσθε μάλιστα· ὑμεῖς δ' εὖ μάλα πᾶ-
σαι ὑποκρίνασθαι ἀφήμως· τυφλὸς ἀνήρ· οἰκεῖ δὲ Χίῳ ἔνι
παιπαλοέσσῃ· τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν ὅτι ἦν καὶ
τὸ πάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ
τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ' ἱερῶν ἔπεμπον.
τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη ὑπὸ ξυμφορῶν
ὡς εἰκός· πρὶν δὴ οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν· καὶ ἱπ-
ποδρομίας ὃ πρότερον οὐκ ἦν· τοῦ δ' αὐτοῦ χειμῶνος Ἀμπρα-
κιῶται ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκ-
στρατεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλί-
ταις· καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν καταλαμβάνουσιν Ὄλπας
τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ· ὅ ποτε Ἀκαρνᾶνες

τειχισάμενοι κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς ἀργείων πόλεως ἐπιθαλασσίας οὔσης, πέντε καὶ εἴκοσι σταδίους μάλιστα· οἱ δὲ ἀκαρνᾶνες, οἱ μὲν ἐς ἄργος ξυνεβοήθουν· οἱ δὲ τῆς ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ κρῆναι καλεῖται φυλάσσοντες τοὺς μετ' εὐρυλόχου πελοποννησίους μὴ λάθωσι πρὸς τοὺς ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο· πέμπουσι δὲ καὶ ἐπὶ δημοσθένη τὸν ἐς τὴν αἰτωλίαν ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται· καὶ ἐπὶ τὰς εἴκοσι ναῦς ἀθηναίων αἳ ἔτυχον περὶ πελοπόννησον οὖσαι, ὧν ἦρχεν ἀριστοτέλης τε ὁ τιμοκράτους, καὶ ἱεροφῶν ὁ ἀντιμνήστου· ἀπέστελον δὲ καὶ ἄγγελον οἱ περὶ τὰς ὄλπας ἀμπρακιῶται ἐς τὴν πόλιν κελεύοντες σφίσι βοηθεῖν πανδημεί· δεδιότες μὴ οἱ μετ' εὐρυλόχου οὐ δύνωνται διελθεῖν τοὺς ἀκαρνᾶνας· καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ μάχη γένηται· ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ᾖ ἀσφαλές· οἱ μὲν οὖν μετ' εὐρυλόχου πελοποννήσιοι ὡς ᾔσθοντο τοὺς ἐν ὄλπαις ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ προσχίου, ἐβοήθουν κατὰ τάχος, καὶ διαβάντες τὸν ἀχελῷον ἐχώρουν δι' ἀκαρνανίας οὔσης ἐρήμου, διὰ τὴν ἐς ἄργος βοήθειαν· ἐν δεξιᾷ μὲν ἔχοντες τὴν στρατίων πόλιν, καὶ τὴν φρουρὰν αὐτῶν· ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην ἀκαρνανίαν· καὶ διελθόντες τὴν στρατίων γῆν, ἐχώρουν διὰ τῆς φυτίας καὶ αὖθις μεδεῶνος παρ' ἔσχατα· ἔπειτα διὰ λιμναίας· καὶ ἐπέβησαν τῆς ἀγραίων οὐκέτι ἀκαρνανίας· φιλίας δὲ σφίσι· λαβόμενοι δὲ τοῦ θυάμου ὄρους, ὅ ἐστιν ἀγραϊκόν ἐχώρουν δι' αὐτοῦ· καὶ κατέβησαν ἐς τὴν ἀργείων νυκτὸς ἤδη· καὶ διεξελθόντες μεταξὺ τῆς τε ἀργείων πόλεως καὶ τῆς ἐπὶ κρήναις ἀκαρνάνων φυλακῆς ἔλαθον· καὶ προσέμιξαν τοῖς ἐν ὄλπαις ἀμπρακιώταις· γενόμενοι δὲ ἀθρόοι ἅμα τῇ ἡμέρᾳ, καθίζουσιν ἐπὶ τὴν μητρόπολιν καλουμένην· καὶ στρατόπεδον

ἐποιήσαντο· ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον
παραγίγνονται, ἐς τὸν ἀμπρακικὸν κόλπον, βοηθοῦντες τοῖς
ἀργείοις· καὶ δημοσθένης μεσσηνίων μὲν ἔχων διακοσίους ὁ-
πλίτας, ἑξήκοντα δὲ τοξότας ἀθηναίων· καὶ αἱ μὲν νῆες περὶ
τὰς ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ ἀκαρνᾶ-
νες καὶ ἀμφιλόχων ὀλίγοι· οἱ γὰρ πλέους ὑπὸ ἀκαρνάνων βίᾳ
κατείχοντο, ἐς τὸ ἄργος ἤδη ξυνεληλυθότες. παρεσκευάζοντο ὡς
μαχούμενοι τοῖς ἐναντίοις· καὶ ἡγεμόνα τοῦ ξυμπαντὸς ξυμ-
μαχικοῦ αἱροῦνται δημοσθένη μετὰ τῶν σφετέρων στρατηγῶν.
ὁ δέ, προσαγαγὼν ἐγγὺς τῆς ὄλπης ἐστρατοπεδεύσατο· χαρά-
δρα δ' αὐτοὺς μεγάλη διεῖργε· καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον·
τῇ δὲ ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην· καὶ μεῖζον γὰρ ἐγέ-
νετο· καὶ περιέσχε τὸ τῶν πελοποννησίων στρατόπεδον· ὁ δημο-
σθένης δείσας μὴ κυκλωθῇ, λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχ-
μώδη· ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους ὡς τετρακοσίους· ὅ-
πως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάν-
τες οὗτοι κατὰ νώτου γίγνωνται· ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις,
ᾖσαν ἐς χεῖρας· δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ μεσ-
σηνίων καὶ ἀθηναίων ὀλίγων· τὸ δὲ ἄλλο ἀκαρνᾶνες ὡς ἕκαστοι τε-
ταγμένοι ἐπεῖχον· καὶ ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί· πελο-
ποννήσιοι δὲ καὶ ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι πλὴν μαντινέ-
ων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες ἀ-
θρόοι ἦσαν· ἀλλ' εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον καὶ οἱ μετ' αὐ-
τοῦ κατὰ μεσσηνίους καὶ δημοσθένην· ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περι-
έσχον τῷ κέρᾳ οἱ πελοποννήσιοι, καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν
ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ
νώτου, προσπίπτουσί τε καὶ τρέπουσιν ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖ-
ναι, φοβηθέντας τε ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος κα-
τέστησαν· ἐπειδὴ γὰρ εἶδον τὸ κατ' εὐρύλοχον καὶ ὃ κράτιστον ἦν δι-

ἀφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ μεσσήνιοι ὄντες
ταύτῃ μετὰ τοῦ δημοσθένους, τὸ πολὺ τοῦ ἔργου ἐπεξῆλθον. οἱ
δὲ ἀμπρακιῶται καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας, ἐνίκων τὸ καθ'
αὑτοὺς καὶ πρὸς τὸ ἄργος ἀπεδίωξαν. καὶ γὰρ μαχιμώτατοι
τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. ἐπαναχωροῦν-
τες δὲ ὡς ἑώρων τὸ πλέον νενικημένον. καὶ οἱ ἄλλοι ἀκαρ-
νᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς ὄλπας.
καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως, καὶ οὐδενὶ κόσμῳ
προσπίπτοντες πλὴν μαντινέων. οὗτοι δὲ μάλιστα ξυντεταγ-
μένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ ἡ μὲν μάχη ἐτελεύ-
τα ἐς ὀψέ. μενεδάιος δὲ τῇ ὑστεραίᾳ εὐρυλόχου τεθνεῶτος,
καὶ μακαρίου, αὐτὸς παρειληφὼς τὴν ἀρχήν, καὶ ἀπορῶν με-
γάλης ἥσσης γεγενημένης, ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται
ἔκ τε γῆς καὶ θαλάσσης ταῖς ἀττικαῖς ναυσὶν ἀποκεκλῃσμένος,
ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον περὶ σπονδῶν
καὶ ἀναχωρήσεως δημοσθένει καὶ τοῖς ἀκαρνάνων στρατηγοῖς.
καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. οἱ δέ, νεκροὺς μὲν ἀπέδοσαν
καὶ τροπαῖον αὐτοὶ ἔστησαν καὶ τοὺς ἑαυτῶν τριακοσίους μά-
λιστα ἀποθανόντας, ἀνείλοντο. ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ
προφανοῦς, οὐκ ἐσπείσαντο ἅπασι. κρύφα δὲ δημοσθένης με-
τὰ τῶν ξυστρατήγων ἀκαρνάνων, σπένδονται μαντινεῦσι καὶ με-
νεδαΐῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν πελοποννησίων. καὶ ὅσοι αὐτῶν
ἦσαν ἀξιολογώτατοι ἀποχωρεῖν κατὰ τάχος. βουλόμενος ψιλῶσαι
τοὺς ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικόν. μά-
λιστα δὲ πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρῄζων ἕλλη-
νας, ὡς καταπροδόντες τὸ ἑαυτοῦ προυργιαίτερον ἐποιήσαντο.
καὶ οἱ μέν, τούς τε νεκροὺς ἀνείλοντο καὶ διὰ τάχους ἔθαπτον ὥσπερ
ὑπῆρχε. καὶ τὴν ἀποχώρησιν κρύφα οἷς ἐδέδοτο, ἐπεβούλευον.
τῷ δὲ δημοσθένει καὶ τοῖς ἀκαρνᾶσιν ἀγγέλλεται τοὺς ἀμπρακιώτας

τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν ὀλπῶν ἀγ-
γελίαν βοηθεῖν διὰ τῶν ἀμφιλόχων βουλομένους τοῖς ἐν ὄλ-
παις ξυμμῖξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων· καὶ πέμ-
πει εὐθὺς τοῦ στρατοῦ μέρος τι προλοχιοῦντας τὰς ὁδοὺς καὶ τὰ
καρτερὰ προκαταληψομένους· καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρε-
σκευάζετο βοηθεῖν ἐπ' αὐτούς· ἐν τούτῳ δ' οἱ μαντινῆς καὶ οἷς
ἔσπειστο πρόφασιν ἐ πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγά-
νων ξυλλογὴν ἐξελθόντες ὑπαπῇσαν κατ' ὀλίγους· ἅμα ξυλ-
λέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν· προκεχωρηκότες δὲ ἤδη
ἄπωθεν τῆς ὄλπης, θᾶσσον ἀπεχώρουν· οἱ δ' ἀμπρακιῶται
καὶ οἱ ἄλλοι ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι ξυνεξελθόντες,
ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ καὶ ἔθεον δρόμῳ
ἐπικαταλαβεῖν βουλόμενοι· οἱ δὲ ἀκαρνᾶνες τὸ μὲν πρῶτον
καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως· καὶ τοὺς
πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν
κωλύοντας καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς, ἠκόντισέ τις νο-
μίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν μαν-
τινῆς καὶ τοὺς πελοποννησίους, ἀφίεσαν· τοὺς δ' ἀμπρα-
κιώτας ἀπέκτεινον· καὶ ἦν πολλὴ ἔρις καὶ ἄγνοια εἴτε ἀμ-
πρακιώτης τίς ἐστιν, εἴτε πελοποννήσιος· καὶ διακοσίους μέν
τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν ἀγραΐδα
ὅμορον οὖσαν· καὶ σαλύνθιος ὁ βασιλεὺς τῶν ἀγραίων, φίλος
ὢν ὑπεδέξατο· οἱ δ' ἐκ τῆς πόλεως ἀμπρακιῶται ἀφικνοῦνται
ἐπὶ ἰδομενήν· ἐστὸν δὲ δύο λόφω ἡ ἰδομενὴ ὑψηλώ· τούτοιν
τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης, οἱ ἀποσταλέντες ὑπὸ τοῦ
δημοσθένους ἀπὸ τοῦ στρατοπέδου, ἔλαθόν τε καὶ ἔφθασαν προ-
καταλαβόντες· τὸν δὲ ἐλάσσω, ἔτυχον οἱ ἀμπρακιῶται προ-
αναβάντες καὶ ηὐλίσαντο· ὁ δὲ δημοσθένης δειπνήσας ἐχώρει·
καὶ τὸ ἄλλο στράτευμα, ἀπὸ ἑσπέρας εὐθύς· αὐτὸς μὲν τὸ ἥμισυ

ἔχων ἐπὶ τῆς ἐσβολῆς· τὸ δ᾽ ἄλλο διὰ τῶν ἀμφιλοχικῶν ὀρῶν·
καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐ-
ναῖς· καὶ οὐ προαισθομένοις τὰ γεγενημένα· ἀλλὰ πολὺ μᾶλλον
νομίσασι τοὺς ἑαυτῶν εἶναι· καὶ γὰρ τοὺς μεσσηνίους πρώτους,
ὁ δημοσθένης προύταξε· καὶ προσαγορεύειν ἐκέλευε δωρί-
δα τε γλῶσσαν ἱέντας· καὶ τοῖς προφύλαξι πίστιν παρεχο-
μένοις· ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει νυκτὸς ἔτι οὔσης·
ὡς οὖν ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσι· καὶ τοὺς μὲν
πολλοὺς αὐτοῦ διέφθειραν· οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυ-
γὴν ὥρμησαν· προκατειλημμένων δὲ τῶν ὁδῶν· καὶ ἅμα
τῶν μὲν ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψι-
λῶν πρὸς ὁπλίτας· τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων
ὅπῃ τράπωνται· ἐσπίπτοντες ἐς τε χαράδρας, καὶ τὰς προλελο-
χισμένας ἐνέδρας, διεφθείροντο· καὶ ἐς πᾶσαν ἰδέαν χω-
ρήσαντες τῆς φυγῆς, ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν
οὐ πολὺ ἀπέχουσαν· καὶ ὡς εἶδον τὰς ἀττικὰς ναῦς παρα-
πλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ προσένευσαν· ἡγησά-
μενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς
ναυσὶν εἰ δεῖ διαφθαρῆναι, ἢ ὑπὸ τῶν βαρβάρων καὶ ἐχθί-
στων ἀμφιλόχων· οἱ μὲν οὖν ἀμπρακιῶται τοιούτῳ τρόπῳ
κακωθέντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν· ἀ-
καρνᾶνες δὲ σκυλεύσαντες τοὺς ἐχθροὺς νεκροὺς καὶ τροπαῖα
στήσαντες, ἀπεχώρησαν ἐς ἄργος· καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε
κῆρυξ ἀπὸ τῶν ἐς ἀγραίους καταφυγόντων ἐκ τῆς ὄλπης ἀμ-
πρακιωτῶν· ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν οὓς ἀπέκτειναν
ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν μαντινέων καὶ
τῶν ὑποσπόνδων, ξυνεξῇσαν ἄσπονδοι· ἰδὼν δὲ ὁ κῆρυξ,
τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως ἀμπρακιωτῶν, ἐθαύμαζε τὸ
πλῆθος, οὐ γὰρ ᾔδει τὸ πάθος· ἀλλ᾽ ᾤετο τῶν μετὰ σφῶν εἶναι

ἤρετο αὐτὸν ὅτι θαυμάζει· καὶ ὁπόσοι αὐτῶν τεθνᾶσι
οἰόμενος ὁ ἐρωτῶν τὸν κήρυκα, εἶναι ἀπὸ τῶν ἐν ἰδομεναῖς·
ὁ δ' ἔφη διακοσίους μάλιστα. ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν· οὔ
κουν τὰ ὅπλα ταυτὶ φαίνεται· ἀλλὰ πλέον ἢ χιλίων. αὖθις δὲ
εἶπεν ἐκεῖνος· οὐκ ἄρα τῶν μεθ' ὑμῶν μαχομένων ἐστίν. ὁ δὲ
ἀπεκρίνατο, εἴπερ γε ὑμεῖς ἐν ἰδομενῇ χθὲς ἐμάχεσθε. ἀλλ'
ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθές· ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει
καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσαντες τῆς
ἀμπρακιωτῶν ἐμαχόμεθα. ὁ δὲ κῆρυξ ὡς ἤκουσε καὶ ἔγνω
ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας καὶ ἐκ
πλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν, ἀπῆλθεν εὐθὺς ἄ
πρακτος. καὶ οὐκ ἀπῄτει τοὺς νεκρούς. πάθος γὰρ τοῦτο μιᾷ
πόλει ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλε
μον τόνδε ἐγένετο. καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων
διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι ὡς πρὸς τὸ μέγεθος
τῆς πόλεως. ἀμπρακίαν μέντοι οἶδα ὅτι εἰ ἐβουλήθησαν, ἀκαρ
νᾶνες καὶ ἀμφίλοχοι ἀθηναίοις καὶ δημοσθένει πειθόμενοι ἐ
ξελεῖν, αὐτοβοεὶ ἂν εἷλον. νῦν δὲ ἔδεισαν μὴ οἱ ἀθηναῖοι ἔχον
τες αὐτὴν χαλεπώτεροι σφίσι πάροικοι ὦσι. μετὰ δὲ ταῦτα τρί
τον μέρος νείμαντες τῶν σκύλων τοῖς ἀθηναίοις, τὰ ἄλλα κα
τὰ πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν ἀθηναίων πλέοντα, ἑά
λω. τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς ἀττικοῖς ἱεροῖς δημοσθένει
ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι. καὶ ἄγων αὐτὰς κατέπλευσε·
καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν ἐκ τῆς αἰτωλίας ξυμφορὰν ἀπὸ
ταύτης τῆς πράξεως, ἀδεεστέρα ἡ κάθοδος. ἀπῆλθον δὲ καὶ
οἱ ἐν ταῖς εἴκοσι ναυσὶν ἀθηναῖοι ἐς ναύπακτον. ἀκαρνᾶνες
δὲ καὶ ἀμφίλοχοι ἀπελθόντων ἀθηναίων, τοῖς ὡς σαλύνθιον
καὶ ἀγραίους καταφυγοῦσιν ἀμπρακιώταις καὶ πελοποννη
σίοις, ἀναχώρησιν ἐσπείσαντο ἐξ οἰνιαδῶν. οἵπερ καὶ μετα
νέστησαν παρὰ σαλύνθιον. καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδ

καὶ ξυμμαχίαν ἐποιήσαντο, ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφί-
λοχοι πρὸς Ἀμπρακιώτας ἐπὶ τοῖσδε· ὥστε μήτε Ἀμπρακιώτας
μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους· μήτε Ἀκαρ-
νᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους· βοηθεῖν δὲ τῇ ἀλλήλων·
καὶ ἀποδοῦναι Ἀμπρακιώτας, ὁπόσα ἢ χωρία ἢ ὁμήρους ἔχουσι·
καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν, πολέμιον ὂν Ἀκαρνᾶσι· ταῦτα ξυν-
θέμενοι, διέλυσαν τὸν πόλεμον· μετὰ δὲ ταῦτα Κορίνθιοι φυ-
λακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν ἐς τριακοσίους
ὁπλίτας καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομι-
ζόμενοι χαλεπῶς διὰ τῆς ἠπείρου ἀφίκοντο· τὰ μὲν κατὰ Ἀμ-
πρακίαν, οὕτως ἐγένετο· οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ
χειμῶνος ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν
μετὰ τῶν Σικελῶν τῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα
τῆς Ἱμεραίας· καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν· ἀναχω-
ρήσαντες δὲ ἐς Ῥήγιον, Πυθόδωρον τὸν Ἰσολόχου Ἀθηναίων
στρατηγόν, καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδοχον· ὧν ὁ Λά-
χης ἦρχεν· οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες, ἔπεισαν τοὺς
Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι ναυσί· τῆς μὲν γὰρ γῆς αὐτῶν
οἱ Συρακούσιοι ἐκράτουν· τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰρ-
γόμενοι, παρεσκευάζοντο ναυτικὸν ξυναγείροντες ὡς οὐ περι-
οψόμενοι· καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι·
ὡς ἀποστελοῦντες αὐτοῖς· ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ
πόλεμον καταλυθήσεσθαι· ἅμα δὲ βουλόμενοι μελέτην τοῦ
ναυτικοῦ ποιεῖσθαι· τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν
Πυθόδωρον ὀλίγαις ναυσί· Σοφοκλέα δὲ τὸν Σωστρατίδου
καὶ Εὐρυμέδοντα τὸν Θουκλέους, ἐπὶ τῶν πλειόνων νεῶν ἀ-
ποπέμψειν ἔμελλον· ὁ δὲ Πυθόδωρος ἤδη ἔχων τὴν τοῦ Λά-
χητος τῶν νεῶν ἀρχήν, ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος
ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἷλε· καὶ νική-
θεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν ἀπεχώρησεν· ἐρρύη δὲ περὶ αὐτὸ

τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς αἴτνης ὥσπερ καὶ τὸ πρότερον
καὶ γῆν τινὰ ἔφθειρε τῶν καταναίων· οἳ ὑπὸ τῇ αἴτνῃ τῷ ὄρει
οἰκοῦσιν· ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ σικελίᾳ· λέγεται δὲ
πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα· ἀφ' οὗ
σικελία ὑπὸ ἑλλήνων οἰκεῖται· τὸ δὲ ξύμπαν τρὶς γεγενῆσθαι
τὸ ῥεῦμα· ἀφ' οὗ σικελία ὑπὸ ἑλλήνων οἰκεῖται· ταῦτα μὲν
κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο· καὶ ἕκτον ἔτος τῷ πολέμῳ
ἐτελεύτα τῷδε, ὃν θουκυδίδης ξυνέγραψεν.

## θουκυδίδου ξυγγραφῆς τέταρτον

Τοῦ δ' ἐπιγιγνομένου θέρους περὶ σίτου ἐκβολήν, συρακοσίων
δέκα νῆες ἐπιπλεύσασαι καὶ λοκρίδες ἴσαι, μεσσήνην τὴν ἐν
σικελίᾳ κατέλαβον αὐτῶν ἐπαγομένων· καὶ ἀπέστη μεσσήνη
ἀθηναίων· ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ μὲν συρακούσιοι
ὁρῶντες προσβολὴν ἔχον τὸ χωρίον τῆς σικελίας καὶ φοβού-
μενοι τοὺς ἀθηναίους μὴ ἐξ αὐτοῦ ὁρμώμενοί ποτε σφίσι
μείζονι παρασκευῇ ἐπέλθωσιν· οἱ δὲ λοκροὶ κατὰ ἔχθος τὸ
ῥηγίνων, βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς καταπολεμεῖν·
καὶ ἐσβεβλήκεσαν ἅμα ἐς τὴν ῥηγίνων οἱ λοκροὶ πανστρατιᾷ·
ἵνα μὴ ἐπιβοηθῶσι τοῖς μεσσηνίοις· ἅμα δὲ καὶ ξυνεπαγόντων
ῥηγίνων φυγάδων· οἳ ἦσαν παρ' αὐτοῖς· τὸ γὰρ ῥήγιον ἐπὶ
πολὺν χρόνον ἐστασίαζε· καὶ ἀδύνατα ἦν ἐν τῷ παρόντι τοὺς
λοκροὺς ἀμύνασθαι· ᾗ καὶ μᾶλλον ἐπετίθεντο· δῃώσαντες δ'
οἱ μὲν λοκροὶ τῷ πεζῷ, ἀπεχώρησαν· αἱ δὲ νῆες μεσσήνην ἐφρού-
ρουν· καὶ ἄλλαι αἱ πληρούμεναι ἔμελλον αὐτόσε ἐγκαθορ-
μισάμεναι, τὸν πόλεμον ἐντεῦθεν ποιήσασθαι· ὑπὸ δὲ τοὺς
αὐτοὺς χρόνους τοῦ ἦρος πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι, πελο-
ποννήσιοι καὶ οἱ ξύμμαχοι ἐσέβαλον ἐς τὴν ἀττικήν· ἡγεῖ-
το δ' αὐτῶν ἆγις ὁ ἀρχιδάμου, λακεδαιμονίων βασιλεύς·

καὶ ἐγκαθορμιζόμενοι ἐδῄουν τὴν γῆν· ἀθηναῖοι δὲ τάς τε τεσσαράκοντα ναῦς ἐς τὴν σικελίαν ἀπέστελλον, ὥσπερ παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπολοίπους εὐρυμέδοντα καὶ σοφοκλέα· πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς σικελίαν· εἶπον δὲ τούτοις καὶ κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ ἐλῃστεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ πελοποννησίων αὐτόσε νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ καὶ λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει, νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα· δημοσθένει δὲ ὄντι ἰδιώτῃ μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ ἀκαρνανίας αὐτῷ δεηθέντι, εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις ἢν βούλοιτο περὶ τὴν πελοπόννησον· καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν λακωνικὴν καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν κερκύρᾳ ἤδη εἰσὶ τῶν πελοποννησίων, ὁ μὲν εὐρυμέδων καὶ ὁ σοφοκλῆς ἠπείγοντο ἐς τὴν κέρκυραν· ὁ δὲ δημοσθένης ἐς τὴν πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς καὶ πράξαντας ἃ δεῖ, τὸν πλοῦν ποιεῖσθαι· ἀντιλεγόντων δὲ κατὰ τύχην χειμὼν ἐπιγενόμενος, κατήνεγκε τὰς ναῦς ἐς τὴν πύλον· καὶ ὁ δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον· ἐπὶ τοῦτο γὰρ ξυνεκπλεῦσαι· καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων, καὶ φύσει καρτερὸν ὄν· καὶ ἐρῆμον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας· ἀπέχει γὰρ σταδίους μάλιστα ἡ πύλος τῆς σπάρτης τετρακοσίους· καὶ ἔστιν ἐν τῇ μεσσηνίᾳ ποτὲ οὔσῃ γῇ· καλοῦσι δὲ αὐτὴν οἱ λακεδαιμόνιοι κορυφάσιον· οἱ δέ, πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς πελοποννήσου, ἢν βούληται καταλαμβάνων τὴν πόλιν δαπανᾶν· τῷ δέ, διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χωρίον ἑτέρου μᾶλλον· λιμένος τε προσόντος· καὶ τοὺς μεσσηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον καὶ ὁμοφώνους τοῖς λακεδαιμονίοις, πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ

ὁρμωμένους. καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας ἔσεσθαι.
ὡς δὲ οὐκ ἔπειθεν οὔτε τοὺς στρατηγοὺς οὔτε τοὺς στρατιώτας, ὕστερον
καὶ τοῖς ταξιάρχοις κοινώσας, ἡσύχαζεν ὑπὸ ἀπλοίας μέχρι
αὐτοῖς τοῖς στρατιώταις σχολάζουσιν, ὁρμὴ ἐνέπεσε περιστᾶσιν
ἐκτειχίσαι τὸ χωρίον. καὶ ἐγχειρήσαντες εἰργάζοντο. σιδήρια μὲν
λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους. καὶ ξυνε
τίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι. καὶ τὸν πηλόν, εἴ που δέοι χρῆ
σθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον ἐγκεκυφότες τε ὡς
μάλιστα μέλλοι ἐπιμένειν. καὶ τὼ χεῖρε ἐς τοὐπίσω ξυμ
πλέκοντες ὅπως μὴ ἀποπίπτοι. παντί τε τρόπῳ ἠπείγοντο φθῆ
ναι τοὺς λακεδαιμονίους, τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι
πρὶν ἐπιβοηθῆσαι. τὸ γὰρ πλέον τοῦ χωρίου αὐτοῦ, καρτε
ρὸν ὑπῆρχε. καὶ οὐδὲν ἔδει τείχους. οἱ δὲ, ἑορτήν τινα ἔ
τυχον ἄγοντες. καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποι
οῦντο, ὡς ὅταν ἐξέλθωσιν, ἢ οὐχ ὑπομενοῦντας σφᾶς
ἢ ῥᾳδίως ληψόμενοι βίᾳ. καί τι αὐτοὺς ὁ στρατὸς ἔτι ἐν
ταῖς ἀθήναις ὢν ἐπέσχεν. τειχίσαντες δὲ οἱ ἀθηναῖοι τὰ πρὸς ἤ
πειρον. καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἕξ, τὸν μὲν δημοσθένη
μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσι. ταῖς δὲ πλείοσι
ναυσὶ, τὸν ἐς τὴν κέρκυραν πλοῦν καὶ σικελίαν ἠπείγοντο. οἱ δ'
ἐν τῇ ἀττικῇ ὄντες πελοποννήσιοι, ὡς ἐπύθοντο τῆς πύλου κα
τειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου. νομίζοντες
μὲν οἱ λακεδαιμόνιοι καὶ ἆγις ὁ βασιλεύς, οἰκεῖον σφίσι τὸ
περὶ τὴν πύλον. ἅμα δὲ πρῲ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι
χλωροῦ ὄντος, ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς. χειμών τε
ἐπιγενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν. ἐπίε
σε τὸ στράτευμα. ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαι
τε θᾶσσον αὐτούς. καὶ βραχυτάτην γενέσθαι τὴν ἐσβολὴν ταύ
την. ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ ἀττικῇ. πολλά

δὲ τὸν αὐτὸν χρόνον σιμωνίδης ὁ τῶν ἀθηναίων στρατηγὸς ἠϊό
να τὴν ἐπὶ θρᾴκης μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν
ξυλλέξας ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων καὶ τῶν
ἐκείνῃ ξυμμάχων πλῆθος, προδιδομένην κατέλαβε· καὶ
παραχρῆμα ἐπιβοηθησάντων χαλκιδέων καὶ βοττιαίων,
ἐξεκρούσθη τε καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν. ἀνα
χωρησάντων δὲ τῶν ἐκ τῆς ἀττικῆς πελοποννησίων, οἱ σπαρ
τιᾶται αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα τῶν περιοίκων, εὐθὺς ἐβο
ήθουν ἐπὶ τὴν πύλον· τῶν δὲ ἄλλων λακεδαιμονίων, βραδυ
τέρα ἐγίγνετο ἡ ἔφοδος, ἄρτι ἀφιγμένων ἀφ᾽ ἑτέρας στρα
τείας· περιήγγελλον δὲ κατὰ τὴν πελοπόννησον βοηθεῖν ὅτι
τάχιστα ἐπὶ πύλον· καὶ ἐπὶ τὰς ἐν τῇ κερκύρᾳ ναῦς σφῶν τὰς
ἑξήκοντα ἔπεμψαν· αἳ ὑπερενεχθεῖσαι τὸν λευκαδίων
ἰσθμὸν καὶ λαθοῦσαι τὰς ἐν ζακύνθῳ ἀττικὰς ναῦς, ἀφι
κνοῦνται ἐπὶ πύλον· παρῆν δὲ ἤδη, καὶ ὁ πεζὸς στρατός·
δημοσθένης δὲ προσπλεόντων ἔτι τῶν πελοποννησίων ὑ
πεκπέμπει φθάσας δύο ναῦς ἀγγεῖλαι εὐρυμέδοντι καὶ τοῖς
ἐν ταῖς ναυσὶν ἐν ζακύνθῳ ἀθηναίοις παρεῖναι, ὡς τοῦ χω
ρίου κινδυνεύοντος· καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον,
κατὰ τὰ ἐπεσταλμένα ὑπὸ δημοσθένους· οἱ δὲ λακεδαιμό
νιοι παρεσκευάζοντο ὡς τῷ τειχίσματι προσβαλοῦντες· κατά
τε γῆν καὶ κατὰ θάλασσαν, ἐλπίζοντες ῥᾳδίως αἱρήσειν
οἰκοδόμημα διὰ ταχέων εἰργασμένον· καὶ ἀνθρώπων ὀλίγων ἐνόντων·
προσδεχόμενοι δὲ καὶ τὴν ἀπὸ τῆς ζακύνθου τῶν ἀττικῶν
νεῶν βοήθειαν, ἐν νῷ εἶχον, ἢν ἄρα μὴ πρότερον ἕλωσι, καὶ
τοὺς ἔσπλους τοῦ λιμένος ἐμφράξαι· ὅπως μὴ ᾖ τοῖς ἀθη
ναίοις ἐφορμίσασθαι ἐς αὐτόν· ἡ γὰρ νῆσος ἡ σφακτηρία
καλουμένη, τόν τε λιμένα παρατείνουσα, καὶ ἐγγὺς ἐπικει
μένη, ἐχυρὸν ποιεῖ· καὶ τοὺς ἔσπλους στενούς· τῇ μὲν δυοῖν

νεοῖν διάπλουν κατὰ τὸ τείχισμα τῶν ἀθηναίων καὶ τὴν πύλον
τῇ δὲ, πρὸς τὴν ἄλλην ἤπειρον ὀκτὼ ἢ ἐννέα· ὑλώδης τε καὶ
ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν· καὶ μέγεθος περὶ πέντε καὶ δέκα
σταδίους μάλιστα· τοὺς μὲν οὖν ἔσπλους ταῖς ναυσὶν ἀντιπρώ
ροις βύζην κλήσειν ἔμελλον· τὴν δὲ νῆσον ταύτην φοβούμενοι
μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται ὁπλίτας διεβίβα
σαν ἐς αὐτήν· καὶ παρὰ τὴν ἤπειρον ἄλλους ἔταξαν· οὕτω γὰρ
τοῖς ἀθηναίοις τήν τε νῆσον πολεμίαν ἔσεσθαι, τήν τε ἤπειρον
ἀπόβασιν οὐκ ἔχουσαν· τὰ γὰρ αὐτῆς τῆς πύλου ἔξω τοῦ ἔσπλου
πρὸς τὸ πέλαγος ἀλίμενα ὄντα, οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠ
φελήσουσι τοὺς αὐτῶν· σφεῖς δὲ ἄνευ τε ναυμαχίας καὶ κινδύ
νου ἐκπολιορκήσειν τὸ χωρίον κατὰ τὸ εἰκός· σίτου τε οὐκ ἐνόν
τος· καὶ δι' ὀλίγης παρασκευῆς κατειλημμένου· ὡς δὲ ἐδόκει
αὐτοῖς ταῦτα καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας, ἀπο
κληρώσαντες ἀπὸ πάντων τῶν λόχων, καὶ διέβησαν μὲν καὶ ἄλλοι
πρότερον κατὰ διαδοχήν· οἱ δὲ τελευταῖοι καὶ ἐγκαταληφθέν
τες, εἴκοσι καὶ τετρακόσιοι ἦσαν· καὶ εἵλωτες οἱ περὶ αὐτούς· ἦρ
χε δὲ αὐτῶν ἐπιτάδης ὁ μολόβρου· δημοσθένης δὲ ὁρῶν τοὺς
λακεδαιμονίους μέλλοντας προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ,
παρεσκευάζετο καὶ αὐτός· καὶ τὰς τριήρεις αἵπερ ἦσαν αὐτῷ
ἀπὸ τῶν καταλειφθεισῶν ἀνασπάσας, ὑπὸ τὸ τείχισμα προσε
σταύρωσε· καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὥπλισεν· ἀσπίσι τε φαύλαις
καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρή
μῳ πορίσασθαι· ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς μεσσηνίων τρια
κοντόρου, καὶ κέλητος ἔλαβον· οἳ ἔτυχον παραγενόμενοι·
ὁπλῖταί τε τῶν μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο
οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων· τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων
καὶ τῶν ὁπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρά,
τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε· προειπὼν ἀμύνασθαι

τὸν πεζὸν ἢν προσβάλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ὁπλίτας
τε καὶ τοξότας ὀλίγους ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν·
ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν, ἐς χω-
ρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα,
σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος. ἐπισπάσασθαι
αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι· οὔτε γὰρ αὐτοὶ ἐλπίζοντές ποτε
ναυσὶ κρατήσεσθαι, οὐκ ἰσχυρὸν ἐτείχιζον· ἐκείνοις τε βιαζο-
μένοις τὴν ἀπόβασιν, ἁλώσιμον τὸ χωρίον γίγνεσθαι· κατὰ τοῦτο
οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας, ἔταξε τοὺς ὁπλίτας
ὡς εἴρξων ἢν δύνηται καὶ παρεκελεύσατο τοιάδε· δημηγ. δημοσθ.

Ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν
ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι· ἐκλογιζό-
μενος ἅπαν τὸ περιεστὼς ἡμᾶς δεινόν· μᾶλλον δὲ ἀπερισκέ-
πτως εὔελπις χωρῆσαι τοῖς ἐναντίοις· καὶ ἐκ τούτων ἂν περι- ὁμόσε χωρῶν
γενόμενος· ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λο-
γισμὸν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσ-
δεῖται· ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλω-
μέν τε μεῖναι καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες, τὰ
ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι· τοῦ τε γὰρ χωρί-
ου τὸ δυσέμβατον ἡμέτερον νομίζω· μενόντων ἡμῶν ξύμμαχον
γίγνεται· ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν ὄν, εὔπορον ἔ-
σται μηδενὸς κωλύοντος· καὶ τὸν πολέμιον δεινότερον ἕ-
ξομεν μὴ ῥᾳδίας αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἢν
καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς ναυσὶ ῥᾷστοί εἰσιν ἀ-
μύνεσθαι· ἀποβάντες δὲ ἐν τῷ ἴσῳ ἤδη, τό τε πλῆθος αὐτῶν
οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ' ὀλίγον γὰρ μαχεῖται καίπερ πο-
λὺ ὂν ἀπορίᾳ τῆς προσορμίσεως· καὶ οὐκ ἐν γῇ στρατός ἐστιν
ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια
δεῖ ἐν τῇ θαλάσσῃ ξυμβῆναι· ὥστε τὰς τούτων ἀπορίας ἀντι-

πολλοὺς ἡγοῦμαι τῶν ἡμετέρων πλήθει· καὶ ἅμα ἀξιῶ ὑμᾶς ἀθηναίους ὄντας καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν· ὅτι εἴ τις ὑπομένοι καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο· καὶ αὐτοὺς νῦν μεῖναί τε καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν σῴζειν ἡμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον. Τοσαῦτα τοῦ δημοσθένους παρακελευσαμένου, οἱ ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον, καὶ ἐπικαταβάντες, ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν· οἱ δὲ λακεδαιμόνιοι ἄραντες τῷ τε κατὰ γῆν στρατῷ προσέβαλον τῷ τειχίσματι· καὶ ταῖς ναυσὶν ἅμα οὔσαις τεσσαράκοντα καὶ τρισί· ναύαρχος δὲ αὐτῶν ἐπέπλει θρασυμηλίδας ὁ κρατησικλέους σπαρτιάτης· προσέβαλλε δὲ ᾗπερ ὁ δημοσθένης προσεδέχετο· καὶ οἱ μὲν ἀθηναῖοι ἀμφοτέρωθεν ἔκ τε γῆς καὶ θαλάσσης ἠμύνοντο· οἱ δέ, κατ' ὀλίγας ναῦς διελόμενοι διότι οὐκ ἦν πλέοσι προσσχεῖν, καὶ ἀναπαύοντες ἐν τῷ μέρει τοὺς ἐπίπλους ἐποιοῦντο· προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ, ὅπως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα· πάντων δὲ φανερώτατος ὁ βρασίδας ἐγένετο· τριηραρχῶν γὰρ καὶ ὁρῶν τοῦ χωρίου χαλεποῦ ὄντος, τοὺς τριηράρχους καὶ κυβερνήτας, εἴ που καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσιν, ἐβόα λέγων ὡς οὐκ εἰκὸς εἴη ξύλων φειδομένους, τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιιδεῖν πεποιημένους τεῖχος· ἀλλὰ τάς τε σφετέρας ναῦς βιαζομένους τὴν ἀπόβασιν, καταγνύναι ἐκέλευε· καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι· ὀκείλαντας δὲ καὶ ἀποβάντας παντὶ τρόπῳ, τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι· καὶ ὁ μέν, τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχε καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν

ἐχώρει ἐπὶ τὴν ἀποβάθραν· καὶ πειρώμενος ἀποβαίνειν ἀ-
νεκόπη ὑπὸ τῶν ἀθηναίων· καὶ τραυματισθεὶς πολλὰ ἐλι-
ποψύχησέ τε· καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν, ἡ
ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν· καὶ ἐξενεχθείσης αὐτῆς
ἐς τὴν γῆν οἱ ἀθηναῖοι ἀνελόμενοι, ὕστερον πρὸς τὸ τροπαῖον
ἐχρήσαντο ὃ ἔστησαν τῆς προσβολῆς ταύτης· οἱ δ' ἄλλοι προ-
θυμοῦντο μὲν, ἀδύνατοι δ' ἦσαν ἀποβῆναι· τῶν τε χωρίων χα-
λεπότητι καὶ τῶν ἀθηναίων μενόντων καὶ οὐδὲν ὑποχωρούντων·
ἐς τοῦτό τε περιέστη ἡ τύχη, ὥστε ἀθηναίους μὲν ἐκ γῆς τε
καὶ ταύτης λακωνικῆς ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας·
λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν πολεμίαν
οὖσαν· ἐπ' ἀθηναίους ἀποβαίνειν· ἐπὶ πολὺ γὰρ ἐποίει τῆς
δόξης ἐν τῷ τότε· τοῖς μὲν ἠπειρώταις εἶναι μάλιστα, καὶ τὰ
πεζὰ κρατίστοις· τοῖς δὲ θαλασσίοις τε καὶ ταῖς ναυσὶ πλεῖ-
στον προύχειν· ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας
μέρος τι προσβολὰς ποιησάμενοι, ἐπέπαυντο· καὶ τῇ τρί-
τῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινὰς ἐς ἀ-
σίνην· ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν
ἀποβάσεως δὲ μάλιστα οὔσης, ἑλεῖν μηχαναῖς· ἐν τούτῳ δὲ
αἱ ἐκ τῆς ζακύνθου νῆες τῶν ἀθηναίων παραγίνονται τεσσα-
ράκοντα· προσεβοήθησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐ-
τοῖς τῶν ἐκ ναυπάκτου καὶ χῖαι τέσσαρες· ὡς δὲ εἶδον
τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων, τήν τε νῆσον, ἔν τε τῷ λι-
μένι οὔσας τὰς ναῦς, καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες ὅπῃ
καθορμίσωνται, τότε μὲν ἐς πρωτὴν τὴν νῆσον, ἣ οὐ πολὺ ἀ-
πέχει ἐρῆμος οὖσα, ἔπλευσαν καὶ ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ
παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίαν, ἀνήγοντο· ἢν μὲν
ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν, εἰ δὲ μή,
ὡς αὐτοὶ ἐπεσπλευσούμενοι· καὶ οἱ μὲν, οὔτε ἀντανήγοντο

οὔτε ἃ διενοήθησαν φράξαι τοὺς ἔσπλους ἔτυχον ποιήσαντες.
οὔτε ἀναχάζοντες δὲ ἐν τῇ γῇ τάς τε ναῦς ἐπλήρουν καὶ παρεσ-
κευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι ὄντι οὐ σμικρῷ
ναυμαχήσοντες. οἱ δ' Ἀθηναῖοι γνόντες καθ' ἑκάτερον τὸν
ἔσπλουν, ὥρμησαν ἐπ' αὐτούς· καὶ τὰς μὲν πλείους καὶ με-
τεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους προσπεσόντες ἐς
φυγὴν κατέστησαν· καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος ἔ-
τρωσαν μὲν πολλάς, πέντε δὲ ἔλαβον· καὶ μίαν αὐτοῖς ἀν-
δράσι· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον·
αἱ δὲ πληρούμεναι ἔτι πρὶν ἀνάγεσθαι, ἐκόπτοντο· καὶ ἀ-
ναδούμενοι καὶ τινὰς κενὰς εἷλκον τῶν ἀνδρῶν ἐς φυγὴν
ὡρμημένων. ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι καὶ περιαλγοῦντες
τῷ πάθει ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νή-
σῳ, παρεβοήθουν· καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν
τοῖς ὅπλοις. ἀνθεῖλκον ἐπιλαμβανόμενοι τῶν νεῶν· καὶ
ἐν τούτῳ κεκωλῦσθαι ἐδόκει ἕκαστος, ᾧ μή τινι καὶ αὐτὸς ἔρ-
γῳ παρῆν· ἐγένετό τε ὁ θόρυβος μέγας καὶ ἀντηλλαγμένος
τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι
ὑπὸ προθυμίας καὶ ἐκπλήξεως ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς
ἐναυμάχουν· οἵ τε Ἀθηναῖοι κρατοῦντες καὶ βουλόμενοι
τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν ἀπὸ νεῶν ἐπε-
ζομάχουν. πολύν τε πόνον παρασχόντες ἀλλήλοις καὶ τραυ-
ματίσαντες, διεκρίθησαν· καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς
ναῦς πλὴν τῶν τὸ πρῶτον ληφθεισῶν διέσωσαν. καταστάντες
δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον, οἱ μὲν τροπαῖόν τε ἔστησαν·
καὶ νεκροὺς ἀπέδοσαν· καὶ ναυάγια ἀπέδοσαν καὶ τὴν νῆ-
σον εὐθὺς περιέπλεον· καὶ ἐν φυλακῇ εἶχον ὡς τῶν ἀνδρῶν
ἀπειλημμένων· οἱ δὲ ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι καὶ ἀπὸ πάντων
βεβοηθηκότες ἤδη, ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ. ἐς δὲ τὴν

σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ πύλον, ἔδοξεν αὐτοῖς
ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον
βουλεύειν παραχρῆμα ὁρῶντας, ὅ,τι ἂν δοκῇ· καὶ ὡς εἶδον
ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι· καὶ κινδυνεύειν οὐκ ἐ-
βούλοντο ἢ ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς, ἢ ὑπὸ πλήθους βιασθέν-
τας κρατηθῆναι, ἔδοξεν αὐτοῖς πρὸς τοὺς στρατηγοὺς τῶν ἀθη-
ναίων ἢν ἐθέλωσι σπονδὰς ποιησαμένους τὰ περὶ πύλον· ἀπο-
στεῖλαι ἐς τὰς ἀθήνας πρέσβεις περὶ ξυμβάσεως· καὶ τοὺς ἄν-
δρας πειρᾶσθαι ὡς τάχιστα κομίσασθαι· δεξαμένων δὲ τῶν
στρατηγῶν τὸν λόγον, ἐγίγνοντο σπονδαὶ τοιαίδε· λακεδαι-
μονίους μὲν τὰς ναῦς ἐν αἷς ἐναυμάχησαν, καὶ τὰς ἐν τῇ
λακωνικῇ πάσας ὅσαι ἦσαν μακραί, παραδοῦναι, κομί-
σαντας ἐς πύλον ἀθηναίοις· καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τει-
χίσματι· μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν· ἀθηναίους δὲ
τοῖς ἐν τῇ νήσῳ ἀνδράσι, σῖτον ἐᾶν τοὺς ἐν τῇ ἠπείρῳ λακεδαι-
μονίους ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον, δύο χοίνικας
ἑκάστῳ ἀττικὰς ἀλφίτων· καὶ δύο κοτύλας οἴνου καὶ κρέας·
θεράποντι δὲ τούτων ἡμίσεα· ταῦτα δὲ ὁρώντων τῶν ἀθηναίων
ἐσπέμπειν· καὶ πλοῖον μηδὲν ἐσπλεῖν λάθρα· φυλάσσειν
δὲ καὶ τὴν νῆσον ἀθηναίους μηδὲν ἧσσον ὅσα μὴ ἀποβαί-
νοντας· καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ πελοποννησίων στρατῷ·
μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν· ὅτι δ᾽ ἂν τούτων πα-
ραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς·
ἐσπεῖσθαι δὲ αὐτὰς μέχρις οὗ ἐπανέλθωσιν ἐκ τῶν ἀθηνῶν
λακεδαιμονίων οἱ πρέσβεις· ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει ἀ-
θηναίους· καὶ πάλιν κομίσαι· ἐλθόντων δὲ τάς τε σπονδὰς
λελύσθαι ταύτας καὶ τὰς ναῦς ἀποδοῦναι ἀθηναίους ὁμοί-
οίας ἂν παραλάβωσιν· αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο·
καὶ αἱ νῆες παρεδόθησαν οὖσαι περὶ ἑξήκοντα· καὶ οἱ πρέσβεις

ἀπεστάλκασιν· ἀφικόμενοι δὲ ἐς τὰς ἀθήνας, ἔλεξαν τοιάδε· ἔπεμψαν ἡμᾶς λακεδαιμόνιοι ὦ ἀθηναῖοι περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας· ὅτι ἂν ὑμῖν ὠφέλιμον ὂν τὸ αὐτὸ πείθωμεν· καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν ὡς ἐκ τῶν παρόντων κόσμον μάλιστα μέλλοι οἴσειν· τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν· ἀλλ' ἐπιχώριον ὂν ἡμῖν οὗ μὲν βραχεῖς ἀρκῶσι, μὴ πολλοῖς χρῆσθαι· πλέοσι δὲ ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν προύργου λόγοις τὸ δέον πράσσειν· λάβετε δὲ αὐτοὺς μὴ πολεμίως μηδ' ὡς ἀξύνετοι διδασκόμενοι· ὑπόμνησιν δὲ τοῦ καλῶς βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι· ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι· ἔχουσι μὲν ὧν κρατεῖτε· προσλαβοῦσι δὲ τιμὴν καὶ δόξαν· καὶ μὴ παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται, διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι· οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοι εἰσὶ καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις· ὃ τῇ τε ὑμετέρᾳ πόλει δι' ἐμπειρίαν καὶ ἡμῖν μάλιστα ἐκ τοῦ εἰκότος προσείη· γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν ξυμφορὰς ἀπιδόντες οἵτινες ἀξίωμα μέγιστον τῶν ἑλλήνων ἔχοντες, ἥκομεν παρ' ὑμᾶς· πρότερον αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι, ἐφ' ἃ νῦν ἀφιγμένοι ὑμᾶς αἰτούμεθα· καίτοι οὔτε δυνάμεως ἐνδείᾳ ἐπάθομεν αὐτό, οὔτε μείζονος προσγενομένης ὑβρίσαντες. ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφαλέντες ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει· ὥστε οὐκ εἰκὸς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν προσγεγενημένων, καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἔσεσθαι· σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο· καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο· τόν τε

πόλεμον νομίσωσι μὴ καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται με-
ταχειρίζειν, τούτῳ ξυνεῖναι· ἀλλ' ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται.
καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες. διὰ τὸ μὴ τῷ ὀρθουμένῳ
αὐτοῦ πιστεύοντες ~~πιστεύοντες~~ ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν μάλιστ'
ἂν καταλύοιντο· ὃ νῦν ὑμῖν ὦ Ἀθηναῖοι καλῶς ἔχει πρὸς ἡμᾶς
πρᾶξαι· καὶ μή ποτε ὕστερον ἢν ἄρα μὴ πειθόμενοι σφαλῆτε
ἃ πολλὰ ἐνδέχεται, νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα
κρατῆσαι, ἐξὸν ἀκίνδυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως
ἐς τὸ ἔπειτα καταλιπεῖν· Λακεδαιμόνιοι δὲ προκαλοῦνται
ὑμᾶς ἐς σπονδὰς καὶ διάλυσιν πολέμου· διδόντες μὲν εἰρή-
νην καὶ ξυμμαχίαν· καὶ ἄλλην φιλίαν καὶ οἰκειότητα πολλὴν
ἐς ἀλλήλους ὑπάρχειν· ἀνταιτοῦντες δὲ τοὺς ἐκ τῆς νήσου ἄνδρας
καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις μὴ διακινδυνεύεσθαι·
εἴτε βίᾳ διαφύγοιεν παρατυχούσης τινὸς σωτηρίας, εἴτε καὶ ἐκ-
πολιορκηθέντες μᾶλλον ἂν χειρωθεῖεν· νομίζομέν τε τὰς με-
γάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀντα-
μυνόμενός τις καὶ ἐπικρατήσας τὰ πλείω τοῦ πολέμου κατ' ἀ-
νάγκην ὅρκοις ἐγκαταλαμβάνων μὴ ἀπὸ τοῦ ἴσου ξυμβῇ·
ἀλλ' ἢν παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ ἐπιεικὲς καὶ ἀρετῇ αὐτὸ
νικήσας παρὰ ἃ προσεδέχετο, μετρίως ξυναλλαγῇ· ὀφείλων
γὰρ ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθείς, ἀλλ' ἀνταπο-
δοῦναι ἀρετήν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν οἷς ξυ-
νέθετο· καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν
οἱ ἄνθρωποι, ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύκασί τε τοῖς μὲν
ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς· πρὸς δὲ τὰ ὑπερ-
αυχοῦντα, καὶ παρὰ γνώμην διακινδυνεύειν· ἡμῖν δὲ καλῶς
εἴπερ ποτὲ ἔχει ἀμφοτέροις ἡ ξυναλλαγή· πρίν τι ἀνήκεστον
διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν· ἐν ᾧ ἀνάγκη ἀίδιον
ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν· ὑμᾶς δὲ στερηθῆναι

ἣν νῦν προκαλούμεθα· ἔτι δ' ὄντων ἀπείρων· καὶ ἡμῖν μὲν δόξης καὶ ὑμετέρας φιλίας προσγιγνομένης· ἡμῖν δὲ πρὸ αἰσχροῦ τινὸς ξυμφορᾶς μετρίως κατατιθεμένης διαλλαγῶμεν· καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα· καὶ τοῖς ἄλλοις ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν· οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται· πολεμοῦνται μὲν γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων· καταλύσεως δὲ γενομένης, ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοί ἐστε, τὴν χάριν ὑμῖν προσθήσουσιν· ἤν τε γνῶτε, λακεδαιμονίοις ὑμῖν ἔξεστιν ὑμῖν φίλους γενέσθαι βεβαίως αὐτῶν τε προκαλεσαμένων· χαρισαμένοις τε μᾶλλον ἢ βιασαμένοις· καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε ὅσα εἰκὸς εἶναι· ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ λεγόντων, τό γε ἄλλο ἑλληνικὸν ἴστε ὅτι ὑποδεέστερον ὂν τὰ μέγιστα τιμήσει·

οἱ μὲν οὖν λακεδαιμόνιοι τοσαῦτα εἶπον νομίζοντες τοὺς ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ σπονδῶν μὲν ἐπιθυμεῖν σφῶν δὲ ἐναντιουμένων κωλύεσθαι· διδομένης δὲ εἰρήνης δέξασθαί τε ἀσμένως· καὶ τοὺς ἄνδρας ἀποδώσειν· οἱ δὲ τὰς μὲν σπονδὰς ἔχοντες τοὺς ἄνδρας ἐν τῇ νήσῳ, ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι ὁπόταν βούλωνται ποιεῖσθαι πρὸς αὐτούς· τοῦ δὲ πλέονος ὠρέγοντο· μάλιστα δὲ αὐτοὺς ἐνῆγε κλέων ὁ κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν χρόνον ὤν· καὶ τῷ πλήθει πιθανώτατος· καὶ ἔπεισεν ἀποκρίνασθαι· ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ νήσῳ παραδόντας, πρῶτον κομισθῆναι ἀθήναζε· ἐλθόντων δὲ ἀποδόντας λακεδαιμονίους νίσαιαν καὶ πηγὰς καὶ τροιζῆνα καὶ ἀχαΐαν ἃ οὐ πολέμῳ ἔλαβον· ἀλλὰ ἀπὸ τῆς προτέρας ξυμβάσεως, ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφορὰς καὶ ἐν τῷ τότε δεομένων τι μᾶλλον σπονδῶν· κομίσασθαι τοὺς ἄνδρας καὶ σπονδὰς ποιήσασθαι ὁπόσον ἂν χρόνον δοκῇ ἀμφοτέροις· οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν, οὐδὲν ἀντεῖπον·

ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι· οἵτινες λέγοντες
καὶ ἀκούοντες περὶ ἑκάστου ξυμβήσονται κατὰ ἡσυχίαν. ὅτι
ἂν πείθωσιν ἀλλήλους· κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο
λέγων· γιγνώσκειν μὲν δὲ καὶ πρότερον οὐδὲν ἐν νῷ ἔχοντας δί-
καιον αὐτούς· σαφὲς δ' εἶναι καὶ νῦν. οἵτινες τῷ μὲν πλήθει
οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξύνεδροι βού-
λονται γίγνεσθαι· ἀλλ' εἴ τι ὑγιὲς διανοοῦνται, λέγειν ἐκέ-
λευσεν ἅπασιν· ὁρῶντες δὲ οἱ λακεδαιμόνιοι οὔτε σφίσιν
οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς, ἐδόκει
αὐτοῖς ξυγχωρεῖν μὴ ἐς τοὺς ξυμμάχους εἰπόντες διαβληθῶσι.
καὶ οὐ τυχόντες, οὔτε τοὺς ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας
ἃ προυκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν ἀθηνῶν ἄπρακτοι·
ἀφικομένων δὲ αὐτῶν, διελέλυντο εὐθὺς αἱ σπονδαὶ αἱ
περὶ πύλον· καὶ τὰς ναῦς οἱ λακεδαιμόνιοι ἀπῄτουν, καθά-
περ ξυνέκειτο· οἱ δ' ἀθηναῖοι ἐγκλήματα ἔχοντες, ἐπιδρο-
μήν τε τῷ τειχίσματι παράσπονδον καὶ ἄλλα οὐκ ὀλίγα δο-
κοῦντα εἶναι, οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι ὅτι δὴ εἴρη-
το ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς· οἱ δὲ
λακεδαιμόνιοι ἀντέλεγόν τε καὶ ἀδίκημα ἐπικαλέσαντες
τὸ τῶν νεῶν, ἀπελθόντες ἐς πόλεμον καθίσταντο· καὶ τὰ περὶ
πύλον ὑπ' ἀμφοτέροις ἐπολεμεῖτο· ἀθηναῖοι μὲν δυοῖν
νεοῖν ἐναντίαιν, αἰεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέρας·
τῆς δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν· πλὴν τὰ πρὸς τὸ πέ-
λαγος ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν ἀθηνῶν αὐτοῖς εἴκοσι νῆ-
ες ἀφίκοντο ἐς τὴν φυλακήν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα
ἐγένοντο· πελοποννήσιοι δὲ ἔν τε τῇ ἠπείρῳ στρατοπεδευό-
μενοι, καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες και-
ρὸν εἴ τις παραπέσοι ὥστε τοὺς ἄνδρας σῶσαι· ἐν τούτῳ δὲ οἱ
ἐν τῇ σικελίᾳ συρακούσιοι καὶ οἱ ξύμμαχοι, πρὸς ταῖς ἐν

μεσσήνην φρουροῦντες ναυσὶ τὸ ἄλλο ναυτικὸν ὃ παρεσκευά
ζοντο προσκομιοῦντες, τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς μεσσή
νης· καὶ μάλιστα ἐνῆγον οἱ λοκροὶ τῶν ῥηγίνων κατὰ ἔχθραν
καὶ αὐτοὶ δὲ ἐσεβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν· καὶ
ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο· ὁρῶντες τοῖς ἀθηναί
οις τὰς μὲν παρούσας ὀλίγας ναῦς· ταῖς δὲ πλέοσι καὶ μελ
λούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον πολιορκεῖσθαι· εἰ
γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ ῥήγιον ἤλπιζον πεζῇ τε καὶ
ναυσὶν ἐφορμοῦντες ῥᾳδίως χειρώσεσθαι· καὶ ἤδη σφῶν ἰσ
χυρὰ τὰ πράγματα γίγνεσθαι· ξύνεγγυς γὰρ κειμένου τοῦ τε
ῥηγίου ἀκρωτηρίου τῆς ἰταλίας τῆς τε μεσσήνης τῆς σικελίας·
τοῖς ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν καὶ τοῦ πορθμοῦ κρα
τεῖν· ἔστι δὲ ὁ πορθμός, ἡ μεταξὺ ῥηγίου θάλασσα καὶ μεσ
σήνης· ᾗπερ βραχύτατον σικελία τῆς ἠπείρου ἀπέχει· καὶ
ἔστιν ἡ χάρυβδις κληθεῖσα τοῦτο, ᾗ ὀδυσσεὺς λέγεται δια
πλεῦσαι· διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν τοῦ τε
τυρσηνικοῦ καὶ τοῦ σικελικοῦ ἐσπίπτουσα ἡ θάλασσα ἐς αὐ
τὸ καὶ ῥοώδης οὖσα, εἰκότως χαλεπὴ ἐνομίσθη· ἐν τούτῳ οὖν
τῷ μεταξὺ οἱ συρακούσιοι καὶ οἱ ξύμμαχοι, ναυσὶν ὀλίγῳ
πλέοσιν ἢ τριάκοντα, ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας
ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος· ἀντεπαναγόμενοι
πρός τε ἀθηναίων ναῦς ἑκκαίδεκα καὶ ῥηγίνας ὀκτώ· καὶ
νικηθέντες ὑπὸ τῶν ἀθηναίων διὰ τάχους, ἀπέπλευσαν ὡς
ἕκαστοι ἔτυχον ἐς τὰ οἰκεῖα στρατόπεδα· τότε ἐν τῇ μεσσήνῃ
καὶ ἐν τῷ ῥηγίῳ μίαν ναῦν ἀπολέσαντες· καὶ νὺξ ἐπεγί
νετο τῷ ἔργῳ· μετὰ δὲ τοῦτο οἱ μὲν λοκροὶ ἀπῆλθον ἐκ τῆς
ῥηγίνων· ἐπὶ δὲ τὴν πελωρίδα τοῖς μεσσηνίοις συλλεγεῖσαι
αἱ τῶν συρακοσίων καὶ ξυμμάχων νῆες, ὥρμουν· καὶ ὁ
πεζὸς αὐτοῖς παρῆν· προσπλεύσαντες δὲ οἱ ἀθηναῖοι καὶ

ῥηγῖνοι, ὁρῶντες τὰς ναῦς ἐνέβαλον· καὶ χειρὶ σιδηρᾷ ἐ-
πιβληθείσῃ, μίαν ναῦν αὐτοὶ ἀπώλεσαν τῶν ἀνδρῶν ἀπο-
κολυμβησάντων· καὶ μετὰ τοῦτο τῶν συρακοσίων ἐμβάν-
των ἐς τὰς ναῦς καὶ παραπλεόντων ἀπὸ κάλω ἐς τὴν μεσ-
σήνην, αὖθις προσβαλόντες ἀθηναῖοι, ἀποσιμωσάντων
ἐκείνων καὶ προεμβαλόντων ἑτέραν ναῦν, ἀπολλύουσι·
καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ,
οὐκ ἔλασσον ἔχοντες οἱ συρακόσιοι, παρεκομίσθησαν ἐς
τὸν ἐν τῇ μεσσήνῃ λιμένα· καὶ οἱ μὲν ἀθηναῖοι καμαρίνης
ἀγγελθείσης προδίδοσθαι συρακουσίοις, ὑπ' ἀρχίου καὶ τῶν
μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε· μεσσήνιοι δ' ἐν τούτῳ κατὰ γῆν
καὶ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ νάξον τὴν χαλκιδικὴν
ὅμορον οὖσαν· καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες
τοὺς ναξίους, ἐδῄουν τὴν γῆν· τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ
περιπλεύσαντες κατὰ τὸν ἀκεσίνην ποταμόν, τὴν γῆν ἐδῄουν·
τῷ δὲ πεζῷ πρὸς τὴν πόλιν ἐσέβαλλον· ἐν τούτῳ δὲ οἱ σικελοὶ
ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς
μεσσηνίους· καὶ οἱ νάξιοι ὡς εἶδον, θαρσήσαντες καὶ πα-
ρακελευσάμενοι ἐν ἑαυτοῖς ὡς οἱ λεοντῖνοι σφίσι καὶ οἱ
ἄλλοι ἕλληνες ξύμμαχοι ἐς τιμωρίαν ἐπέρχονται· ἐκδραμόν-
τες ἄφνω ἐκ τῆς πόλεως προσπίπτουσι τοῖς μεσσηνίοις καὶ
τρέψαντες, ἀπέκτειναν τε ὑπὲρ χιλίους· καὶ οἱ λοιποὶ χαλε-
πῶς ἀπεχώρησαν ἐπ' οἴκου· καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁ-
δοῖς ἐπιπεσόντες, τοὺς πλείστους διέφθειραν· καὶ αἱ νῆες
σχοῦσαι ἐς τὴν μεσσήνην, ὕστερον ἐπ' οἴκου ἕκασται διεκρί-
θησαν· λεοντῖνοι δὲ εὐθὺς καὶ οἱ ξύμμαχοι μετὰ ἀθηναίων,
ἐς τὴν μεσσήνην ὡς κεκακωμένην ἐστράτευον· καὶ προσ-
βάλλοντες οἱ μὲν ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν
ἐπείρων· ὁ δὲ πεζὸς ἐς τὴν πόλιν· ἐπεκδρομὰς δὲ ποιη-

ωρμημένοι οἱ μεσσήνιοι καὶ λοκρῶν τινες μετὰ τοῦ δημοτέλους,
οἳ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροὶ ἐξαπιναίως
προσπεσόντες, τρέπουσι τοῦ στρατεύματος τῶν λεοντίνων τὸ πολὺ,
καὶ ἀπέκτειναν πολλούς· ἰδόντες δὲ οἱ ἀθηναῖοι καὶ ἀποβάν
τες ἀπὸ τῶν νεῶν· ἐβοήθουν· καὶ κατεδίωξαν τοὺς μεσσηνίους
πάλιν ἐς τὴν πόλιν τεταραγμένοις ἐπιγενόμενοι· καὶ τροπαῖ
ον στήσαντες ἀνεχώρησαν ἐς τὸ ῥήγιον· μετὰ δὲ τοῦτο οἱ μὲν
ἐν σικελίᾳ ἕλληνες ἄνευ τῶν ἀθηναίων κατὰ γῆν ἐστράτευον
ἐπ᾽ ἀλλήλους· ἐν δὲ τῇ πύλῳ ἔτι ἐπολιόρκουν τοὺς λακε
δαιμονίους οἱ ἀθηναῖοι· καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν
πελοποννησίων κατὰ χώραν ἔμενεν· ἐπίπονος δ᾽ ἦν τοῖς
ἀθηναίοις ἡ φυλακή, σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ
ἦν κρήνη ὅτι μὴ μία ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς πύλου· καὶ
αὕτη οὐ μεγάλη· ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι
ἐπὶ τῇ θαλάσσῃ, ἔπινον οἷον εἰκὸς ὕδωρ· στενοχωρία τε ἐν
ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο· καὶ τῶν νεῶν οὐκ ἐχου
σῶν ὅρμον, αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος· αἱ
δὲ μετέωροι ὥρμουν· ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖ
χε παρὰ λόγον ἐπιγιγνόμενος· οὓς ᾤοντο ἡμερῶν ὀλίγων
ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ
χρωμένους· αἴτιον δὲ ἦν· οἱ λακεδαιμόνιοι προειπόντες
ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεσμένον
καὶ οἶνον καὶ τυρόν· καὶ εἴ τι ἄλλο βρῶμα οἷον ἂν ἐς πολιορ
κίαν ξυμφέροι· τάξαντες ἀργύριον πολλοῦ· καὶ τῶν εἱλώ
των τῷ ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι· καὶ ἐσῆγον
ἄλλοι τε καὶ μάλιστα οἱ εἵλωτες ἀπαίροντες ἀπὸ τῆς πελο
ποννήσου, ὁπόθεν τύχοιεν· καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς
τὰ πρὸς τὸ πέλαγος τῆς νήσου· μάλιστα δὲ ἐτήρουν ἀνέμῳ
καταφέρεσθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάν

θανον

ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορ
μεῖν· τοῖς δὲ, ἀφειδὴς ὁ κατάπλους καθειστήκει· ἐπώκελλον
γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων· καὶ οἱ ὁπλῖται περὶ
τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον· ὅσοι δὲ γαλήνῃ κιν
δυνεύσειαν ἡλίσκοντο· ἐσένεον δὲ καὶ κατὰ τὸν λιμένα,
κολυμβηταὶ ὕφυδροι καλῳδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μή
κωνα μεμελιτωμένην· καὶ λίνου σπέρμα κεκομμένον·
ὧν τὸ πρῶτον λανθανόντων, φυλακαὶ ὕστερον ἐγένοντο· παν
τί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο· οἱ μὲν, ἐσπέμπειν τὰ σιτία
οἱ δὲ, μὴ λανθάνειν σφᾶς· ἐν δὲ ταῖς ἀθήναις πυνθανό
μενοι περὶ τῆς στρατιᾶς ὅτι ταλαιπωρεῖται καὶ σῖτος τοῖς ἐν
τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν· καὶ ἐδεδίεσαν μὴ σφῶν
χειμὼν τὴν φυλακὴν ἐπιλάβοι· ὁρῶντες τῶν τε ἐπιτηδεί
ων τὴν περὶ πελοπόννησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα
ἐν χωρίῳ ἐρήμῳ καὶ οὐδ᾽ ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περι
πέμπειν, τόν τε ἔφορμον χωρίων ἀλιμένων ὄντων οὐκ ἐ
σόμενον· ἀλλ᾽ ἢ σφῶν ἀνέντων τὴν φυλακὴν περιγενήσεσθαι
τοὺς ἄνδρας, ἢ τοῖς πλοίοις ἃ τὸν σῖτον αὐτοῖς ἦγε, χειμῶνα
τηρήσαντες ἐκπλεύσεσθαι· πάντων τε ἐφοβοῦντο μάλιστα
τοὺς λακεδαιμονίους· ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς, ἐνόμι
ζον οὐκέτι ἐπικηρυκεύεσθαι σφίσι· καὶ μετεμέλοντο
τὰς σπονδὰς οὐ δεξάμενοι· κλέων δὲ γνοὺς αὐτῶν τὴν ἐς
αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως, οὐ τἀ
ληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας· παραινούντων δὲ τῶν
ἀφιγμένων εἰ μὴ σφίσι πιστεύουσι κατασκόπους τινὰς πέμ
ψαι, ᾑρέθη κατάσκοπος αὐτὸς μετὰ θεαγένους ὑπὸ ἀθηναίων·
καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς διέβαλλεν
ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεσθαι· παρῄνει τοῖς ἀθη
ναίοις ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τὸ πλέον τι τῇ γνώμῃ

στρατεύειν. ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν· μηδὲ διαμέλ-
λειν καιρὸν παριέντας· εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ λε-
γόμενα πλεῖν ἐπὶ τοὺς ἄνδρας· καὶ ἐς νικίαν τὸν νικηράτου
στρατηγὸν ὄντα ἀπεσήμαινεν ἐχθρὸς ὤν· καὶ ἐπιτιμῶν
ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύ-
σαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ· καὶ αὐτός γ' ἂν εἰ ἦρχε, ποιῆ-
σαι τοῦτο· ὁ δὲ νικίας τῶν τε ἀθηναίων τι ὑποθορυβησάντων
ἐς τὸν κλέωνα ὅτι οὐ καὶ νῦν πλεῖ εἰ ῥᾴδιόν γε αὐτῷ φαί-
νεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥντινα
βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν· ὁ
δέ, τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι,
ἕτοιμος ἦν· γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα, ἀνεχώρει
καὶ οὐκ ἔφη αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν· δεδιὼς ἤδη
καὶ οὐκ ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι· αὖθις
δὲ ὁ νικίας ἐκέλευε· καὶ ἐξίστατο τῆς ἐπὶ πύλῳ ἀρχῆς· καὶ
μάρτυρας τοὺς ἀθηναίους ἐποιεῖτο· οἱ δέ, οἷον ὄχλος φιλεῖ
ποιεῖν, ὅσῳ μᾶλλον ὁ κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξα-
νεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ νικίᾳ παρα-
διδόναι τὴν ἀρχήν· καὶ ἐκείνῳ ἐπεβόων πλεῖν· ὥστε οὐκ ἔ-
χων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν·
καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη λακεδαιμονίους, πλεύ-
σεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα· λημνίους δὲ
καὶ ἰμβρίους τοὺς παρόντας· καὶ πελταστὰς οἳ ἦσαν ἔκ τε
αἴνου βεβοηθηκότες καὶ ἄλλοθεν τοξότας τετρακοσίους·
ταῦτα δὲ ἔχων ἔφη πρὸς τοῖς ἐν πύλῳ στρατιώταις, ἐντὸς
ἡμερῶν εἴκοσιν ἢ ἄξειν λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ
ἀποκτενεῖν· τοῖς δὲ ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος τῇ
κουφολογίᾳ αὐτοῦ· ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώ-
φροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου

τεύξεσθαι, ἢ κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης, λακεδαιμονίους σφίσι χειρώσεσθαι. καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ, καὶ ψηφισαμένων ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν πύλῳ στρατηγῶν ἕνα προσελόμενος δημοσθένην, τὴν ἀναγωγὴν διὰ τάχους ἐποιεῖτο. τὸν δὲ δημοσθένην προσέλαβε πυνθανόμενος τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. οἱ γὰρ στρατιῶται κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ, καὶ μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες, ὥρμηντο διακινδυνεῦσαι. καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχεν. πρότερον μὲν γὰρ οὔσης αὐτῆς ὑλώδους ἐπὶ πολὺ καὶ ἀτριβοῦς διὰ τὴν ἐρημίαν ἐφοβεῖτο. καὶ πρὸς τῶν πολεμίων ἐνόμιζε μᾶλλον τοῦτο εἶναι. πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν. σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ἀπὸ τῆς ὕλης, οὐκ ἂν ὁμοίως δῆλα εἶναι. τοῦ δὲ αὑτῶν στρατοπέδου καταφανῆ εἶναι πάντα τὰ ἁμαρτήματα. ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως ᾗ ἂν βούλοιντο. καὶ ἐπ' ἐκείνοις γὰρ εἶναι ἂν τὴν ἐπιχείρησιν. εἰ δ' αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους, ἐμπείρους δὲ τῆς χώρας, κρείττους ἐνόμιζε τῶν πλεόνων ἀπείρων. λανθάνειν τε ἂν τὸ ἑαυτῶν στρατόπεδον πολὺ ὄν, διαφθειρόμενον, οὐκ οὔσης τῆς προσόψεως ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν. ἀπὸ δὲ τοῦ αἰτωλικοῦ πάθους, ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα ἐσῄει. τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενοχωρίαν τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς. καὶ ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης ἄκοντος, καὶ ἀπὸ τούτου

πνεύματος ἐπιγινομένου τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυ
θέν· οὕτω δὴ τούς τε λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους
ὄντας, ὑπονοῶν πρότερον ἐλάσσοσι τὸν σῖτον αὐτοῦ ἐσπέμ
πειν, τότε ὡς ἐπ' ἀξιόχρεων τοὺς ἀθηναίους μᾶλλον σπουδὴν
ποιεῖσθαι, τήν τε νῆσον εὐαποβατωτέραν οὖσαν, τὴν ἐπιχεί
ρησιν παρεσκευάζετο· στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγ
γὺς ξυμμάχων καὶ τὰ ἄλλα ἑτοιμάζων· κλέων δὲ ἐκείνῳ τε
προπέμψας ἄγγελον ὡς ἥξων, καὶ ἔχων στρατιὰν ἣν ᾐτή
σατο ἀφικνεῖται ἐς πύλον, καὶ ἅμα γενόμενοι πέμπουσι
πρῶτον ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα, προκα
λούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄν
δρας· σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παρα
δοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι
περὶ τοῦ πλέονος ξυμβαθῇ· οὐ προσδεξαμένων δὲ αὐτῶν,
μίαν μὲν ἡμέραν ἐπέσχον· τῇ δ' ὑστεραίᾳ ἀνήγοντο
μὲν νυκτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβά
σαντες· πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου ἑκατέ
ρωθεν ἔκ τε τοῦ πελάγους καὶ πρὸς τοῦ λιμένος ὀκτακό
σιοι μάλιστα ὄντες ὁπλῖται· καὶ ἐχώρουν δρόμῳ ἐπὶ
τὸ πρῶτον φυλακτήριον τῆς νήσου· ὧδε γὰρ διετετάχατο·
ἐν ταύτῃ μὲν τῇ φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖται· μέσον
δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν·
καὶ ἐπιτάδας ὁ ἄρχων εἶχε· μέρος δέ τι οὐ πολὺ αὐτὸ τὸ
ἔσχατον ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν πύλον· ὃ ἦν ἔκ τε
θαλάσσης ἀπόκρημνον· καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ
γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν λίθων λογάδην πεποι
ημένον· ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον εἶναι, εἰ κατα
λαμβάνοι ἀναχώρησις βιαιοτέρα· οὕτω μὲν τεταγμένοι
ἦσαν· οἱ δὲ ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας οἷς ἐπέ

δρόμῳ εὐθὺς διαφθείρουσιν· ἐν ταῖς εὐναῖς ἔτι ἀναλαμ-
βάνοντας τὰ ὅπλα· καὶ λαθόντες τὴν ἀπόβασιν· οἰομένων
αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος ἐς ἔφορμον τῆς νυκτὸς πλεῖν.
ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινον· ἐκ μὲν
νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλεόνων πάντες, πλὴν θα-
λαμιῶν ὡς ἕκαστοι ἐσκευασμένοι· τοξόται δὲ ὀκτακόσιοι
καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων· μεσσηνίων τε οἱ βε-
βοηθηκότες· καὶ οἱ ἄλλοι ὅσοι περὶ πύλον κατεῖχον πάντες·
πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων· δημοσθένους δὲ τάξαντος
διέστησαν κατὰ διακοσίους τε καὶ πλείους· ἔστι δ᾽ ᾗ ἐλάσσους
τῶν χωρίων τὰ μετεωρότατα λαβόντες ὅπως ὅτι πλείστη ἀπο-
ρία ᾖ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις· καὶ μὴ
ἔχωσι πρὸς ὅτι ἀντιτάξωνται· ἀλλ᾽ ἀμφίβολοι γίγνωνται
τῷ πλήθει· εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν βαλ-
λόμενοι· εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρα-
τεταγμένων· κατὰ νώτου τε αἰεὶ ἔμελλον αὐτοῖς ᾗ χωρήσειαν
οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι τοξεύμασι
καὶ ἀκοντίοις καὶ λίθοις· καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες
ἀλκήν· οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν· φεύγοντές τε γὰρ ἐκράτουν
καὶ ἀναχωροῦσιν ἐπέκειντο· τοιαύτῃ μὲν γνώμῃ ὁ
δημοσθένης τό τε πρῶτον τὴν ἀπόβασιν ἐπενόει· καὶ ἐν τῷ
ἔργῳ ἔταξεν· οἱ δὲ περὶ τὸν ἐπιτάδαν, καὶ ὅπερ ἦν πλεῖστον
τῶν ἐν τῇ νήσῳ ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρ-
μένον, καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο· καὶ τοῖς
ὁπλίταις τῶν ἀθηναίων ἐπῇσαν· βουλόμενοι ἐς χεῖρας ἐλ-
θεῖν· ἐξ ἐναντίας γὰρ οὗτοι καθειστήκεσαν· ἐκ πλαγίου δὲ οἱ
ψιλοὶ καὶ κατὰ νώτου· τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἠδυνήθη-
σαν προσμῖξαι· οὐδὲ τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι· οἱ γὰρ
ψιλοὶ ἑκατέρωθεν βάλλοντες εἶργον· καὶ ἅμα ἐκεῖνοι οὐκ ἀν-

τε πεῖραν· ἀλλ' ἧσσον χαλεπόν· τοὺς δὲ ψιλούς, ᾗ μάλιστα αὐτοῖς
προσθέοντες προσκέοιντο, ἔτρεπον· καὶ οἱ ὑποστρέφοντες
ἠμύνοντο· ἄνθρωποι κούφως τε ἐσκευασμένοι καὶ προλαμ
βάνοντες ῥᾳδίως τῆς φυγῆς χωρίων τε χαλεπότητι, καὶ ὑπὸ
τῆς πρὶν ἐρημίας τραχέων ὄντων· ἐν οἷς οἱ λακεδαι
μόνιοι διώκειν οὐκ ἠδύναντο ὅπλα ἔχοντες. χρόνον μὲν
οὖν τινα ὀλίγον οὕτως πρὸς ἀλλήλους ἠκροβολίσαντο· τῶν
δὲ λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ᾗ προσπίπτοιεν
δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας
τῷ ἀμύνασθαι, καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν τὸ πλεῖστον
εἰληφότες πολλαπλάσιοι φαινόμενοι, καὶ ξυνειθισμένοι
μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι, ὅτι
οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν· ὥσπερ ὅτε
πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ λακε
δαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἀθρόοι
ὥρμησαν ἐπ' αὐτούς· καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι
καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχε· γενομένης δὲ
τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ, ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώποις
ἀήθεσι τοιαύτης μάχης· καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κε
καυμένης ἐχώρει πολὺς ἄνω· ἄπορόν τε ἦν ἰδεῖν τὸ πρὸ αὑτοῦ
ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ πολλῶν ἀνθρώπων μετὰ τοῦ κονι-
ορτοῦ ἅμα φερομένων· τό τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς λακε-
δαιμονίοις καθίστατο· οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα,
δοράτιά τε ἐναποκέκλαστο βαλλομένων· εἶχόν τε οὐδὲν σφίσιν
αὐτοῖς χρήσασθαι ἀποκεκλῃμένοι μὲν τῇ ὄψει τοῦ προορᾶν·
ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων τὰ ἐν αὐτοῖς παραγγε
λόμενα οὐκ ἐσακούοντες· κινδύνου τε πανταχόθεν περιεστῶτος καὶ οὐκ
ἔχοντες ἐλπίδα καθ' ὅτι χρὴ ἀμυνομένους σωθῆναι· τέλος δὲ
τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ αἰεὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι

ξυγκλῄσαντες, ἐχώρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου ὃ
οὐ πολλὰ ἀπεῖχε· καὶ τοὺς ἑαυτῶν φύλακας. ὡς δὲ ἐνέδο-
σαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ τεθαρσηκότες οἱ ψι-
λοὶ ἐπέκειντο· καὶ τῶν λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦν-
τες ἐγκατελαμβάνοντο, ἀπέθνησκον· οἱ δὲ πολλοὶ διαφυ-
γόντες ἐς τὸ ἔρυμα, μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο
παρὰ πᾶν ὡς ἀμυνούμενοι ᾗπερ ἦν ἐπίμαχον· καὶ οἱ ἀ-
θηναῖοι ἐπισπόμενοι, περίοδον μὲν αὐτῶν καὶ κύκλωσιν
χωρίου ἰσχύι οὐκ εἶχον· προσιόντες δὲ ἐξ ἐναντίας ὤσασθαι
ἐπειρῶντο· καὶ χρόνον μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖ-
στον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ
δίψους καὶ ἡλίου, ἀντεῖχον πειρώμενοι, οἱ μὲν, ἐξελάσα-
σθαι ἐκ μετεώρου· οἱ δὲ, μὴ ἐνδοῦναι· ῥᾷον δ᾽ οἱ λα-
κεδαιμόνιοι ἠμύνοντο ἢ ἐν τῷ πρὶν οὐκ οὔσης σφῶν τῆς
κυκλώσεως ἐς τὰ πλάγια· ἐπειδὴ δὲ ἀπέραντον ἦν, προ-
σελθὼν ὁ τῶν μεσσηνίων στρατηγὸς κλέωνι καὶ δημοσθένει,
ἄλλως ἔφη πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν
τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν περιιέναι κατὰ νώτου αὐτοῖς
ὁδῷ ἣ ἂν αὐτὸς εὕροι, δοκεῖν βιάσασθαι τὴν ἔφοδον· λαβὼν
δὲ ἃ ᾐτήσατο ἐκ τοῦ ἀφανοῦς ὁρμήσας ὥστε μὴ ἰδεῖν ἐκείνους,
κατὰ τὸ αἰεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου προσβαί-
νων, καὶ ἣ οἱ λακεδαιμόνιοι χωρίου ἰσχύι πιστεύσαντες,
οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε·
καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς, κατὰ νώτου αὐ-
τῶν, τοὺς μὲν, τῷ ἀδοκήτῳ ἐξέπληξε· τοὺς δὲ, ἃ προσεδέ-
χοντο ἰδόντας πολλῷ μᾶλλον ἐπέρρωσεν· καὶ οἱ λακεδαιμό-
νιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη· καὶ γιγνόμενοι ἐν
τῷ αὐτῷ ξυμπτώματι ὡς μικρὸν μεγάλῳ εἰκάσαι τῷ ἐν θερ-
μοπύλαις· ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν περσῶν

διεφθάρησαν. οὕτω τε ἀμφίβολοι ἤδη ὄντες, οὐκέτι ἀντεῖχον· ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι. καὶ ἀσθενεία σωμάτων διὰ τὴν σιτοδείαν, ὑπεχώρουν. καὶ οἱ ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων. γνοὺς δὲ ὁ κλέων καὶ ὁ δημοσθένης ὅτι εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην. καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν. βουλόμενοι ἀγαγεῖν αὐτοὺς ἀθηναίοις ζῶντας. εἴ πως τοῦ κηρύγματος ἀκούσαντες ἐπικλασθεῖεν ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι, καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. ἐκήρυξάν τε εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς ἀθηναίοις, ὥστε βουλεῦσαι ὅτι ἂν ἐκείνοις δοκῇ. οἱ δὲ, ἀκούσαντες παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι. καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προσίεσθαι τὰ κεκηρυγμένα. μετὰ δὲ ταῦτα γενομένης τῆς ἀνακωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε κλέων καὶ ὁ δημοσθένης. καὶ ἐκείνων στύφων ὁ φάρακος τῶν πρότερον ἀρχόντων. τοῦ μὲν πρώτου τεθνηκότος ἐπιτάδου. τοῦ δὲ μετ' αὐτὸν ἱππαγρέτου ἐφῃρημένου, ἐν τοῖς νεκροῖς ἔτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον εἴ τι ἐκεῖνοι πάσχοιεν. ἔλεγε δὲ ὁ στύφων καὶ οἱ μετ' αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ λακεδαιμονίους ὅ τι χρὴ σφᾶς ποιεῖν. καὶ ἐκείνων μὲν οὐδένα ἀφιέντων, αὐτῶν δὲ τῶν ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας. καὶ γενομένης ἐπερωτήσεως δὶς ἢ τρὶς ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύσασθαι, μηδὲν αἰσχρὸν ποιοῦντας. οἱ δὲ, καθ' ἑαυτοὺς βουλευσάμενοι, τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ

ἦγον αὐτοὺς οἱ ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν ἀθηναῖοι τρο
παῖον στήσαντες ἐν τῇ νήσῳ, τὰ ἄλλα διεσκευάζοντο ὡς ἐς πλοῦν·
καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν·
οἱ δὲ λακεδαιμόνιοι κήρυκα πέμψαντες. τοὺς νεκροὺς δι-
εκομίσαντο· ἀπέθανον δὲ ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθη-
σαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι
οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες
τριακόσιοι· οἱ δὲ ἄλλοι ἀπέθανον· καὶ σπαρτιᾶται τούτων
ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν· ἀθηναίων δὲ οὐ πο
λλοὶ διεφθάρησαν· καὶ γὰρ μάχη οὐ σταδαία ἦν· χρόνος δὲ
ὁ ξύμπας ἐγένετο ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκή-
θησαν, ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης, ἑβ-
δομήκοντα ἡμέραι καὶ δύο· τούτων περὶ εἴκοσιν ἡμέρας
ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῇσαν ἐσιτοδοτοῦντο·
τὰς δὲ ἄλλας τοῖς ἐσπλέουσι λάθρα διετρέφοντο· καὶ ἦν
σῖτος ἐν τῇ νήσῳ· καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ
ἄρχων ἐπιτάδας, ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν
ἐξουσίαν· οἱ μὲν δὴ ἀθηναῖοι καὶ οἱ πελοποννήσιοι ἀνεχώ
ρησαν τῷ στρατῷ ἑκάτεροι ἐκ τῆς πύλου ἐπ' οἴκου· καὶ τοῦ κλέ
ωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ
εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας ὥσπερ ὑπέστη· παρὰ γνώ
μην δὴ μάλιστα τοῦτο τῶν κατὰ τὸν πόλεμον τοῖς ἕλλησιν
ἐγένετο· τοὺς γὰρ λακεδαιμονίους οὔτε λιμῷ οὔτ' ἀνάγκῃ
οὐδεμιᾷ, ἠξίουν τὰ ὅπλα παραδοῦναι· ἀλλὰ ἔχοντας καὶ
μαχομένους ὡς ἐδύναντο ἀποθνήσκειν· ἀπιστοῦντές τε μὴ
εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους· καί τινος ἐρο
μένου ποτὲ ὕστερον τῶν ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα
τῶν ἐκ τῆς νήσου αἰχμαλώτων, εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀ
γαθοί, ἀπεκρίνατο αὐτῷ, πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον

λέγων τὸν οἰστόν, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε· δήλωσιν ποιούμενος ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι, διεφθείρετο. κομισθέντων δὲ τῶν ἀνδρῶν, οἱ ἀθηναῖοι ἐβούλευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν μέχρι οὗ τι ξυμβῶσιν· ἢν δ' οἱ πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. τῆς δὲ πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς ναυπάκτου μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην, ἔστι γὰρ ἡ πύλος τῆς μεσσηνίδος ποτὲ οὔσης γῆς, πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους, ἐλῄζοντό τε τὴν λακωνικὴν καὶ πλεῖστα ἔβλαπτον, ὁμόφωνοι ὄντες. οἱ δὲ λακεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας καὶ τοῦ τοιούτου πολέμου, τῶν τε εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον. ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς ἀθηναίοις ἐπρεσβεύοντο παρ' αὐτούς· καὶ ἐπειρῶντο τήν τε πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο· καὶ πολλάκις φοιτώντων, αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ πύλον γενόμενα. τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς ἀθηναῖοι ἐς τὴν κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα· καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν· καὶ ἐν ἱππαγωγοῖς ναυσὶν ἱππεῦσι διακοσίοις. ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων μιλήσιοι καὶ ἄνδριοι καὶ καρύστιοι. ἐστρατήγει δὲ νικίας ὁ νικήρατου τρίτος αὐτός. πλέοντες δὲ ἅμα ἕῳ, ἔσχον μεταξὺ χερρονήσου καὶ ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου, ὑπὲρ οὗ ὁ σολύγιος λόφος ἐστίν· ἐφ' ὃν δωριῆς τὸ πάλαι ἱδρυθέντες, τοῖς ἐν τῇ πόλει κορινθίοις ἐπολέμουν οὖσιν αἰολεῦσι· καὶ κώμη νῦν ἐπ' αὐτοῦ σολυγία καλουμένη ἐστίν. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου ἔνθα αἱ νῆες κατέσχον, ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει· ἡ δὲ κορινθίων πόλις, ἑξήκοντα· ὁ δὲ ἰσθμὸς εἴκοσι.

κορίνθιοι δὲ πυθόμενοι ἐξ ἄργους ὅτι ἡ στρατιὰ ἥξει τῶν ἀθη
ναίων, ἐκ πλέονος ἐβοήθησαν ἐς ἰσθμὸν πάντες, πλὴν τῶν ἔξω
ἰσθμοῦ· καὶ ἐς ἀμπρακίαν καὶ λευκαδίαν ἀπῆσαν αὐτῶν
πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι πανδημεὶ ἐπετήρουν τοὺς ἀ
θηναίους ᾗ κατασχήσουσιν· ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς κα
ταπλεύσαντες καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς
ἡμίσεις αὐτῶν ἐν κεγχρειᾷ, ἢν ἄρα οἱ ἀθηναῖοι ἐπὶ τὸν κρομ
μυῶνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος· καὶ βάττος μὲν ὁ ἕ
τερος τῶν στρατηγῶν· δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες,
λαβὼν λόχον, ἦλθεν ἐπὶ τὴν σολύγειαν κώμην φυλάξων,
ἀτείχιστον οὖσαν· λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλε· καὶ πρῶ
τον μὲν τὸ δεξιὸν κέρας τῶν ἀθηναίων εὐθὺς ἀποβεβηκὸς
πρὸ τῆς χερρονήσου, οἱ κορίνθιοι ἐπέκειντο· ἔπειτα δὲ καὶ τῷ
ἄλλῳ στρατεύματι· καὶ ἦν ἡ μάχη καρτερὰ καὶ ἐν χερσὶ καὶ
ἐν χερσὶ πᾶσα· καὶ τὸ μὲν δεξιὸν κέρας τῶν ἀθηναίων καὶ
καρυστίων, οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι, ἐδέξαντό
τε τοὺς κορινθίους· καὶ ἐώσαντο μόλις· οἱ δέ, ὑποχωρήσαντες
πρὸς αἱμασιάν, ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν, βάλλοντες τοῖς
λίθοις καθύπερθεν ὄντες καὶ παιανίσαντες, ἐπῇσαν αὖθις·
δεξαμένων δὲ τῶν ἀθηναίων, ἐν χερσὶ πάλιν ἦν ἡ μάχη· λόχος
δέ τις τῶν κορινθίων ἐπιβοηθήσας τῷ εὐωνύμῳ κέρᾳ ἑαυτῶν,
ἔτρεψε τῶν ἀθηναίων τὸ δεξιὸν κέρας· καὶ ἐπεδίωξεν ἐς τὴν
θάλασσαν· πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε ἀθηναῖοι
καὶ οἱ καρύστιοι· τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐ
μάχετο ξυνεχῶς· μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν κορινθί
ων, ἐφ' ᾧ ὁ λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν ἀθηναίων ἠμύ
νετο· ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν σολύγειαν κώμην πειράσειν·
χρόνον μὲν οὖν πολὺν ἀντεῖχον οὐκ ἐνδιδόντες ἀλλήλοις· ἔπειτα
ἦσαν γὰρ τοῖς ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι τῶν

ἕτερον οὐκ ἔχοντες ἵππους, ἐτράποντο οἱ κορίνθιοι καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον· καὶ ἔθεντο τὰ ὅπλα καὶ οὐκέτι κατέβαινον· ἀλλ' ἡσύχαζον· ἐν δὲ τῇ τροπῇ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας, οἱ πλεῖστοί τε αὐτῶν ἀπέθανον· καὶ λυκόφρων ὁ στρατηγός· ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ οὐ κατὰ δίωξιν πολλὴν οὐδὲ ταχείας φυγῆς γενομένης ἐπεὶ ἐβιάσθη· ἐπαναχωρήσασα δὲ τὰ μετέωρα ἱδρύθη· οἱ δὲ ἀθηναῖοι ὡς οὐκέτι αὐτοῖς ἐπῇσαν ἐς μάχην τούς τε νεκροὺς ἐσκύλευον· καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο· τροπαῖόν τε εὐθέως ἔστησαν· τοῖς δ' ἡμίσεσι τῶν κορινθίων οἳ ἐν τῇ κεγχρειᾷ ἐκάθηντο φύλακες μὴ ἐπὶ τὸν κρομμυῶνα πλεύσωσι, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον καὶ ὡς ἔγνωσαν ἐβοήθουν εὐθύς· ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον· ἰδόντες δὲ οἱ ἀθηναῖοι ξύμπαντας αὐτοὺς ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκρούς, πλὴν δυοῖν οὓς ἐγκατέλιπον οὐ δυνάμενοι εὑρεῖν· καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς, ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους· ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι, τοὺς νεκροὺς οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο· ἀπέθανον δὲ κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι· ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα· ἄραντες δὲ ἐκ τῶν νήσων οἱ ἀθηναῖοι, ἔπλευσαν αὐθημερὸν ἐς κρομμυῶνα τῆς κορινθίας· ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους· καθορμισάμενοι τήν τε γῆν ἐδῄωσαν· καὶ τὴν νύκτα ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν ἐπιδαυρίαν πρῶτον καὶ ἀπόβασίν τινα ποιησάμενοι, ἀφίκοντο ἐς μεθώνην τὴν μεταξὺ ἐπιδαύρου καὶ τροιζῆνος· καὶ ἀπολαβόντες τὸν τῆς χερρονήσου ἰσθμόν, ἐτείχισαν,

ἐν ᾧ ἡ μεθώνη ἐστί· καὶ φρούριον κατασκευασάμενοι, ἐλῄστευον
τὸν ἔπειτα χρόνον· τήν τε τροιζηνίαν γῆν καὶ ἁλιάδα καὶ ἐπι-
δαυρίαν· ταῖς δὲ ναυσίν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέ-
πλευσαν ἐπ' οἴκου· κατὰ δὲ τὸν αὐτὸν χρόνον καθ' ὃν ταῦτα
ἐγίγνετο, καὶ εὐρυμέδων καὶ σοφοκλῆς, ἐπειδὴ ἐκ τῆς πύλου
ἀπῆραν ἐς τὴν σικελίαν ναυσὶν ἀθηναίων, ἀφικόμενοι ἐς
κέρκυραν, ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν
τῷ ὄρει τῆς ἰστώνης κερκυραίων καθιδρυμένους· οἳ τότε
μετὰ τὴν στάσιν διαβάντες, ἐκράτουν τε τῆς γῆς καὶ πολλὰ ἔ-
βλαπτον· προσβαλόντες δὲ, τὸ μὲν τείχισμα εἷλον· οἱ δὲ ἄν-
δρες καταπεφευγότες ἀθρόοι πρὸς τὸ μετέωρόν τι ξυνέβησαν
ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι· περὶ δὲ σφῶν τὰ ὅπλα
παραδόντων, τὸν ἀθηναίων δῆμον διαγνῶναι· καὶ αὐτοὺς ἐς
τὴν νῆσον οἱ στρατηγοὶ τὴν πτυχίαν, ἐς φυλακὴν διεκόμισαν
ὑποσπόνδους, μέχρι οὗ ἀθήναζε πεμφθῶσιν· ὥστε ἐάν τις
ἁλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς· οἱ δὲ
τοῦ δήμου προστάται τῶν κερκυραίων δεδιότες μὴ οἱ ἀθη-
ναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδε τι·
τῶν ἐν τῇ νήσῳ πείθουσι τινὰς ὀλίγους ὑποπέμψαντες φίλους,
καὶ διδάξαντες ὡς κατ' εὔνοιαν δὴ λέγειν ὅτι κράτιστον αὐτοῖς
εἴη ὡς τάχιστα ἀποδρᾶναι· πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλ-
λειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν ἀθηναίων παραδώσειν αὐτοὺς τῷ
δήμῳ τῶν κερκυραίων· ὡς δὲ ἐπείσθησαν, καὶ μηχανησαμένων
τὸ πλοῖον ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαὶ
καὶ τοῖς κερκυραίοις παρεδέδοντο οἱ πάντες· ξυνελάβοντο
δὲ τοῦ τοιούτου, οὐχ ἥκιστα ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέ-
σθαι· καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρα-
τηγοὶ τῶν ἀθηναίων κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν
βούλεσθαι ὑπ' ἄλλων κομισθέντας· διότι αὐτοὶ ἐς σικελίαν

ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιήσειν· παραλαβόντες δ'
αὐτοὺς οἱ κερκυραῖοι ἐς οἴκημα μέγα καθεῖρξαν· καὶ ὕστερον
ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας. διῆγον διὰ δυοῖν στοίχοιν ὁ-
πλιτῶν ἑκατέρωθεν παρατεταγμένων· δεδεμένους τε πρὸς ἀλ-
λήλους καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγ-
μένων, εἴ πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε
παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας·
καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ
τῷ τρόπῳ ἐξαγαγόντες καὶ διαφθείραντες· ᾤοντο γὰρ αὐτοὺς με-
ταστήσοντάς ποι ἄλλοσε ἄγειν· ὡς δὲ ᾔσθοντο καί τις αὐτοῖς ἐδή-
λωσε, τούς τε ἀθηναίους ἐπεκαλοῦντο· καὶ ἐκέλευον σφᾶς
εἰ βούλονται αὐτοὺς διαφθεῖραι· ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθε-
λον ἐξιέναι· οὐδ' ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι·
οὐδένα· οἱ δὲ κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ' αὐτοὶ δι-
ενοοῦντο βιάζεσθαι· ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος.
καὶ διελόντες τὴν ὀροφὴν ἔβαλλον τῷ κεράμῳ καὶ ἐτόξευον
κάτω· οἱ δὲ, ἐφυλάσσοντό τε ὡς ἐδύναντο· καὶ ἅμα οἱ πολλοὶ
σφᾶς αὐτοὺς διέφθειρον· οἰστούς τε οὓς ἀφίεσαν ἐκεῖνοι ἐς τὰς
σφαγὰς καθιέντες· καὶ ἐκ κλινῶν τινῶν αἳ ἔτυχον αὐτοῖς ἐνοῦ-
σαι τοῖς σπάρτοις· καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦν-
τες ἀπαγχόμενοι παντὶ τρόπῳ τὸ πλεῖστον τῆς νυκτός· ἐπεγένετο
γὰρ νὺξ τῷ παθήματι, ἀναλοῦντες σφᾶς αὐτοὺς καὶ βαλλόμενοι
ὑπὸ τῶν ἄνω, διεφθάρησαν· καὶ αὐτοὺς οἱ κερκυραῖοι ἐπειδὴ
ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες, ἀπή-
γαγον ἔξω τῆς πόλεως· τὰς δὲ γυναῖκας ὅσαι ἐν τῷ τειχίσματι
ἑάλωσαν, ἠνδραποδίσαντο· τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους
κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν· καὶ ἡ στάσις πολλὴ
γενομένη, ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε·
οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων, ὅτι καὶ ἀξιόλογον· οἱ δὲ

ἀθηναῖοι δὲ ἐς σικελίαν ἵναπερ τὸ πρῶτον ὥρμηντο ἀποπλεύσαντες. μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν. καὶ οἱ ἐν ναυπάκτῳ ἀθηναῖοι καὶ ἀκαρνᾶνες ἅμα τελευτῶντος τοῦ θέρους στρατευσάμενοι, ἀνακτόριον κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ. καὶ ἐκπέμψαντες κορινθίους, αὐτοὶ ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. καὶ τὸ θέρος ἐτελεύτα. τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος, ἀριστείδης ὁ ἀρχίππου εἷς τῶν ἀργυρολόγων νεῶν ἀθηναίων στρατηγός, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, ἀρταφέρνην ἄνδρα πέρσην παρὰ βασιλέως πορευόμενον ἐς λακεδαίμονα, ξυλλαμβάνει ἐν ἠιόνι τῇ ἐπὶ στρυμόνι. καὶ αὐτοῦ κομισθέντος οἱ ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν ἀσσυρίων γραμμάτων, ἀνέγνωσαν. ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων, κεφάλαιον ἦν πρὸς λακεδαιμονίους, οὐ γιγνώσκειν ὅ,τι βούλονται. πολλῶν ἐλθόντων πρέσβεων, οὐδένα ταὐτὰ λέγειν. εἰ οὖν τι βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ πέρσου ἄνδρας ὡς αὐτόν. τὸν δὲ ἀρταφέρνην ὕστερον οἱ ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς ἔφεσον. καὶ πρέσβεις ἅμα. οἳ πυθόμενοι αὐτόθι βασιλέα ἀρτοξέρξην τὸν ξέρξου νεωστὶ τεθνηκότα. κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν, ἐπ' οἴκου ἀνεχώρησαν. τοῦ δ' αὐτοῦ χειμῶνος, καὶ χῖοι τὸ τεῖχος τὸ καινὸν περιεῖλον, κελευσάντων ἀθηναίων καὶ ὑποπτευσάντων ἐς αὐτούς τι νεωτεριεῖν. ποιησάμενοι μέντοι πρὸς ἀθηναίους πίστεις καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν θουκυδίδης ξυνέγραψε. τοῦ δὲ ἐπιγιγνομένου θέρους, εὐθὺς τοῦ τε ἡλίου ἐκλιπές τι ἐγένετο περὶ νουμηνίαν. καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου ἔσεισε. καὶ οἱ μυτιληναίων φυγάδες καὶ

ἐκ τῶν ἄλλων Λεσβίων ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου· καὶ μισθωσάμενοι ἐκ τε Πελοποννήσου ἐπικουρικόν, καὶ αὐτόθεν ξυναγείραντες, αἱροῦσι Ῥοίτειον· καὶ λαβόντες δισχιλίους στατῆρας Φωκαΐτας, ἀπέδοσαν πάλιν οὐδὲν ἀδικήσαντες· καὶ μετὰ τοῦτο ἐπὶ Ἄντανδρον στρατεύσαντες προδοσίας γενομένης, λαμβάνουσι τὴν πόλιν· καὶ ἦν αὐτῶν ἡ διάνοια, τάς τε ἄλλας πόλεις τὰς Ἀκταίας καλουμένας, ἃς πρότερον Μυτιληναίων νεμομένων Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν· καὶ πάντων μάλιστα τὴν Ἄντανδρον· καὶ κρατυνάμενοι αὐτήν, ναῦς τε γὰρ εὐπορία ἦν αὐτόθεν ποιεῖσθαι ξύλων ὑπαρχόντων καὶ τῆς Ἴδης ἐπικειμένης καὶ τῆς ἄλλης σκευῆς, ῥᾳδίως ἀπ᾽ αὐτῆς ὁρμώμενοι, τήν τε Λέσβον ἐγγὺς οὖσαν κακώσειν καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσεσθαι· καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον· Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ καὶ δισχιλίοις ὁπλίταις ἱππεῦσί τε ὀλίγοις καὶ τῶν ξυμμάχων Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες, ἐστράτευσαν ἐπὶ Κύθηρα· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου· καὶ Νικόστρατος ὁ Διοτρέφους· καὶ Αὐτοκλῆς ὁ Τολμαίου· τὰ δὲ Κύθηρα νῆσός ἐστιν ἐπίκειται δὲ τῇ Λακωνικῇ κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ᾽ εἰσὶ τῶν περιοίκων· καὶ κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος· ὁπλιτῶν τε φρουρὰν ἔπεμπον ἀεί· καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο· ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ᾽ Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προσβολή· καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης ᾗπερ μόνον οἷόν τε ἦν κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ Κρητικὸν πέλαγος· κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ δέκα μὲν ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις, τὴν ἐπὶ θαλάσσῃ πόλιν Σκάνδειαν καλουμένην αἱροῦσι· τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν τετραμμένα, ἐχώρουν ἐπὶ τὴν ἐπὶ

θαλάσσαν πόλιν τῶν κυθηρίων· καὶ ηὗρον εὐθὺς αὐτοὺς ἐστρατοπε-
δευμένους ἅπαντας. καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρό-
νον ὑπέστησαν οἱ κυθήριοι· ἔπειτα τραπόμενοι κατέφυγον ἐς
τὴν ἄνω πόλιν· καὶ ὕστερον ξυνέβησαν πρὸς νικίαν καὶ τοὺς
ξυνάρχοντας ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν πλὴν θα-
νάτου. ἦσαν δέ τινες καὶ γενόμενοι τῷ νικίᾳ λόγοι πρότερον πρὸς
τινας τῶν κυθηρίων· δι᾽ ὃ καὶ θᾶσσον καὶ ἐπιτηδειότερον τό τε
παραυτίκα καὶ τὸ ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς· ἀνέ-
στησαν γὰρ οἱ ἀθηναῖοι κυθηρίους, λακεδαιμονίους τε ὄντας καὶ
ἐπὶ τῇ λακωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης. μετὰ δὲ τὴν
ξύμβασιν οἱ ἀθηναῖοι, τήν τε σκάνδειαν τὸ ἐπὶ τῷ λιμένι πό-
λισμα παραλαβόντες, καὶ τῶν κυθηρίων φυλακὴν ποιησά-
μενοι, ἔπλευσαν ἔς τε ἀσίνην καὶ ἕλος· καὶ τὰ πλεῖστα τῶν περὶ
θάλασσαν· καὶ ἀποβάσεις ποιούμενοι καὶ ἐναυλιζόμενοι
τῶν χωρίων οὗ καιρὸς εἴη ἐδῄουν τὴν γῆν ἡμέρας μάλιστα
ἑπτά· οἱ δὲ λακεδαιμόνιοι ἰδόντες μὲν τοὺς ἀθηναίους τὰ
κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν ἀ-
ποβάσεις τοιαύτας ποιήσεσθαι, ἀθρόᾳ μὲν οὐδαμοῦ τῇ δυ-
νάμει ἀντετάξαντο· κατὰ δὲ τὴν χώραν φρουρὰς διέπεμ-
ψαν· ὁπλιτῶν πλῆθος ὡς ἑκασταχόσε ἔδει· καὶ τὰ ἄλλα ἐν
φυλακῇ πολλῇ ἦσαν· φοβούμενοι μὴ σφίσι νεώτερόν τι γέ-
νηται τῶν περὶ τὴν κατάστασιν γεγενημένου μὲν τοῦ ἐν τῇ νήσῳ πά-
θους ἀνελπίστου καὶ μεγάλου· πύλου δὲ ἐχομένης καὶ κυθή-
ρων· καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου, ταχέος καὶ
ἀπροφυλάκτου, ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κα-
τεστήσαντο καὶ τοξότας· ἔς τε τὰ πολεμικὰ εἴπερ ποτὲ μάλιστα δὴ
ὀκνηρότεροι ἐγένοντο ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν σφῶν
ἰδέαν τῆς παρασκευῆς, ναυτικῷ ἀγῶνι καὶ τούτῳ πρὸς ἀθηναί-
οις τὸ μὴ ἐπιχειρούμενον αἰεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεώς τι πράξειν·

καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον
αὐτοῖς, ἔκπληξιν μεγίστην παρεῖχε· καὶ ἐδεδίεσαν μή ποτε
αὖθις ξυμφορά τις αὐτοῖς περιτύχῃ οἵα καὶ ἐν τῇ νήσῳ· ἀτολμό
τεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ᾖσαν· καὶ πᾶν ὅ,τι κινήσαιεν ᾤοντο
ἁμαρτήσεσθαι· διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι, ἐκ
τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν. τοῖς δὲ ἀθηναίοις τότε τὴν
παραθαλάσσιον δηοῦσι, τὰ μὲν πολλὰ ἡσύχαζον, ὡς καθ'
ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις· πλήθει τε ἐλάσσους
ἕκαστοι ἡγούμενοι εἶναι, καὶ ἐν τῷ τοιούτῳ· μία δὲ φρουρὰ ἥπερ
καὶ ἠμύνατο περὶ κοτύρταν καὶ ἀφροδιτίαν, τὸν μὲν ὄχλον
τῶν ψιλῶν ἐσκεδασμένων ἐφόβησεν ἐπιδρομῇ· τῶν δὲ ὁ
πλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν· καὶ ἄνδρες τέ τινες ἀ
πέθανον αὐτῶν ὀλίγοι· καὶ ὅπλα ἐλήφθη· τροπαῖόν τε στήσαντες
οἱ ἀθηναῖοι ἀπέπλευσαν ἐς κύθηρα· ἐκ δὲ αὐτῶν περιέπλευ
σαν ἐς ἐπίδαυρον τὴν λιμηράν· καὶ δηώσαντες μέρος τι τῆς
γῆς ἀφικνοῦνται ἐπὶ θυρέαν· ἥ ἐστι μὲν τῆς κυνουρίας γῆς
καλουμένης· μεθορία δὲ τῆς ἀργείας καὶ λακωνικῆς· νεμό
μενοι δὲ αὐτὴν ἔδοσαν λακεδαιμόνιοι αἰγινήταις ἐκπεσοῦσιν
ἐνοικεῖν· διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν
εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας· καὶ ὅτι ἀθηναίων ὑπα
κούοντες, ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἕστασαν αἰεί· προσ
πλεόντων οὖν ἔτι τῶν ἀθηναίων οἱ αἰγινῆται, τὸ μὲν ἐπὶ τῇ
θαλάσσῃ ὃ ἔτυχον οἰκοδομοῦντες τεῖχος, ἐκλείπουσιν· ἐς δὲ
τὴν ἄνω πόλιν ἐν ᾗ ᾤκουν ἀπεχώρησαν· ἀπέχουσαν σταδίους
μάλιστα δέκα τῆς θαλάσσης· καὶ αὐτοῖς τῶν λακεδαιμο
νίων φρουρὰ μία τῶν περὶ τὴν χώραν ἥπερ καὶ ξυνετείχιζε,
ξυνελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν δεομένων τῶν αἰγι
νητῶν· ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κατακλῄεσθαι·
ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα ὡς οὐκ ἐνόμιζον ἀξιόμα

χοι

ἦσαν, ἢ συνέλαβον· ἐν τούτῳ δὲ οἱ ἀθηναῖοι κατασχόντες καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ, αἱροῦσι τὴν θυρέαν· καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν, τούς τε αἰγινήτας ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες ἀφίκοντο ἐς τὰς ἀθήνας· καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς ἦν τῶν λακεδαιμονίων, τάνταλον τὸν πατροκλέος· ἐζωγρήθη γὰρ τετρωμένος. ἦγον δέ τινας καὶ ἐκ τῶν κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι· καὶ τούτους μὲν οἱ ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους· καὶ τοὺς ἄλλους κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν, φόρον τέσσαρα τάλαντα φέρειν· αἰγινήτας δὲ ἀποκτεῖναι πάντας ὅσοι ἑάλωσαν, διὰ τὴν προτέραν αἰεί ποτε ἔχθραν· τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ λακεδαιμονίους καταδῆσαι· τοῦ δ' αὐτοῦ θέρους ἐν σικελίᾳ καμαριναίοις καὶ γελῴοις, ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ ἄλλοι σικελιῶται ξυνελθόντες ἐς γέλαν ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις, ἐς λόγους κατέστησαν ἀλλήλοις εἴ πως ξυναλλαγεῖεν· καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα διαφερομένων καὶ ἀξιούντων ὡς ἕκαστοι ἐλασσοῦσθαι ἐνόμιζον· καὶ ἑρμοκράτης ὁ ἕρμωνος συρακούσιος· ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτούς, ἐς τὸ κοινόν, τοιούτους δὴ λόγους εἶπεν·

## δημηγορία ἑρμοκράτους

Οὔτε πόλεως ὢν ἐλαχίστης ὦ σικελιῶται τοὺς λόγους ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ· ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην ἀποφαινόμενος τῇ σικελίᾳ πάσῃ· καὶ περὶ μὲν τοῦ πολεμεῖν ὡς χαλεπόν, τί ἄν τις τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη· οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ ἢν οἴηταί τι πλέον σχήσειν ἀποτρέπεται· ξυμβαίνει δὲ τοῖς μὲν, τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν· οἱ δὲ, τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ

αὐτίκα ἐλασσοῦσθαι· ἀντὶ δὲ ταῦτα εἰ μὴ καιρῷ τύχοιεν ἑ-
κάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλι-
μοι· ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις, πλείστου ἂν ἄξιον
γένοιτο· τὰ γὰρ ἴδια εὖ ἕκαστοι βουλόμενοι δὴ θέσθαι, τό τε
πρῶτον ἐπολεμήσαμεν· καὶ νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν
πειρώμεθα καταλλαγῆναι· καὶ ἢν ἄρα μὴ προχωρήσῃ τὸ ἴσον ἑ-
κάστῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν· καίτοι γνῶναι
χρή· ὅτι οὐ περὶ τῶν ἰδίων μόνον εἰ σωφρονοῦμεν ἡ ξύνοδος
ἔσται· ἀλλ' εἰ ἐπιβουλευομένην τὴν πᾶσαν σικελίαν ὡς ἐγὼ κρί-
νω ὑπ' ἀθηναίων, δυνησόμεθα ἔτι διασῶσαι, καὶ διαλλακτὰς
πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε ἀθηναίους νο-
μίσαι· οἳ δύναμιν ἔχοντες μεγίστην τῶν ἑλλήνων, τάς τε ἁμαρ-
τίας ἡμῶν τηροῦσιν ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι
ἐννόμῳ ξυμμαχίας, τὸ φύσει πολέμιον, εὐπρεπῶς ἐς τὸ ξυμ-
φέρον καθίστανται· πόλεμον γὰρ αἰρομένων ἡμῶν, καὶ ἐπα-
γομένων αὐτοὺς ἄνδρας, οἳ καὶ τοῖς μὴ ἐπικαλουμένοις αὐ-
τοὶ ἐπιστρατεύουσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι
τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκὸς
ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους· καὶ πλέονί ποτε στόλῳ ἐλθόντας
αὐτούς, τάδε πάντα πειρᾶσθαι ὑπὸ σφᾶς ποιεῖσθαι· καίτοι τὰ τῇ
ἑαυτῶν ἑκάστους εἰ σωφρονοῦμεν χρὴ τὰ μὴ προσήκοντα ἐπικτω-
μένους μᾶλλον ἢ τὰ ἑτοῖμα βλάπτοντας ξυμμάχους τε ἐπάγε-
σθαι, καὶ τοὺς κινδύνους προσλαμβάνειν· νομίσαι τε στάσιν
μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν σικελίαν· ἧς γε οἱ ἔνοικοι
ξύμπαντες ἐπιβουλευόμεθα κατὰ πόλεις δὲ διέσταμεν· ἃ χρὴ
γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι· καὶ πόλιν πόλει
καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν σικελίαν· παρεστάναι
δὲ μηδενί· ὡς οἱ μὲν δωριεῖς ἡμῶν πολέμιοι τοῖς ἀθηναίοις,
τὸ δὲ χαλκιδικόν, τῇ ἰάδι ξυγγενείᾳ ἀσφαλές· οὐ γὰρ τοῖς ἔθνε-

ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν· ἀλλὰ τῶν ἐν τῇ σικε-
λίᾳ ἀγαθῶν ἐφιέμενοι ἃ κοινῇ κεκτήμεθα. ἐδήλωσαν δὲ
νῦν ἐν τῇ τοῦ χαλκιδικοῦ γένους παρακλήσει· τοῖς γὰρ οὐδε-
πώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν, αὐτοὶ
τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως προσέφερον. καὶ
τοὺς μὲν ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι πολ-
λὴ ξυγγνώμη· καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι, ἀλ-
λὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι· πέφυκε γὰρ τὸ ἀνθρώ-
πειον διὰ παντός, ἄρχειν μὲν τοῦ εἴκοντος φυλάσσεσθαι δὲ τὸ
ἐπιόν. ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν,
μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας, τὸ κοινῶς φοβερὸν
ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν. τάχιστα δ' ἂν αὐτοῦ ἀπαλ-
λαγὴ γένοιτο, εἰ πρὸς ἀλλήλους ξυμβαῖμεν· οὐ γὰρ ἀπὸ τῆς αὐ-
τῶν ὁρμῶνται ἀθηναῖοι· ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ
οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνῃ δὲ διαφοραὶ ἀπραγμόνως
παύονται· οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες, εὐλόγως
ἄπρακτοι ἀπίασι. καὶ τὸ μὲν πρὸς τοὺς ἀθηναίους τοσοῦτον
ἀγαθὸν εὖ βουλευομένοις εὑρίσκεται· τὴν δὲ ὑπὸ πάντων ὁ-
μολογουμένην ἄριστον εἶναι εἰρήνην, πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν
αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε εἴ τῳ τί ἐστιν ἀγαθόν, ἢ εἴ τῳ τὰ
ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος, τὸ μὲν παῦσαι ἂν ἑ-
κατέρῳ, τὸ δὲ ξυνδιασῶσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας
ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην· ἄλλα τε ὅσα ἐν μήκει λόγων
ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν· ἃ χρὴ σκεψαμένους
μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν· τὴν δὲ αὐτοῦ τινὰ σωτηρίαν
μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν· καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ
ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω·
γνοὺς ὅτι πλείους ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦν-
τας, καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ

μὲν, οὐχ ὅσον οὐκ ἠμύναντο ἀλλ' οὐδὲ ἐσώθησαν· τοῖς δ' ἀντὶ τοῦ
πλέον ἔχειν, προσκαταλιπεῖν τὰ αὐτῶν ξυνέβη. τιμωρία γὰρ
οὐκ εὐτυχεῖ δικαίως ὅτι καὶ ἀδικεῖται· οὐδὲ ἰσχὺς βέβαιον
ὅτι καὶ εὔελπι. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον
κρατεῖ· πάντων τε σφαλερώτατον ὄν, ὅμως καὶ χρησιμώτατον
φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες προμηθίᾳ μᾶλλον ἐπ' ἀλλήλους
ἐρχόμεθα. καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον
δέος· καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας ἀθηναίους κατ'
ἀμφότερα ἐκπλαγέντες· καὶ τὸ ἐλλιπὲς τῆς γνώμης ὧν ἕ-
καστός τι ᾠήθημεν πράξειν ταῖς κωλύμαις ταύταις ἱκανῶς
νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας
ἀποπέμπωμεν· καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἀΐδιον ξυμβῶμεν·
εἰ δὲ μή, χρόνον ὡς πλεῖστον σπεισάμενοι, τὰς ἰδίας διαφο-
ρὰς ἐς αὖθις ἀναβαλώμεθα. τὸ ξύμπαν τε δὴ γνῶμεν
πειθόμενοι μὲν ἐμοί, πόλιν ἕξοντες ἕκαστος ἐλευθέραν· ἀφ'
ἧς αὐτοκράτορες ὄντες, τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀ-
ρετῇ ἀμυνούμεθα· ἢν δ' ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν,
οὐ περὶ τοῦ τιμωρήσασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν
φίλοι μὲν ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ κατ' ἀνάγκην
γιγνόμεθα. καὶ ἐγὼ μὲν ἅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν
τε μεγίστην παρεχόμενος, καὶ ἐπιών τῳ μᾶλλον ἢ ἀμυνούμενος,
ἀξιῶ προϊδομένους αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους οὕ-
τω κακῶς δρᾶν, ὥστε αὐτοὺς τὰ πλείω βλάπτεσθαι· μηδὲ
μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐ-
τοκράτωρ εἶναι, καὶ ἧς οὐκ ἄρχω τύχης· ἀλλ' ὅσον εἰκὸς ἡσσᾶσθαι·
καὶ τοὺς ἄλλους δικαιῶ ταὐτὸ ποιῆσαι ὑφ' ὑμῶν αὐτῶν· καὶ
μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. οὐδὲν γὰρ αἰσχρὸν οἰκεί-
ους οἰκείων ἡσσᾶσθαι, ἢ δωριέα τινὰ δωριέως ἢ χαλκιδέα τῶν ξυγ-
γενῶν· τὸ δὲ ξύμπαν γείτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας

καὶ περιρρύτου καὶ ὄνομα ἓν κεκλημένους· οἱ πολεμήσο
μέν τε οἶμαι ὅταν ξυμβῇ· καὶ ξυγχωρησόμεθά γε πάλιν καθ'
ἡμᾶς αὐτοὺς λόγοις κοινοῖς χρώμενοι· τοὺς δὲ ἀλλοφύλους ἐπελ
θόντας ἀθρόοι αἰεὶ ἢν σωφρονῶμεν, ἀμυνούμεθα· εἴπερ καὶ
καθ' ἑκάστους βλαπτόμενοι ξυμπάντες κινδυνεύομεν· ξυμμά
χους δὲ οὐδέ ποτε τὸ λοιπὸν ἐπαξόμεθα· οὐδὲ διαλλακτάς· τά
δε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν, οὐ στερήσομεν
τὴν σικελίαν· ἀθηναίων τε ἀπαλλαγῆναι καὶ οἰκείου πολέμου·
καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα· καὶ
ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην: Τοιαῦτα τοῦ ἑρμοκρά
τους εἰπόντος πειθόμενοι οἱ σικελιῶται, αὐτοὶ μὲν κατὰ σφᾶς
αὐτοὺς ξυνηνέχθησαν γνώμῃ, ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου
ἔχοντες ἃ ἕκαστοι ἔχουσι· τοῖς δὲ καμαριναίοις μοργαντίνην
εἶναι· ἀργύριον τακτὸν τοῖς συρακοσίοις ἀποδοῦσιν· οἱ δὲ
τῶν ἀθηναίων ξύμμαχοι παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει
ὄντας, εἶπον ὅτι ξυμβήσονται καὶ αἱ σπονδαὶ ἔσονται κἀκεί
νοις κοιναί· ἐπαινεσάντων δὲ αὐτῶν ἐποιοῦντο τὴν ὁμολο
γίαν· καὶ αἱ νῆες τῶν ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ
σικελίας· ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει ἀθηναῖοι
τοὺς μὲν, φυγῇ ἐζημίωσαν, πυθόδωρον δὲ καὶ σοφοκλέα,
τὸν δὲ τρίτον εὐρυμέδοντα, χρήματα ἐπράξαντο, ὡς ἐξὸν
αὐτοῖς τὰ ἐν τῇ σικελίᾳ καταστρέψασθαι, δώροις πεισθέντες
ἀποχωρήσειαν· οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι, ἠξίουν
σφίσι μηδὲν ἐναντιοῦσθαι· ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ
ἀπορώτερα, μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ
κατεργάζεσθαι· αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλεόνων εὐπρα
γία αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος· Τοῦ δ' αὐτοῦ θέρους
μεγαρῆς οἱ ἐν τῇ πόλει πιεζόμενοι ὑπό τε ἀθηναίων τῷ πολέμῳ
αἰεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν

χώρᾳ, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκπεσόντων· οἱ στασια-
σάντων ἐκπεσόντες ὑπὸ τοῦ πλήθους, χαλεποὶ ἦσαν λῃστεύοντες, ἐ-
ποιοῦντο τοὺς λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας
μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν· οἱ δὲ φίλοι τῶν ἔξω τὸν
θροῦν αἰσθόμενοι, φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξί-
ουν τούτου τοῦ λόγου ἔχεσθαι· γνόντες δὲ οἱ τοῦ δήμου προστάται
οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν
καρτερεῖν· ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς τῶν ἀθηναίων
στρατηγοὺς ἱπποκράτην τε τὸν ἀρίφρονος καὶ δημοσθένην τὸν
ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν· καὶ νομίζοντες
ἐλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς ἐκπεσόντας ὑπὸ σφῶν κα-
τελθεῖν, ξυνέβαινόν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν ἀθη-
ναίους· ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν
νίσαιαν τὸν λιμένα αὐτῶν· ὅπως μὴ βοηθῶσιν ἐκ τῆς νισαίας
οἱ πελοποννήσιοι· ἐν ᾗ μόνοι αὐτοὶ ἐφρούρουν, βεβαιότητος
ἕνεκα τῶν μεγάρων· ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι
ἐνδοῦναι· ῥᾷον δ' ἤδη ἔμελλον προσχωρήσειν τούτου γεγενη-
μένου· οἱ γοῦν ἀθηναῖοι ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων
παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς μινῴαν
τὴν μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις ὧν ἱπποκράτης ἦρ-
χεν, ἐν ὀρύγματι ἐκαθέζοντο· ὅθεν ἐπλίνθευον τὰ τείχη· καὶ
ἀπεῖχεν οὐ πολύ· οἱ δὲ μετὰ τοῦ δημοσθένους τοῦ ἑτέρου στρα-
τηγοῦ πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνή-
δρευσαν ἐς τὸ ἐνυάλιον· ὅ ἐστιν ἔλασσον ἄπωθεν· καὶ ᾔσθετο
οὐδεὶς εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην·
καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν μεγαρέων
τοιόνδε ἐποίησαν· ἀκάτιον ἀμφηρικὸν ὡς λῃσταὶ ἐκ πολλοῦ
τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν, εἰώθεσαν ἐπὶ ἁμά-
ξῃ πείθοντες τὸν ἄρχοντα διὰ τῆς τάφρου κατακομίζειν τῆς

νυκτὸς ἐπὶ τὴν θάλασσαν καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι
πάλιν αὐτὸ τῇ ἁμάξῃ κομίσαντες ἐς τὸ τεῖχος κατὰ τὰς πύλας ἐσῆ
γον· ὅπως τοῖς ἐν τῇ Μινῴᾳ Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ φυλα
κὴ μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός· καὶ τότε
πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἅμαξα· καὶ ἀνοιχθεισῶν κατὰ τὸ
εἰωθὸς τῷ ἀκάτῳ, οἱ Ἀθηναῖοι ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος,
τὸ τοιοῦτον ἰδόντες, ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι
φθάσαι πρὶν ξυγκλῃσθῆναι πάλιν τὰς πύλας· καὶ ἕως ἔτι ἡ
ἅμαξα ἐν αὐταῖς ἦν κώλυμα οὖσα προσθεῖναι· καὶ αὐτοῖς ἅμα
καὶ οἱ ξυμπράσσοντες Μεγαρῆς τοὺς κατὰ πύλας φύλακας
κτείνουσι· καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς
τε καὶ περίπολοι ἐσέδραμον· οὗ νῦν τὸ τροπαῖον ἐστί· καὶ
εὐθὺς ἐντὸς τῶν πυλῶν, ᾔσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι,
μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν· καὶ
τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπιφερομένοις, βεβαίως τὰς
πύλας παρέσχον· ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ αἰεὶ ἐντὸς
γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος· καὶ οἱ Πελοποννήσιοι φρου
ροί, τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο ὀλίγοι· καὶ ἀπέ
θανόν τινες αὐτῶν· οἱ δὲ πλείους ἐς φυγὴν κατέστησαν· φοβη
θέντες ἐν νυκτί τε πολεμίων προσπεπτωκότων· καὶ τῶν προ
διδόντων Μεγαρέων ἀντιμαχομένων· νομίσαντες τοὺς ἅπαντας
σφᾶς Μεγαρέας προδεδωκέναι· ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀ
θηναίων κήρυκα ἀφ' ἑαυτοῦ γνώμης κηρύξαι τὸν βουλόμενον
ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων θησόμενον τὰ ὅπλα· οἱ δ' ὡς
ἤκουσαν οὐκέτι ἀνέμενον· ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πο
λεμεῖσθαι κατέφυγον ἐς τὴν Νίσαιαν· ἅμα δὲ ἕῳ ἑαλωκότων
ἤδη τῶν τειχῶν, καὶ τῶν ἐν τῇ πόλει Μεγαρέων θορυβουμένων,
οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες, καὶ ἄλλο μετ' αὐτῶν πλῆ
θος ὃ ξυνῄδει, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας, καὶ ἐπ

ξιέναι ἐς μάχην. ξυνέκειτο δὲ αὐτοῖς τῶν πυλῶν ἀνοιχθει-
σῶν ἐπιπίπτειν τοὺς ἀθηναίους. αὐτοὶ δὲ διάδηλοι ἔμελλον
ἔσεσθαι. λίπα γὰρ ἀλείψεσθαι ὅπως μὴ ἀδικῶνται. ἀσφά-
λεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς ἀνοίξεως. καὶ γὰρ οἱ ἀπὸ
τῆς ἐλευσῖνος κατὰ τὸ ξυγκείμενον, τετρακισχίλιοι ὁπλῖται
τῶν ἀθηναίων καὶ ἱππῆς ἑξακόσιοι οἱ τὴν νύκτα πορευόμενοι
παρῆσαν. ἀληλιμμένων δὲ αὐτῶν καὶ ἤδη ὄντων περὶ τὰς πύλας,
καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. καὶ οἱ
ξυστραφέντες ἀθρόοι ἦλθον. καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπε-
ξιέναι, οὐδὲ γὰρ πρότερόν πω τοῦτο ἰσχύοντες μᾶλλον τολμῆσαι,
οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν. εἴ τε μὴ πείσεταί τις,
αὐτοῦ τὴν μάχην ἔσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πρασσό-
μενα. ἀλλ' ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο. καὶ ἅμα περὶ
τὰς πύλας παρέμενον φυλάσσοντες. ὥστε οὐκ ἐγένετο τοῖς ἐπιβου-
λεύουσι πρᾶξαι ὃ ἔμελλον. γνόντες δὲ οἱ τῶν ἀθηναίων στρατηγοὶ
ὅτι ἐναντίωμά τι ἐγένετο. καὶ τὴν πόλιν οὐχ οἷοί τε ἔσονται βίᾳ λα-
βεῖν, τὴν νίσαιαν εὐθὺς περιετείχιζον. νομίζοντες εἰ πρὶν ἐπιβο-
ηθῆσαί τινας ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ μέγαρα προσχωρῆσαι.
παρεγένετο δὲ σίδηρός τε ἐκ τῶν ἀθηνῶν ταχὺ καὶ λιθουργοί, καὶ
τἆλλα ἐπιτήδεια. ἀρξάμενοι δὲ ἀπὸ τοῦ τείχους ὃ εἶχον καὶ δι-
οικοδομήσαντες τὸ πρὸς μεγαρέας ἀπ' ἐκείνου ἑκατέρωθεν ἐς θά-
λασσαν τῆς νισαίας τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιὰ, ἔκ τε
τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δέν-
δρα καὶ ὕλην, ἀπεσταύρουν εἴ πῃ δέοιτό τι. καὶ αἱ οἰκίαι τοῦ
προαστείου ἐπάλξεις λαμβάνουσαι αὐταὶ ὑπῆρχον ἔρυμα. καὶ
ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο. τῇ δὲ ὑστεραίᾳ περὶ δείλην
τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο. καὶ οἱ ἐν τῇ νισαίᾳ δείσαντες, σίτου
τε ἀπορίᾳ, ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο, καὶ τοὺς
πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τούς τε μεγαρέ-

πολεμίοις ἡγούμενοι. ξυνέβησαν τοῖς ἀθηναίοις· ῥητοῦ μὲν ἕκα-
στον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας· τοῖς τε λακεδαι-
μονίοις τῷ τε ἄρχοντι καὶ εἴ τις ἄλλος ἐνῆν, χρῆσθαι ἀθηναίους ὅτι
ἂν βούλωνται. ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον. καὶ οἱ ἀθη-
ναῖοι τὰ μακρὰ τείχη ἀπορρήξαντες ἀπὸ τῆς τῶν μεγαρέων πόλεως
καὶ τὴν νίσαιαν παραλαβόντες, τἆλλα παρεσκευάζοντο. βρασί-
δας δὲ ὁ τέλλιδος λακεδαιμόνιος κατὰ τοῦτον τὸν χρόνον, ἐτύγχα-
νε περὶ σικυῶνα καὶ κόρινθον ὤν, ἐπὶ θρᾴκης στρατιὰν πα-
ρασκευαζόμενος. καὶ ὡς ᾔσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας
περί τε τοῖς ἐν τῇ νισαίᾳ λακεδαιμονίοις, καὶ μὴ τὰ μέγαρα
ληφθῇ, πέμπει ἔς τε τοὺς βοιωτοὺς κελεύων, κατὰ τάχος στρατιᾷ
ἀπαντῆσαι ἐπὶ τριποδίσκον. καὶ αὐτὸς ἔχων ἦλθεν ἑπτακοσίους
μὲν καὶ δισχιλίους κορινθίων ὁπλίτας. φλιασίων δὲ τετρακο-
σίους. σικυωνίων δὲ ἑξακοσίους. καὶ τοὺς μεθ' αὐτοῦ ὅσοι ἤ-
δη ξυνειλεγμένοι ἦσαν. οἰόμενος τὴν νίσαιαν ἔτι καταλήψε-
σθαι ἀνάλωτον. ὡς δὲ ἐπύθετο, ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν τρι-
ποδίσκον ἐξελθών. πρὶν ἔκπυστος γενέσθαι. προσῆλθε τῇ τῶν
μεγαρέων πόλει. λαθὼν τοὺς ἀθηναίους ὄντας περὶ τὴν θάλασσαν.
βουλόμενος μὲν τῷ λόγῳ καὶ ἅμα εἰ δύναιτο ἔργῳ τῆς νισαίας
πειρᾶσαι. τὸ δὲ μέγιστον τὴν τῶν μεγαρέων πόλιν ἐσελθὼν βε-
βαιώσασθαι. καὶ ἠξίου δέξασθαι σφᾶς. λέγων ἐν ἐλπίδι εἶναι
ἀναλαβεῖν νίσαιαν. αἱ δὲ τῶν μεγαρέων στάσεις φοβούμεναι οἱ
μὲν, μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν αὐτοὺς ἐκβάλῃ. οἱ δὲ
μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπίθηται σφίσι. καὶ ἡ πόλις ἐν
μάχῃ καθ' αὑτὴν οὖσα ἐγγὺς ἐφεδρευόντων ἀθηναίων ἀπόληται,
οὐκ ἐδέξαντο. ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον
περιιδεῖν. ἤλπιζον γὰρ καὶ μάχην ἔσεσθαι τῶν τε ἀθηναίων καὶ
τῶν προσβοηθησάντων. καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν
οἷς τις εἴη εὔνους κρατήσασι προσχωρῆσαι. ὁ δὲ βρασίδας ὡς οὐκ

ἐπελθεῖν, ἀνεχώρησε πάλιν ἐς τὸ ἄλλο στράτευμα· ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν διανενοημένοι μὲν καὶ πρὶν Βρασίδαν πέμψαι βοηθεῖν ἐπὶ τὰ Μέγαρα. ὡς οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου· καὶ ἤδη ὄντες πανστρατιᾷ Πλαταιᾶσιν, ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος. πολλῷ μᾶλλον ἐρρώσθησαν· καὶ ἀποστείλαντες διακοσίους καὶ δισχιλίους ὁπλίτας, καὶ ἱππέας ἑξακοσίους, τοῖς πλέοσιν ἀπῆλθον πάλιν· παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρατεύματος ὁπλιτῶν οὐκ ἔλασσον ἑξακισχιλίων, καὶ τῶν Ἀθηναίων τῶν μὲν ὁπλιτῶν περὶ τὴν Νίσαιαν ὄντων, καὶ τὴν θάλασσαν ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκεδασμένων, οἱ ἱππῆς οἱ τῶν Βοιωτῶν ἀπροσδοκήτοις ἐπιπεσόντες τοῖς ψιλοῖς, ἔτρεψαν ἐπὶ τὴν θάλασσαν· ἐν γὰρ τῷ πρὸ τοῦ, οὐδεμία βοήθεια πω τοῖς Μεγαρεῦσιν οὐδαμόθεν ἐπῆλθεν· ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν Ἀθηναίων, ἐς χεῖρας ᾖσαν· καὶ ἐγένετο ἱππομαχία ἐπὶ πολύ· ἐν ᾗ ἀξιοῦσιν ἑκάτεροι οὐχ ἥσσους γενέσθαι. τὸν μὲν γὰρ ἵππαρχον τῶν Βοιωτῶν καὶ ἄλλους τινὰς οὐ πολλοὺς πρὸς αὐτὴν τὴν Νίσαιαν προσελάσαντες οἱ Ἀθηναῖοι καὶ ἀποκτείναντες ἐσκύλευσαν· καὶ τῶν τε νεκρῶν τούτων κρατήσαντες ὑποσπόνδους ἀπέδοσαν· καὶ τροπαῖον ἔστησαν· οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως, οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν· ἀλλ' οἱ μὲν Βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν· οἱ δὲ, ἐπὶ τὴν Νίσαιαν. μετὰ δὲ τοῦτο Βρασίδας καὶ τὸ στράτευμα ἐχώρουν ἐγγυτέρω τῆς θαλάσσης καὶ τῆς τῶν Μεγαρέων πόλεως· καὶ καταλαβόντες χωρίον ἐπιτήδειον, παραταξάμενοι ἡσύχαζον· οἰόμενοι σφίσιν ἐπιέναι τοὺς Ἀθηναίους· καὶ τοὺς Μεγαρέας ἐπιστάμενοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται· καλῶς δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν· ἅμα μὲν τὸ μὴ ἐπιχειρεῖν προτέρους, μὴ δὲ μάχης καὶ κινδύνου ἑκόντας ἄρξαι· ἐπειδή γε ἐν φανερῷ ἔδειξαν, ἑτοῖμοι ὄντες ἀμύνεσθαι· καὶ αὐτοῖς ὥσπερ ἀκονιτὶ

τὴν μάχην δικαίως ἂν τίθεσθαι· ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς μεγαρέας ὀρθῶς ξυμβαίνειν· εἰ μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν· ἀλλὰ σαφῶς ἂν ὥσπερ ἡσσηθέντων στερηθῆναι εὐθὺς τῆς πόλεως· νῦν δὲ κἂν τυχεῖν αὐτοὺς ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι· ὥστε ἀμαχητὶ ἂν περιγενέσθαι αὐτοῖς ὧν ἕνεκα ἦλθον· ὅπερ καὶ ἐγένετο· οἱ γὰρ μεγαρῆς ὡς οἱ ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ μὴ ἐπιόντων, λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοί, μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κίνδυνον. ἐπειδὴ τὰ πλείω αὐτοῖς προυκεχωρήκει. ἄρξασι μάχης πρὸς πλέονας αὐτῶν, ἢ λαβεῖν νικήσαντας μέγαρα, ἢ σφαλέντας τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι, τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἕκαστον κινδυνεύειν· εἰκότως ἐθέλειν τολμᾶν· χρόνον δὲ ἐπισχόντες. καὶ ὡς οὐδὲν ἀφ' ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον οἱ ἀθηναῖοι ἐς τὴν νίσαιαν· καὶ αὖθις οἱ πελοποννήσιοι ὅθενπερ ὡρμήθησαν· οὕτω μὲν δὴ βρασίδᾳ αὐτῷ καὶ τοῖς ἀπὸ τῶν πόλεων ἄρχουσιν οἱ τῶν φευγόντων φίλοι μεγαρῆς ὡς ἐπικρατήσαντι, καὶ τῶν ἀθηναίων οὐκέτι ἐθελησάντων μάχεσθαι, θαρσοῦντες μᾶλλον ἀνοίγουσί τε τὰς πύλας· καὶ δεξάμενοι καταπεπληγμένων ἤδη τῶν πρὸς τοὺς ἀθηναίους πραξάντων, ἐς λόγους ἔρχονται· καὶ ὕστερον ὁ μὲν διαλυθέντων τῶν ξυμμάχων κατὰ πόλεις, ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν κόρινθον, τὴν ἐπὶ θρᾴκης στρατείαν παρεσκεύαζεν. ἵναπερ καὶ τὸ πρῶτον ὥρμητο· οἱ δὲ ἐν τῇ πόλει μεγαρῆς ἀποχωρησάντων καὶ τῶν ἀθηναίων ἐπ' οἴκου, ὅσοι μὲν τῶν πραγμάτων πρὸς τοὺς ἀθηναίους μάλιστα μετέσχον, εἰδότες ὅτι ὤφθησαν, εὐθὺς ὑπεξῆλθον· οἱ δὲ ἄλλοι κοινολογησάμενοι τοῖς τῶν φευγόντων φίλοις κατάγουσι τοὺς ἐκ πηγῶν ὁρκώσαντες πίστεσι μεγάλαις μηδὲν μνησικακήσειν· βουλεύειν δὲ

τῇ πόλει τὰ ἄριστα· οἱ δὲ, ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο καὶ
ἐξέτασιν ὅπλων ἐποιήσαντο, διαστήσαντες τοὺς λόχους ἐξε-
λέξαντο τῶν τε ἐχθρῶν· καὶ οἳ ἐδόκουν μάλιστα ξυμπρᾶξαι
τὰ πρὸς τοὺς ἀθηναίους, ἄνδρας ὡς ἑκατόν· καὶ τούτων πέρι
ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν· ὡς
κατεγνώσθησαν ἔκτειναν· καὶ ἐς ὀλιγαρχίαν τὰ μάλιστα κα-
τέστησαν τὴν πόλιν· καὶ πλεῖστον δὴ χρόνον αὕτη ὑπ' ἐλαχίστων
γενομένη, ἐκ στάσεως μετάστασις ξυνέμεινε· Τοῦ δ' αὐτοῦ θέ-
ρους τῆς ἀντάνδρου ὑπὸ μυτιληναίων ὥσπερ διενοοῦντο μελ-
λούσης κατασκευάζεσθαι, οἱ τῶν ἀργυρολόγων ἀθηναίων
στρατηγοί. δημόδοκος καὶ ἀριστείδης ὄντες περὶ ἑλλήσποντον,
ὁ γὰρ τρίτος αὐτῶν λάμαχος δέκα ναυσὶν ἐς τὸν πόντον ἐσεπε-
πλεύκει, ὡς ᾐσθάνοντο τὴν παρασκευὴν τοῦ χωρίου καὶ ἐδό-
κει αὐτοῖς δεινόν, μὴ ὥσπερ τὰ ἄναια ἐπὶ τῇ σάμῳ γένηται, ἔνθα
οἱ φεύγοντες τῶν σαμίων καταστάντες, τούς τε πελοποννη-
σίους ὠφέλουν ἐς τὰ ναυτικὰ κυβερνήτας πέμποντες καὶ τοὺς
ἐν τῇ πόλει σαμίους ἐς ταραχὴν καθίστασαν, καὶ τοὺς ἐξιόντας
ἐδέχοντο, οὕτω δὴ ξυναγείραντες ἀπὸ τῶν ξυμμάχων στρατι-
άν, καὶ πλεύσαντες μάχῃ τε νικήσαντες τοὺς ἐκ τῆς ἀντάνδρου
ἐπεξελθόντας, ἀναλαμβάνουσι τὸ χωρίον πάλιν· καὶ οὐ πολὺ
ὕστερον ἐς τὸν πόντον ἐσπλεύσας λάμαχος ἐν τῇ ἡρακλεώτι-
δι ὁρμίσας ἐς τὸν κάληκα ποταμόν· ἀπόλλυσι τὰς ναῦς ὕ-
δατος ἄνωθεν γενομένου· καὶ κατελθόντος αἰφνιδίου τοῦ
ῥεύματος. αὐτὸς τε καὶ ἡ στρατιὰ πεζῇ διὰ βιθυνῶν θρᾳκῶν
οἵ εἰσι πέραν ἐν τῇ ἀσίᾳ. ἀφικνεῖται ἐς χαλκηδόνα. τὴν ἐπὶ
τῷ στόματι τοῦ πόντου μεγαρέων ἀποικίαν· ἐν δὲ τῷ αὐτῷ
θέρει καὶ δημοσθένης ἀθηναίων στρατηγός, τεσσαράκοντα
ναυσὶν ἀφικνεῖται ἐς ναύπακτον εὐθὺς μετὰ τὴν ἐκ τῆς μεγα-
ρίδος ἀναχώρησιν· τῷ γὰρ ἱπποκράτει καὶ ἐκεῖνος τὰ βοιώτια

πράγματα ἀπὸ τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο. βου-
λομένων μεταστῆσαι τὸν κόσμον καὶ ἐς δημοκρατίαν ὥσπερ
οἱ ἀθηναῖοι τρέψαι. καὶ πτοιοδώρου μάλιστα ἀνδρὸς φυ-
γάδος ἐκ θηβῶν ἐσηγουμένου, τάδε αὐτοῖς παρεσκευάσθη.
σίφας μὲν ἔμελλόν τινες προδώσειν. αἱ δὲ σῖφαί εἰσι τῆς
θεσπικῆς γῆς ἐν τῷ κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι. χαιρώνει-
αν δὲ ἣ ἐς ὀρχομενὸν τὸν μινύειον πρότερον καλούμενον νῦν
δὲ βοιώτιον ξυντελεῖ, ἄλλοι ἐξ ὀρχομενοῦ ἐνεδίδοσαν. καὶ οἱ
ὀρχομενίων φυγάδες ξυνέπρασσον τὰ μάλιστα. καὶ ἄνδρας
ἐμισθοῦντο ἐκ πελοποννήσου. ἔστι δὲ ἡ χαιρώνεια ἔσχατον
τῆς βοιωτίας πρὸς τῇ φανώτιδι τῆς φωκίδος. καὶ φωκέων
μετεῖχόν τινες. τοὺς δὲ ἀθηναίους ἔδει δήλιον καταλαβόντας
ἐν τῇ ταναγραίᾳ πρὸς εὔβοιαν τετραμμένον ἀπόλλωνος ἱερόν.
ἅμα δὲ ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι ὅπως μὴ ξυμβοηθή-
σωσιν ἐπὶ τὸ δήλιον οἱ βοιωτοὶ ἀθρόοι. ἀλλ᾽ ἐπὶ τὰ σφέτερα
αὐτῶν ἕκαστοι κινούμενοι. καὶ εἰ κατορθοῖτο ἡ πεῖρα καὶ τὸ δή-
λιον τειχισθείη, ῥᾳδίως ἤλπιζον, εἰ καὶ μὴ παραυτίκα νεωτερίζοι-
τό τι τῶν κατὰ τὰς πολιτείας τοῖς βοιωτοῖς ἐχομένων τούτων τῶν
χωρίων, καὶ λῃστευομένης τῆς γῆς καὶ οὔσης ἑκάστοις διὰ βρα-
χέος ἐπιστροφῆς, οὐ μενεῖν κατὰ χώραν τὰ πράγματα. ἀλλὰ χρό-
νῳ τῶν ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι. τοῖς δὲ οὐκ
οὔσης ἀθρόας τῆς δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδει-
ον. ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο. ὁ δὲ ἱπποκράτης
αὐτὸς μὲν ἐκ τῆς πόλεως δύναμιν ἔχων ὁπότε καιρὸς εἴη ἔμελλε
στρατεύειν ἐς τοὺς βοιωτούς. τὸν δὲ δημοσθένην προαπέστειλε ταῖς
τεσσαράκοντα ναυσὶν ἐς ναύπακτον. ὅπως ἐξ ἐκείνων
τῶν χωρίων στρατὸν ξυλλέξας ἀκαρνάνων τε καὶ τῶν ἄλλων
ξυμμάχων πλέοι ἐπὶ τὰς σίφας ὡς προδοθησομένας. ἡ-
μέρα δὲ αὐτοῖς εἴρητο ᾗ ἔδει ταῦτα ἅμα πράσσειν. καὶ ὁ μὲν

δημοσθένης ἀφικόμενος. οἰνιάδας δὲ ὑπό τε ἀκαρνάνων πάντων
κατηναγκασμένους. καταλαβὼν ἐς τὴν ἀθηναίων ξυμμαχίαν
καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν, ἐπὶ σαλύν
θιον καὶ ἀγραίους στρατεύσας πρῶτον καὶ προσποιησάμενος,
τἆλλα ἡτοιμάζετο ἐπὶ τὰς σίφας ὅταν δέῃ ἀπαντησόμενος.
βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους πορευόμενος
ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐπὶ θρᾴκης. ἐπειδὴ
ἐγένετο ἐν ἡρακλείᾳ τῇ ἐν τραχῖνι, καὶ προπέμψαντος
αὐτοῦ ἄγγελον ἐς φάρσαλον παρὰ τοὺς ἐπιτηδείους. ἀξιοῦν
τος διάγειν ἑαυτόν τε καὶ τὴν στρατιάν. ἦλθον ἐς μελιτίαν
τῆς ἀχαΐας. πάναιρός τε καὶ δῶρος. καὶ ἱππολοχίδας καὶ το
ρύλαος καὶ στρόφακος πρόξενος ὢν χαλκιδέων. τότε δὴ ἐ
πορεύετο. ἦγον δὲ καὶ ἄλλοι θεσσαλῶν αὐτόν. καὶ ἐκ λαρί
σης νικονίδας περδίκκᾳ ἐπιτήδειος ὤν. τὴν γὰρ θεσσαλίαν
ἄλλως τε οὐκ εὔπορον ἦν διϊέναι ἄνευ ἀγωγοῦ. καὶ μετὰ ὅπλων
γε δή. καὶ τοῖς πᾶσί γε ὁμοίως ἕλλησιν ὕποπτον καθεστήκει
τὴν τῶν πέλας μὴ πείσαντας διϊέναι. τοῖς τε ἀθηναίοις αἰεί ποτε τὸ
πλῆθος τῶν θεσσαλῶν εὔνουν ὑπῆρχεν. ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον
ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ ἐγχώριον οἱ θεσσαλοί, οὐκ ἄν ποτε
προῆλθεν. ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ, ἄλλοι τῶν τἀναντία
τούτοις βουλομένων ἐπὶ τῷ ἐνιπεῖ ποταμῷ ἐκώλυον. καὶ ἀδι
κεῖν ἔφασαν ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον. οἱ δὲ ἄ
γοντες οὔτε ἀκόντων ἔφασαν διάξειν, αἰφνίδιόν τε παρα
γενόμενον ξένοι ὄντες κομίζειν. ἔλεγε δὲ καὶ αὐτὸς ὁ βρα
σίδας τῇ θεσσαλῶν γῇ καὶ αὐτοῖς φίλος ὢν ἰέναι. καὶ ἀθη
ναίοις πολεμίοις οὖσι καὶ οὐκ ἐκείνοις ὅπλα ἐπιφέρειν.
θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ λακεδαιμονίοις ἔχθραν οὖ
σαν. ὥστε τῇ ἀλλήλων γῇ μὴ χρῆσθαι. νῦν τε ἀκόντων ἐ
κείνων οὐκ ἂν προελθεῖν. οὐδὲ γὰρ ἂν δύνασθαι. ἀξιοῦν

ἀξιοῦν γε ἔρχεσθαι. καὶ οἱ μὲν ἀκούσαντες ταῦτα ἀπῆλθον. ὁ
δὲ, κελευόντων τῶν ἀγωγῶν πρίν τι πλέον ξυστῆναι τὸ κωλῦσον
ἐχώρει οὐδὲν ἐπισχὼν δρόμῳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ᾗ ἐκ τῆς
μελιτίας ἀφώρμησεν, ἐς φάρσαλόν τε ἐτέλεσε καὶ ἐστρατοπε-
δεύσατο ἐπὶ τῷ ἀπιδανῷ ποταμῷ. ἐκεῖθεν δὲ ἐς φάκιον καὶ
ἐξ αὐτοῦ ἐς περραιβίαν. ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν θεσσαλῶν ἀγω-
γοί, πάλιν ἀπῆλθον. οἱ δὲ περραιβοὶ αὐτὸν ὑπήκοοι ὄντες θεσσαλῶν
κατέστησαν ἐς δῖον τῆς περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ ὀλύμπῳ μα-
κεδονίας πρὸς θεσσαλοὺς πόλισμα κεῖται. τούτῳ τῷ τρόπῳ βρ-
ασίδας θεσσαλίαν φθάσας διέδραμε πρίν τινα κωλύειν παρα-
σκευάσασθαι. καὶ ἀφίκετο ὡς περδίκκαν καὶ ἐς τὴν χαλκιδικὴν.
ἐκ γὰρ τῆς πελοποννήσου ὡς τὰ τῶν ἀθηναίων ηὐτύχει, δείσαντες
οἵ τε ἐπὶ θρᾴκης ἀφεστῶτες ἀθηναίων καὶ περδίκκας, ἐξήγα-
γον τὸν στρατόν. οἱ μὲν χαλκιδῆς νομίζοντες ἐπὶ σφᾶς πρῶτον
ὁρμήσειν τοὺς ἀθηναίους. καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐ-
τῶν αἱ οὐκ ἀφεστηκυῖαι, ξυνεπῆγον κρύφα. περδίκκας δὲ
πολέμιος μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐ-
τὸς τὰ παλαιὰ διάφορα τῶν ἀθηναίων. καὶ μάλιστα βουλόμενος
τὸν ἀρριβαῖον τὸν λυγκηστῶν βασιλέα παραστήσασθαι. ξυνέβη
δὲ αὐτοῖς ὥστε ῥᾷον ἐκ τῆς πελοποννήσου ἐξαγαγεῖν στρατὸν, ἡ τῶν λακε-
δαιμονίων ἐν τῷ παρόντι κακοπραγία. τῶν γὰρ ἀθηναίων ἐγ-
κειμένων τῇ πελοποννήσῳ. καὶ οὐχ ἥκιστα τῇ ἐκείνων γῇ ἀπο-
τρέψειν αὐτοὺς μάλιστα. εἰ ἀντιπαραλυποῖεν πέμψαντες ἐπὶ
τοὺς ξυμμάχους αὐτῶν στρατιάν. ἄλλως τε καὶ ἑτοίμων ὄντων
τρέφειν τε, καὶ ἐπὶ ἀπόστασιν σφᾶς ἐπικαλουμένων. καὶ ἅμα
τῶν εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι μή τι πρὸς
τὰ παρόντα τῆς πύλου ἐχομένης νεωτερίσωσιν. ἐπεὶ καὶ τάδε
ἔπραξαν φοβούμενοι αὐτῶν τὴν νεότητα καὶ τὸ πλῆθος. αἰεὶ
γὰρ τὰ πολλὰ λακεδαιμονίοις πρὸς τοὺς εἵλωτας τῆς φυλακῆς

πέρι μάλιστα καθεστήκει· προεῖπον αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς
πολεμίοις γεγενῆσθαι σφίσιν ἄριστοι, κρίνεσθαι, ὡς ἐλευθε-
ρώσοντες· πεῖραν ποιούμενοι καὶ ἡγούμενοι τούτους σφίσιν
ὑπὸ φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος ἐλευθε-
ροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι· καὶ προκρίναντες ἐς δισ-
χιλίους, οἱ μὲν ἐστεφανώσαντό τε καὶ τὰ ἱερὰ περιῆλθον ὡς
ἠλευθερωμένοι· οἱ δὲ, οὐ πολλῷ ὕστερον ἠφάνισάν τε αὐτούς· καὶ
οὐδεὶς ᾔσθετο ὅτῳ τρόπῳ ἕκαστος διεφθάρη· καὶ τότε προθύμως
τῷ Βρασίδᾳ αὐτῶν ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας· τοὺς
δ' ἄλλους ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν· αὐτόν τε Βρα-
σίδαν βουλόμενον μάλιστα Λακεδαιμόνιοι ἀπέστειλαν· πρου-
θυμήθησαν δὲ καὶ οἱ Χαλκιδῆς ἄνδρα ἔν τε τῇ Σπάρτῃ δοκοῦντα
δραστήριον εἶναι ἐς τὰ πάντα· καὶ ἐπειδὴ ἐξῆλθε πλείστου ἄξιον
Λακεδαιμονίοις γενόμενον· τότε γὰρ παραυτίκα ἑαυτὸν παρα-
σχὼν δίκαιον καὶ μέτριον ἐς τὰς πόλεις, ἀπέστησε τὰ πολλά· τὰ δὲ
προδοσίᾳ εἷλε τῶν χωρίων· ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι
ξυμβαίνειν τε βουλομένοις ὅπερ ἐποίησαν ἀνταπόδοσιν καὶ ἀπο-
δοχὴν χωρίων· καὶ τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς
τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον· ἡ τότε Βρασίδου
ἀρετὴ καὶ ξύνεσις· τῶν μὲν, πείρᾳ αἰσθομένων· τῶν δὲ, ἀκοῇ νο-
μισάντων μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμμάχοις
πρὸς Λακεδαιμονίους· πρῶτος γὰρ ἐξελθὼν, καὶ δόξας εἶναι
κατὰ πάντα ἀγαθὸς, ἐλπίδα ἐγκατέλιπε βέβαιον· ὡς καὶ οἱ ἄλ-
λοι τοιοῦτοί εἰσι· τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θρᾴκης
οἱ Ἀθηναῖοι πυθόμενοι, τόν τε Περδίκκαν πολέμιον ποιοῦνται
νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων
φυλακὴν πλέονα κατεστήσαντο· Περδίκκας δὲ Βρασίδαν καὶ
τὴν στρατιὰν εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως, στρατεύει
ἐπὶ Ἀρριβαῖον τὸν Βρομεροῦ Λυγκηστῶν Μακεδόνων βασιλέα

ὅμορον ὄντα· διαφορᾶς τε αὐτῷ οὔσης· καὶ βουλόμενος κατα
στρέψασθαι· ἐπεὶ δὲ ἐγένετο τῷ στρατεύματι μετὰ τοῦ βρασίδου
ἐπὶ τῇ ἐσβολῇ τοῦ λύγκου, βρασίδας ἔφη λόγοις βούλεσθαι
πρῶτον ἐλθὼν πρὸ πολέμου, ἀρρίβαιον ξύμμαχον λακεδαι
μονίων ἢν δύνηται ποιῆσαι· καὶ γάρ τι καὶ ἀρρίβαιος ἐπεκη
ρυκεύετο ἕτοιμος ὢν βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ
οἱ χαλκιδέων πρέσβεις ἐδίδασκον ξυμπαρόντες αὐτὸν μὴ ὑπε
ξελεῖν τῷ περδίκκᾳ τὰ δεινά· ἵνα προθυμοτέρῳ ἔχοιεν καὶ
ἐς τὰ ἑαυτῶν χρῆσθαι· ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ
τοῦ περδίκκου ἐν τῇ λακεδαίμονι· ὡς πολλὰ αὐτοῖς τῶν περὶ
αὐτὸν χωρίων ξύμμαχα ποιήσοι· ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλ
λον ὁ βρασίδας τὰ τοῦ ἀρριβαίου ἠξίου πράσσειν· περδίκκας
δὲ οὔτε δικαστὴν ἔφη βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγαγεῖν,
μᾶλλον δὲ καθαιρέτην ὧν αὐτὸς ἀποφαίνοι πολεμίων· ἀδική
σειν τε εἰ αὐτοῦ τρέφοντος τὸ ἥμισυ τοῦ στρατεύματος ξυνέσται ἀρ
ριβαίῳ· ὁ δὲ, ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται· καὶ πεισθεὶς
τοῖς λόγοις ἀπήγαγε τὴν στρατιὰν πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν.
περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ' ἡμίσεος τῆς τροφῆς
ἐδίδου νομίζων ἀδικεῖσθαι· ἐν δὲ τῷ αὐτῷ θέρει ὁ βρασίδας
ἔχων καὶ χαλκιδέας ἐπὶ ἄκανθον τὴν ἀνδρίων ἀποικίαν, ὀ
λίγον πρὸ τρυγήτου ἐστράτευσεν· οἱ δὲ, περὶ τοῦ δέχεσθαι αὐτὸν
κατ' ἀλλήλους ἐστασίαζον· οἵ τε μετὰ τῶν χαλκιδέων ξυνεπά
γοντες καὶ ὁ δῆμος· ὅμως δὲ διὰ τοῦ καρποῦ τὸ δέος ἔτι ἔξω
ὄντος πεισθὲν τὸ πλῆθος, ὑπὸ τοῦ βρασίδου δέξασθαί τε αὐτὸν
μόνον, καὶ ἀκούσαντας βουλεύσασθαι δέχεται· καὶ καταστὰς
ἐς τὸ πλῆθος, ἦν δὲ οὐδὲ ἀδύνατος ὡς λακεδαιμόνιος
εἰπεῖν, ἔλεγε τοιάδε· Δημηγορία βρασίδου

πε ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ λακεδαιμονίων
γεγένηται, τὴν αἰτίαν ἐπαληθεύουσα· ἣν ἀρχόμενοι τοῦ πολέμου

προείπομεν ἀθηναίοις ἐλευθεροῦντες τὴν ἑλλάδα πολεμήσειν·
εἰ δὲ χρόνῳ ἐπήλθομεν σφαλέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου
δόξης, ᾗ διὰ τάχους αὐτοὶ ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπί-
σαμεν ἀθηναίους καθαιρήσειν, μηδεὶς μεμφθῇ· νῦν γὰρ ὅτε
παρέσχεν ἀφιγμένοι καὶ μετὰ ὑμῶν πειρασόμεθα κατεργά-
ζεσθαι αὐτούς. θαυμάζω δὲ τῇ τε ἀποκλήσει μου τῶν πυλῶν,
καὶ εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. ἡμεῖς γὰρ οἱ λακεδαιμόνιοι
οἰόμενοί τε παρὰ ξυμμάχους καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ
γοῦν γνώμῃ ἥξειν, καὶ βουλομένοις ἔσεσθαι· κίνδυνόν τε τοσόν-
δε ἀπερρίψαμεν διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες
καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. ὑμεῖς δὲ εἴ τι ἄλλο ἐν νῷ ἔχετε
ἢ εἰ ἐναντιώσεσθε τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλ-
λήνων, δεινὸν ἂν εἴη. καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ
καὶ οἷς ἂν ἐπίω, ἧσσόν τις ἐμοὶ πρόσεισι· δυσχερὲς ποιούμενοι
εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων παρεχομένους
καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε· καὶ τὴν αἰτίαν οὐχ ἕξω
πιστὴν ἀποδεικνύναι· ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν, ἢ
ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς ἀθηναίους ἢν ἐπίωσιν,
ἀφῖχθαι. καίτοι στρατιᾷ γε τῇδ' ἣν νῦν ἔχω, ἐπὶ νίσαιαν ἐ-
μοῦ βοηθήσαντος, οὐκ ἠθέλησαν ἀθηναῖοι πλέονες ὄντες προσ-
μῖξαι· ὥστε οὐκ εἰκὸς νηίτῃ γε αὐτοὺς τῷ ἐν νισαίᾳ στρατῷ ἴσον πλῆ-
θος ἐφ' ὑμᾶς ἀποστεῖλαι. αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει
δὲ τῶν ἑλλήνων παρελήλυθα, ὅρκοις τε λακεδαιμονίων κατα-
λαβὼν τὰ τέλη τοῖς μεγίστοις, ἦ μὴν οὓς ἂν ἔγωγε προσαγά-
γωμαι, καὶ ξυμμάχους ἔσεσθαι αὐτονόμους. καὶ ἅμα οὐχ ἵνα
ξυμμάχους ὑμᾶς ἔχωμεν ἢ βίᾳ ἢ ἀπάτῃ προσλαβόντες, ἀλλὰ
τοὐναντίον ὑμῖν δεδουλωμένοις ὑπὸ ἀθηναίων ξυμμαχήσον-
τες. οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι· πίστεις τε διδοὺς
τὰς μεγίστας. οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχω-

τὰ πλήθη θαρσοῦντας. καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα μὴ ἐ-
γώ τισι προσθῶ τὴν πόλιν ἀπρόθυμός ἐστι, πάντων μάλιστα πιστευ-
σάτω. οὐ γὰρ ξυστασιάσων ἥκω. οὐδὲ ἂν σαφῆ τὴν ἐλευθερίαν
νομίζω ἐπιφέρειν· εἰ τὸ πάτριον παρεὶς τὸ πλέον τοῖς ὀλίγοις ἢ τὸ
ἔλασσον τοῖς πᾶσι δουλώσαιμι. χαλεπωτέρα γὰρ ἂν τῆς ἀλλοφύ-
λου ἀρχῆς εἴη. καὶ ἡμῖν τοῖς λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων
χάρις καθίσταιτο. ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον. οἷς τε
τοὺς ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοί-
μεθα ἐχθίονα ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι. ἀπάτῃ
γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώμασι πλεονεκτῆσαι, ἢ βίᾳ
ἐμφανεῖ. τὸ μὲν γὰρ ἰσχύος δικαιώσει ἣν ἡ τύχη ἔδωκεν ἐπέρ-
χεται. τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. οὕτω πολλὴν περιω-
πὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα. καὶ οὐκ ἂν
πρὸς μείζω τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε. ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων
ἀναθρούμενα, δόκησιν ἀναγκαίαν παρέχεται ὡς καὶ ξυμφέρει
ὁμοίως ὡς εἶπον. εἰ δὲ ἐμοῦ ταῦτα προϊσχομένου ἀδύνατοι μὲν
φήσετε εἶναι. εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι
καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι. δίκαιόν τε
εἶναι οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν, τούτοις καὶ ἐπιφέρειν. ἄ-
κοντα δὲ μηδένα προσαναγκάζειν. καὶ μάρτυρας μὲν θεοὺς καὶ
ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι. ὡς ἐπ' ἀγαθῷ ἥκων, οὐ πείθω.
γῆν δὲ τὴν ὑμετέραν δῃῶν πειράσομαι βιάζεσθαι. καὶ οὐκ ἀ-
δικεῖν ἔτι νομιῶ. προσεῖναι δέ τι μοι καὶ κατὰ δύο ἀνάγκας
τὸ εὔλογον. τῶν μὲν λακεδαιμονίων ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ
εἰ μὴ προσαχθήσεσθε τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ'
ἀθηναίους βλάπτωνται. οἱ δὲ ἕλληνες ἵνα μὴ κωλύωνται
ὑφ' ὑμῶν δουλείας ἀπαλλαγῆναι. οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε
πράσσοιμεν. οὐδὲ ὀφείλομεν οἱ λακεδαιμόνιοι μὴ κοινοῦ τι-
νος ἀγαθοῦ αἰτίᾳ, τοὺς μὴ βουλομένους ἐλευθεροῦν. οὐδ' αὖ

ἀρχῆς ἐφιέμεθα· παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες· τοὺς πλείους ἂν ἀδικοῖμεν· εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες, ὑμᾶς τοὺς ἐναντιουμένους περιίδοιμεν. πρὸς ταῦτα βουλεύεσθαι· καὶ ἀγωνίσασθε τοῖς ἕλλησιν ἄρξαι πρῶτον ἐλευθερίας· καὶ ἀίδιον δόξαν καταθέσθαι· καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι· καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι: ὁ μὲν βρασίδας τοσαῦτα εἶπεν· οἱ δὲ ἀκάνθιοι πολλῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν βρασίδαν καὶ περὶ τοῦ καρποῦ φόβῳ. ἔγνωσαν οἱ πλείους ἀφίστασθαι ἀθηναίων· καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις οὓς τὰ τέλη τῶν λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν, ἦ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους, οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. καὶ οὐ πολὺ καὶ στάγειρος ἀνδρίων ἀποικία ξυναπέστη· ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο. τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς τῷ ἱπποκράτει καὶ δημοσθένει στρατηγοῖς οὖσιν ἀθηναίων τὰ ἐν τοῖς βοιωτοῖς ἐνεδίδοτο· καὶ ἔδει τὸν μὲν δημοσθένην ταῖς ναυσὶν ἐς τὰς σίφας ἀπαντῆσαι, τὸν δὲ ἐπὶ τὸ δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν· ἐς ἃς ἔδει ἀμφοτέρους παρεῖναι. ὁ μὲν δημοσθένης πρότερον πλεύσας ἐς τὰς σίφας, καὶ ἔχων ἐν ταῖς ναυσὶν ἀκαρνᾶνας, καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχους, ἄπρακτος γίγνεται· μηνυθέντος τοῦ βουλεύματος ὑπὸ νικομάχου ἀνδρὸς φωκέος ἐκ φανοτέως· ὃς λακεδαιμονίοις εἶπεν· ἐκεῖνοι δὲ βοιωτοῖς· καὶ βοηθείας γενομένης πάντων βοιωτῶν (οὐ γάρ πω ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν, προκαταλαμβάνονται). αἵ τε σῖφαι καὶ ἡ χαιρώνεια. ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν. ὁ δὲ ἱπποκράτης ἀναστήσας ἀθηναίους πανδημεὶ αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι παρῆσαν, ὕστερον ἀφικνεῖται ἐπὶ τὸ δήλι

ἤδη τῶν βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν σιφῶν. καὶ καθίσας
τὸν στρατὸν δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ τὸ ἱερὸν τοῦ ἀπόλλωνος·
τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον. ἐκ δὲ
τοῦ ὀρύγματος ἀνέβαλον ἀντὶ τοῦ τείχους τὸν χοῦν. καὶ σταυροὺς
παρακαταπηγνύντες ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐσέ-
βαλον. καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων ἐγγὺς
καθαιροῦντες. καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα. πύρ-
γους τε ξυλίνους κατέστησαν ᾗ καιρὸς ἦν. καὶ τοῦ ἱεροῦ οἰκοδό-
μημα οὐδὲν ὑπῆρχεν. ἥπερ γὰρ ἦν στοὰ κατεπεπτώκει. ἡμέρᾳ
δὲ ἀρξάμενοι τρίτῃ ὡς οἴκοθεν ὥρμησαν, ταύτην τε εἰργάζοντο
καὶ τὴν τετάρτην. καὶ τῆς πέμπτης μέχρι ἀρίστου. ἔπειτα ὡς τὰ
πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον ἀπεχώρησεν ἀπὸ τοῦ
δηλίου οἷον δέκα σταδίους, ὡς ἐπ' οἴκου πορευόμενον. καὶ οἱ
ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν. οἱ δὲ ὁπλῖται θέμενοι τὰ ὅπλα ἡ-
σύχαζον. ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίστατο φυλακάς τε
καὶ τὰ περὶ τὸ προτείχισμα ὅσα ἦν ὑπόλοιπα ὡς χρῆν ἀποτελέσαι.
οἱ δὲ βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν τάνα-
γραν. καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν, καὶ ᾐσθά-
νοντο τοὺς ἀθηναίους προχωροῦντας ἐπ' οἴκου, τῶν ἄλλων βοιωτάρ-
χων οἵ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι ἐπειδὴ οὐκ
ἐν τῇ βοιωτίᾳ ἔτι εἰσί, μάλιστα γὰρ ἐν μεθορίοις τῆς ὠρωπίας οἱ
ἀθηναῖοι ἦσαν ὅτε ἔθεντο τὰ ὅπλα. παγώνδας ὁ αἰολάδου βοιωτάρχης
ἐκ θηβῶν μετ' ἀριανθίδου τοῦ λυσιμαχίδου, καὶ ἡγεμονίας
οὔσης αὐτοῦ, βουλόμενος τὴν μάχην ποιῆσαι, καὶ νομίζων ἄμει-
νον εἶναι κινδυνεῦσαι. προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως
δημ. παγώνδ. μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς βοιωτοὺς ἰέναι
ἐπὶ τοὺς ἀθηναίους. καὶ τὸν ἀγῶνα ποιεῖσθαι. λέγων τοιάδε·
χρῆν μὲν ὦ ἄνδρες βοιωτοὶ μηδ' ἐς ἐπίνοιαν τινὰ ἡμῶν ἐλθεῖν τῶν
ἀρχόντων, ὡς οὐκ εἰκὸς ἀθηναίοις ἢν ἄρα μὴ ἐν τῇ βοιωτίᾳ ἔτι

καταλαβόντας αὐτοὺς διὰ μάχης ἐλθεῖν. τήν τε γὰρ Βοιωτίαν ἐκ τῆς
ὁμόρου ἐλθόντες τεῖχος ἐνοικοδομησάμενοι, μέλλουσι φθείρειν
καὶ εἰσὶ δήπου πολέμιοι ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι καὶ
ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. νυνί τ' εἴ τῳ καὶ ἀσφαλέ-
στερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν
ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμόν,
καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ πλέονος δὲ ὀρεγόμενος
ἑκών τινι ἐπέρχεται. πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελ-
θόντα καὶ ἐν τῇ οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι.
Ἀθηναίους δὲ καὶ προσέτι ὁμόρους ὄντας, πολλῷ μάλιστα
δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθε-
ρον καθίσταται. καὶ πρὸς τούτους γε δή, οἳ καὶ μὴ τοὺς ἐγγὺς ἀλ-
λὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦσθαι. πῶς οὐ χρὴ καὶ ἐ-
πὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν. παράδειγμα δὲ ἔχομεν τούς τε
ἀντιπέρας Εὐβοέας. καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ, ὡς αὐτοῖς
διάκειται. καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ
γῆς ὅρων τὰς μάχας ποιοῦνται. ἡμῖν δὲ ἐς πᾶσαν τὴν, ἢν νικηθῶμεν
εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται. ἐσελθόντες γὰρ βίᾳ τὰ
ἡμέτερα ἕξουσι. τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν πα-
ροίκησιν τῶνδε ἔχομεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει ὥσπερ
Ἀθηναῖοι νῦν ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ
μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν. τὸν δὲ ἔξω ὅ-
ρων προαπαντῶντα καὶ ἢν καιρὸς ᾖ πολέμου ἄρχοντα, ἧσσον
ἑτοίμως κατέχειν. πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε.
νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτοὺς ὅτε τὴν γῆν ἡμῶν στασια-
ζόντων κατέσχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε
κατεστήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυ-
τέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις τούς τε νεωτέρους πα-
τέρων τῶν τότε ἀγαθῶν γενομένους παῖδας πειρᾶσθαι

μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς· πιστεύσαντες δὲ τῷ
θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέ
μονται, καὶ τοῖς ἱεροῖς, ἃ ἡμῖν θυσαμένοις καλὰ φαί
νεται, ὁμόσε χωρήσωμεν τοῖσδε καὶ δείξωμεν ὅτι ὧν μὲν ἐφίενται
πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθων· οἷς δὲ γεν
ναῖον τήν τε αὐτῶν ἐλευθεροῦν αἰεὶ μάχῃ καὶ τὴν ἄλλων μὴ
δουλοῦσθαι ἀδίκως, ἀνανταγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασι. τοι
αῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν ἰέναι
ἐπὶ τοὺς Ἀθηναίους. καὶ κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρα
τόν· ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν. καὶ ἐπειδὴ προσέ
μιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας
ὅθεν λόφου ὄντος μεταξὺ οὐκ ἐθεώρων ἀλλήλους, ἔτασσε
καὶ παρεσκευάζετο ὡς ἐς μάχην. τῷ δὲ Ἱπποκράτει ὄντι
περὶ τὸ Δήλιον, ὡς αὐτῷ ἠγγέλθη ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμ
πει ἐς τὸ στράτευμα κελεύων ἐς τάξιν καθίστασθαι. καὶ αὐ
τὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱπ
πέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι
αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο
ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀ
μυνουμένους. καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν
τοῦ λόφου. καὶ ἔθεντο τὰ ὅπλα τεταγμένοι ὥσπερ ἔτυχον (ἔμελλον)
ὁπλῖται ἑπτακισχίλιοι μάλιστα. καὶ ψιλοὶ ὑπὲρ μυρίους,
ἱππῆς τε χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν
κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτῶν· μέσοι δὲ Ἁλιάρτιοι
καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην.
τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι.
ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσ
πίδας δὲ πέντε μὲν καὶ εἴκοσιν οἱ Θηβαῖοι ἐτάξαντο. οἱ δὲ
ἄλλοι ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν παρασκευὴ καὶ διάκοσμος

ἦν· ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται, ὀκτὼ ἐπὶ πᾶν τὸ στρατόπεδον ἐτάξαντο· ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις· ἱππῆς δὲ ἐφ' ἑκατέρω τῷ κέρα· ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι, οὔτε τότε παρῆσαν, οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε πανστρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ' οἴκου, οὐ παρεγένοντο ὅτι μὴ ὀλίγοι· καθεστώτων δὲ ἐς τὴν τάξιν, καὶ ἤδη μελλόντων ξυνιέναι, ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν ἀθηναίων, παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε·

### δημηγορία ἱπποκράτους

ὦ ἀθηναῖοι· δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται· τὸ ἴσον δὲ πρός γε τοὺς ἀγαθοὺς ἄνδρας δύναται· καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν· παραστῇ δὲ μηδενὶ ὑμῶν ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσοῦτον κίνδυνον ἀναρριπτοῦμεν· ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν· ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε· καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε· χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων· οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ μυρωνίδου ἐν οἰνοφύτοις τὴν βοιωτίαν ποτὲ ἔσχον· τοιαῦτα τοῦ ἱπποκράτους παρακελευομένου· καὶ μέχρι μὲν μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι φθάσαντος, οἱ βοιωτοὶ παρακελευσαμένου καὶ σφίσιν ὡς διὰ ταχέων καὶ ἐνταῦθα παγώνδου· παιανίσαντες ἐπῇσαν ἀπὸ τοῦ λόφου· ἀντεπῇσαν δὲ καὶ οἱ ἀθηναῖοι· καὶ προσέμειξαν δρόμῳ· καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθον ἐς χεῖρας· ἀλλὰ τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν· τὸ δὲ

ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει· καὶ τὸ
μὲν εὐώνυμον τῶν βοιωτῶν, καὶ μέχρι μέσου ἡσσᾶτο ὑπὸ τῶν
ἀθηναίων· καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ καὶ οὐχ ἥκιστα
τοὺς θεσπιέας, ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων
καὶ κυκλωθέντων ἐν ὀλίγῳ οἵπερ διεφθάρησαν θεσπιέων
ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν· καί τινες καὶ τῶν ἀθη-
ναίων διὰ τὴν κύκλωσιν ταραχθέντες, ἠγνόησάν τε καὶ ἀ-
πέκτειναν ἀλλήλους· τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν βοιωτῶν· καὶ
πρὸς τὸ μαχόμενον κατέφυγεν· τὸ δὲ δεξιὸν ᾗ οἱ θηβαῖοι
ἦσαν, ἐκράτει τῶν ἀθηναίων· καὶ ὠσάμενοι κατὰ βραχὺ
τὸ πρῶτον ἐπηκολούθουν· καὶ ξυνέβη παγώνδου δύο τέλη
πέμψαντος τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον ὡς
ἐπόνει τὸ εὐώνυμον αὐτῶν καὶ ὑπερφανέντων αἰφνιδίως,
τὸ νικῶν τῶν ἀθηναίων κέρας νομίσαν ἄλλο στράτευμα ἐπι-
έναι, ἐς φόβον καταστῆναι· καὶ ἀμφοτέρωθεν ἤδη ὑπό τε
τοῦ τοιούτου καὶ ὑπὸ τῶν θηβαίων ἐφεπομένων καὶ παραρ-
ρηγνύντων, φυγὴ καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν ἀθηναίων·
καὶ οἱ μέν, πρὸς τὸ δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν· οἱ δέ,
ἐπὶ τοῦ ὠρωποῦ· ἄλλοι δὲ πρὸς πάρνηθα τὸ ὄρος· οἱ δέ, ὡς
ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας· βοιωτοὶ δὲ ἐφεπόμενοι
ἔκτεινον· καὶ μάλιστα οἱ ἱππῆς οἵ τε αὐτῶν καὶ οἱ λοκροὶ βε-
βοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλα-
βούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη·
καὶ τῇ ὑστεραίᾳ οἵ τε οἱ ἐκ τοῦ ὠρωποῦ καὶ οἱ ἐκ τοῦ δηλίου,
φυλακὴν καταλιπόντες, εἶχον γὰρ αὐτὸ ὅμως ἔτι, ἀπεκομί-
σθησαν κατὰ θάλασσαν ἐπ' οἴκου· καὶ οἱ βοιωτοὶ τροπαῖον
στήσαντες, καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκρούς, τούς τε τῶν
πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνε-
χώρησαν ἐς τὴν τάναγραν· καὶ τῷ δηλίῳ ἐπεβούλευον, ὡς

προσβαλόντες. ἐκ δὲ τῶν ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ
τοὺς νεκροὺς ἀπαντᾷ κήρυκι βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας
καὶ εἰπὼν ὅτι οὐδὲν πράξει, πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, κα-
ταστὰς ἐπὶ τοὺς ἀθηναίους ἔλεγε τὰ τῶν βοιωτῶν, ὅτι οὐ δικαίως
δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν ἑλλήνων. πᾶσι γὰρ εἶ-
ναι καθεστηκὸς ἰόντας ἐπὶ τὴν ἀλλήλων, ἱερῶν τῶν ἐνόντων ἀ-
πέχεσθαι. ἀθηναίους δὲ δήλιον τειχίσαντας ἐνοικεῖν. καὶ ὅσα ἄν-
θρωποι ἐν βεβήλῳ δρῶσι πάντα γίγνεσθαι αὐτόθι. ὕδωρ τε ὃ ἦν
ἄψαυστον σφίσι, πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνα-
σπάσαντας ὑδρεύεσθαι. ὥστε ὑπέρ τε τοῦ θεοῦ βοιωτοὺς καὶ
ἑαυτῶν ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν ἀπόλ-
λω, προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας, ἀποφέρεσθαι
τὰ σφέτερα αὐτῶν. τοσαῦτα τοῦ κήρυκος εἰπόντος οἱ ἀθηναῖοι
πέμψαντες παρὰ τοὺς βοιωτοὺς ἑαυτῶν κήρυκα, τοῦ μὲν ἱεροῦ
οὔτε ἀδικῆσαι ἔφασαν οὐδέν, οὔτε τοῦ λοιποῦ ἑκόντες βλάψειν.
οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ. ἀλλ᾽ ἵνα ἐξ αὐτοῦ τοὺς ἀ-
δικοῦντας σφᾶς μᾶλλον ἀμύνωνται. τὸν δὲ νόμον τοῖς ἕλλησιν
εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἤν τε πλέονος ἤν τε βρα-
χυτέρας, τούτων καὶ τὰ ἱερὰ γίγνεσθαι. τρόποις θεραπευόμενα
οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. καὶ γὰρ βοιωτοὺς καὶ
τοὺς πολλοὺς τῶν ἄλλων ὅσοι ἐξαναστήσαντές τινα βίᾳ νέμονται
γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας, οἰκεῖα νῦν κε-
κτῆσθαι. καὶ αὐτοί, εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων
κρατῆσαι, τοῦτ᾽ ἂν ἔχειν. νῦν δὲ ἐν ᾧ μέρει εἰσὶν ἑκόντες εἶναι
ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι,
ἣν οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ᾽ ἐκείνους προτέρους ἐπὶ τὴν
σφετέραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. πᾶν
δ᾽ εἰκὸς εἶναι τὸ πολέμῳ καὶ δεινῷ τινὶ κατειργόμενον ξύγ-
γνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἀκουσί-

ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς. παρανομίαν τε
ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι· καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ
τῶν ξυμφορῶν τι τολμήσασι. τούς τε νεκροὺς πολὺ μειζόνως ἐκεί-
νους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν, ἢ τοὺς μὴ ἐθέ-
λοντας ὥσπερ τι μιάσματι τὰ πρέποντα τοῖς ἱεροῖς κομίζεσθαι. σα-
φῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν γῆς· οὐ
γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι. ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο. ἀλλὰ κατὰ
τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι. οἱ δὲ Βοιωτοὶ ἀ-
πεκρίναντο. εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσὶν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀ-
ποφέρεσθαι τὰ σφέτερα. εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ
ποιητέον. νομίζοντες τὴν μὲν Ὠρωπίαν ἐν ᾗ τοὺς νεκροὺς ἐν με-
θορίοις τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη. Ἀθηναίων κατὰ τὸ
ὑπήκοον εἶναι. καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν.
οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων. τὸ δὲ ἐκ τῆς ἑαυτ-
ῶν εὐπρεπὲς εἶναι ἀποκρίνασθαι ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαι-
τοῦσιν. ὁ δὲ κῆρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.
καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἐκ τοῦ Μηλιῶς κόλ-
που ἀκοντιστὰς καὶ σφενδονήτας. καὶ βεβοηθηκότων αὐτοῖς
μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ὁπλιτῶν. καὶ τῶν ἐκ
Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν καὶ Μεγα-
ρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον. καὶ προσέβαλον τῷ
τειχίσματι. ἄλλῳ τε τρόπῳ πειράσαντες, καὶ μηχανὴν προσή-
γαγον ἥπερ εἷλεν αὐτό, τοιάνδε. κεραίαν μεγάλην δίχα πρί-
σαντες, ἐκοίλαναν ἅπασαν. καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς.
καὶ ἐπ' ἄκραν λέβητά τε ᾔρτησαν ἁλύσεσι. καὶ ἀκροφύσιον ἀπὸ
τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο. καὶ ἐσεσιδή-
ρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. προσῆγον δὲ ἐκ πολλοῦ
ἁμάξαις τῷ τείχει ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκο-
δόμητο. καὶ ὁπότε εἴη ἐγγὺς φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς

ἐς αὐτὸ ἄκρον τῆς κεραίας ἐφύσων· ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τοὺς λέβητα, ἔχοντά τε ἄνθρακας ἡμμένους, καὶ θεῖον καὶ πίσσαν φλόγα ἐποίει μεγάλην· καὶ ἧψε τοῦ τείχους ὥστε μηδένα ἔτι ἐπ' αὐτοῦ μεῖναι· ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι· τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον· διακόσιοι δὲ ἐλήφθησαν· τῶν δὲ ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς ἐσβὰν, ἀπεκομίσθη ἐπ' οἴκου· τοῦ δὲ δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην. καὶ τοῦ ἀπὸ τῶν ἀθηναίων κήρυκος μηδὲν ἐπισταμένου τῶν γεγενημένων. ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν. ἀπέδοσαν οἱ βοιωτοί· καὶ οὐκέτι ταὐτὰ ἀπεκρίναντο. ἀπέθανον δὲ βοιωτῶν μὲν ἐν τῇ μάχῃ. ὀλίγῳ ἐλάσσους πεντακοσίων· ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων· καὶ ἱπποκράτης ὁ στρατηγός· ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός· μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ δημοσθένης ὀλίγῳ ὕστερον ὡς αὐτῷ τότε πλεύσαντι. τὰ περὶ τὰς σίφας τῆς προδοσίας πέρι οὐ προυχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν τῶν τε ἀκαρνάνων καὶ ἀγραίων καὶ ἀθηναίων τετρακοσίους ὁπλίτας ἀπόβασιν ἐποιήσατο ἐς τὴν σικυωνίαν· καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι, βοηθήσαντες οἱ σικυώνιοι, τοὺς ἀποβεβηκότας ἔτρεψαν· καὶ κατεδίωξαν ἐς τὰς ναῦς· καὶ τοὺς μὲν ἀπέκτειναν· τοὺς δὲ ζῶντας ἔλαβον· τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν· ἀπέθανε δὲ καὶ σιτάλκης ὁ δρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ δηλίῳ στρατεύσας ἐπὶ τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ· σεύθης ὁ σπαραδόκου ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασίλευσεν ὀδρυσῶν τε καὶ τῆς ἄλλης θρᾴκης ἧσπερ καὶ ἐκεῖνος· τοῦ δ' αὐτοῦ χειμῶνος βρασίδας ἔχων τοὺς ἐπὶ θρᾴκης ξυμμάχους, ἐστράτευσεν ἐς ἀμφίπολιν τὴν ἐπὶ στρυμόνι ποταμῷ, ἀθηναίων ἀποικίαν· τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν ἐπεχεί

μὲν πρότερον καὶ ἀρισταγόρας ὁ μιλήσιος φεύγων βασιλέα δα-
ρεῖον, κατοικίσαι· ἀλλὰ ὑπὸ ἠδώνων ἐξεκρούσθη· ἔπειτα δὲ
καὶ οἱ ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα, ὕστερον ἐποίκους
μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον πέμ-
ψαντες οἳ διεφθάρησαν ἐν          ὑπὸ θρᾳκῶν καὶ αὖθις ἑνὸς
δέοντος τριακοστῷ ἔτει ἐλθόντες οἱ ἀθηναῖοι· ἅγνωνος τοῦ νι-
κίου οἰκιστοῦ ἐκπεμφθέντος, ἠδωνοὺς ἐξελάσαντες ἔκτι-
σαν τὸ χωρίον τοῦτο· ὅπερ πρότερον ἐννέα ὁδοὶ ἐκαλεῖτο· ὥρ-
μῶντο δὲ ἐκ τῆς ἠιόνος ἣν αὐτοὶ εἶχον ἐμπόριον τοῦ ποταμοῦ
ἐπὶ τῷ στόματι ἐπιθαλάσσιον· πέντε καὶ εἴκοσι σταδίους ἀπέ-
χον ἀπὸ τῆς νῦν πόλεως· ἣν ἀμφίπολιν ἅγνων ὠνόμασεν ὅτι
ἐπ' ἀμφότερα περιρρέοντος τοῦ στρυμόνος διὰ τὸ περιέχειν
αὐτὴν τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφα-
νῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν· ἐπὶ ταύτην οὖν
ὁ βρασίδας ἄρας ἐξ ἀρνῶν τῆς χαλκιδικῆς ἐπορεύετο τῷ στρα-
τῷ· καὶ ἀφικόμενος περὶ δείλην περὶ τὸν αὐλῶνα καὶ βορ-
μίσκον, ᾗ ἡ βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν· καὶ δειπνο-
ποιησάμενος, ἐχώρει τὴν νύκτα· χειμὼν δὲ ἦν· καὶ ὑπένιφε·
ᾗ καὶ μᾶλλον ὥρμησε· βουλόμενος λαθεῖν τοὺς ἐν τῇ ἀμφιπόλει·
πλὴν τῶν προδιδόντων· ἦσαν γὰρ ἀργιλίων τε ἐν αὐτῇ οἰκή-
τορες· οἱ δὲ ἀργίλιοι εἰσὶν ἀνδρίων ἄποικοι· καὶ ἄλλοι
οἳ ξυνέπρασσον ταῦτα· οἱ μὲν περδίκκᾳ πειθόμενοι· οἱ δὲ
χαλκιδεῦσι· μάλιστα δὲ οἱ ἀργίλιοι ἐγγύς τε προσοικοῦντες
καὶ αἰεί ποτε τοῖς ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες
τῷ χωρίῳ· ἐπειδὴ παρέτυχε ὁ καιρὸς καὶ βρασίδας ἦλθεν,
ἔπραξάν τε ἐκ πλέονος πρὸς τοὺς ἐμπολιτεύοντας σφῶν ἐκεῖ·
ὅπως ἐνδοθήσεται ἡ πόλις· καὶ τότε δεξάμενοι αὐτὸν τῇ
πόλει καὶ ἀποστάντες ἀθηναίων ἐκείνῃ τῇ νυκτὶ, κατέστησαν
τὸν στρατὸν πρόσω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ· ἀπέχει δὲ

Τὸ πόλισμα πλέον τῆς διαβάσεως· καὶ οὐ καθεῖτο τείχη ὥσπερ
νῦν· φυλακὴ δέ τις βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳ-
δίως ὁ βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ
καὶ χειμῶνος ὄντος καὶ ἀπροσδόκητος προσπεσὼν διέβη τὴν
γέφυραν· καὶ τὰ ἔξω τῶν ἀμφιπολιτῶν οἰκούντων κατὰ πᾶν
τὸ χωρίον, εὐθὺς εἶχε· τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ
πόλει γεγενημένης· καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων· τῶν
δέ, καταφευγόντων ἐς τὸ τεῖχος, οἱ ἀμφιπολῖται ἐς θόρυβον
μέγαν κατέστησαν· ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες· καὶ
λέγεται τὸν βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ
τραπέσθαι ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν ἑλεῖν·
νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρατὸν ἐπὶ τὰ ἔξω, ἐπέδραμε· καὶ
οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον ὡς προσεδέχετο ἀπέβαινεν, ἡσύ-
χαζεν· οἱ δὲ ἐναντίοι τοῖς προδιδοῦσι κρατοῦντες τῷ πλήθει ὥσ-
τε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ εὐκλέους
τοῦ στρατηγοῦ ὃς ἐκ τῶν ἀθηνῶν παρῆν αὐτοῖς φύλαξ τοῦ χω-
ρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν τῶν ἐπὶ θρᾴκης· θουκυδίδην
τὸν ὀλόρου ὃς τάδε ξυνέγραψεν, ὄντα περὶ θάσον· ἔστι δὲ ἡ νῆ-
σος παρίων ἀποικία· ἀπέχουσα τῆς ἀμφιπόλεως ἡμίσεος ἡ-
μέρας μάλιστα πλοῦν· κελεύοντες σφίσι βοηθεῖν· καὶ ὁ μὲν
ἀκούσας κατὰ τάχος ἑπτὰ ναυσὶν αἳ ἔτυχον παροῦσαι ἔπλει· καὶ
ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν ἀμφίπολιν πρίν τι ἐνδοῦ-
ναι· εἰ δὲ μή, τὴν ἠιόνα προκαταλαβών· ἐν τούτῳ δὲ ὁ βρα-
σίδας δεδιὼς καὶ τὴν ἀπὸ τῆς θάσου τῶν νεῶν βοήθειαν· καὶ
πυνθανόμενος τὸν θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων
μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα θρᾴκῃ καὶ ἀπ' αὐτοῦ
δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν, ἠπείγετο προκα-
τασχεῖν εἰ δύναιτο τὴν πόλιν· μὴ ἀφικνουμένου αὐτοῦ τὸ πλῆ-
θος τῶν ἀμφιπολιτῶν ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν

καὶ ἀπὸ τῆς θρᾴκης ἀγείροντα αὐτὸν περιπεσεῖν σφᾶς· οὐκ
ἔτι προσχωροῖ· καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο· κήρυγμα
τόδε ἀνειπών· ἀμφιπολιτῶν καὶ ἀθηναίων τῶν ἐνόντων· τὸν
μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ τῆς ἴσης καὶ ὁμοίας μετέχοντα,
μένειν· τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι· τὰ ἑαυτοῦ ἐκφερόμενον
πέντε ἡμερῶν· οἱ δὲ πολλοὶ ἀκούσαντες, ἀλλοιότεροι ἐγένοντο
τὰς γνώμας· ἄλλως τε καὶ βραχὺ μὲν ἀθηναίων ἐμπολιτεῦον·
τὸ δὲ πλέον ξύμμικτον· καὶ τῶν ἔξω ληφθέντων, συχνοὶ
οἰκεῖοι ἔνδον ἦσαν· καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον δίκαιον
εἶναι ὑπελάμβανον· οἱ μὲν ἀθηναῖοι διὰ τὸ ἄσμενοι ἂν ἐξελ-
θεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινά· καὶ ἅμα
οὐ προσδεχόμενοι βοήθειαν ἐν τάχει· ὁ δὲ ἄλλος ὅμιλος πό-
λεώς τε ἐν τῷ ἴσῳ οὐ στερισκόμενοι, καὶ κινδύνου παρὰ δόξαν
ἀφιέμενοι, ὥστε τῶν πρασσόντων τῷ βρασίδᾳ ἤδη καὶ ἐκ
τοῦ φανεροῦ διαδικαιούντων αὐτά, ἐπειδὴ καὶ τὸ πλῆθος
ἑώρων τετραμμένον, καὶ τοῦ παρόντος ἀθηναίων στρατηγοῦ
οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία καὶ προσεδέξαντο
ἐφ' οἷς ἐκήρυξε· καὶ οἱ μὲν, τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδο-
σαν· ὁ δὲ θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ
κατέπλεον ἐς τὴν ἠιόνα· καὶ τὴν μὲν ἀμφίπολιν βρασίδας
ἄρτι εἶχε· τὴν δὲ ἠιόνα παρὰ νύκτα ἐγένετο λαβεῖν· εἰ γὰρ
μὴ ἐβοήθησαν αἱ νῆες διὰ τάχους, ἅμα ἕῳ ἂν εἴχετο· μετὰ
δὲ τοῦτο, ὁ μὲν, τὰ ἐν τῇ ἠιόνι καθίστατο· ὅπως καὶ τὸ αὐτί-
κα ἢν ἐπίῃ ὁ βρασίδας καὶ τὸ ἔπειτα ἀσφαλῶς ἕξοι· δεξά-
μενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι ἄνωθεν κατὰ τὰς σπον-
δάς· ὁ δὲ, πρὸς μὲν τὴν ἠιόνα κατά τε τὸν ποταμὸν πολλοῖς
πλοίοις ἄφνω καταπλεύσας εἴ πως τὴν προύχουσαν λαβὼν
κρατοίη τοῦ ἔσπλου· καὶ κατὰ γῆν ἀποπειράσας ἅμα, ἀμφο-
τέρωθεν ἀπεκρούσθη· τὰ δὲ περὶ τὴν ἀμφίπολιν ἐξηρτύ-

καὶ μύρκινός τε αὐτῷ προσεχώρησεν ἠδωνικὴ πόλις πιττακοῦ
τοῦ ἠδώνων βασιλέως ἀποθανόντος ὑπὸ τῶν γοάξιος παίδων καὶ
βραυροῦς τῆς γυναικὸς αὐτοῦ· καὶ γαληψὸς οὐ πολλῷ ὕστερον καὶ
οἰσύμη· εἰσὶ δὲ αὗται θασίων ἀποικίαι· παρὼν δὲ καὶ περδίκκας
εὐθὺς μετὰ τὴν ἅλωσιν, ξυγκαθίστη ταῦτα· ἐχομένης δὲ τῆς ἀμφι
πόλεως, οἱ ἀθηναῖοι ἐς μέγα δέος κατέστησαν· ἄλλως τε καὶ ὅτι
ἡ πόλις ἦν αὐτοῖς ὠφέλιμος· ξύλων τε ναυπηγησίμων πομπῇ·
καὶ χρημάτων προσόδῳ· καὶ ὅτι μέχρι μὲν τοῦ στρυμόνος ἦν πά
ροδος θεσσαλῶν διαγόντων ἐπὶ τοὺς ξυμμάχους σφῶν τοῖς λακεδαι
μονίοις· τῆς δὲ γεφύρας μὴ κρατούντων ἄνωθεν μὲν μεγάλης οὔσης
ἐπὶ πολὺ λίμνης τοῦ ποταμοῦ· τὰ δὲ πρὸς ἠϊόνα τριήρεσι τηρου
μένων, οὐκ ἂν δύνασθαι προελθεῖν· τότε δὲ ῥᾴδια ἐνόμιζε
γεγενῆσθαι· καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο μὴ ἀποστῶσιν· ὁ γὰρ
βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν παρεῖχε· καὶ ἐν τοῖς
λόγοις πανταχοῦ ἐδήλου ὡς ἐλευθερώσων τὴν ἑλλάδα ἐκπεμ
φθείη· καὶ αἱ πόλεις πυνθανόμεναι αἱ τῶν ἀθηναίων ὑπήκοοι, τῆς
τε ἀμφιπόλεως τὴν ἅλωσιν καὶ ἃ παρέχεται, τήν τε ἐκείνου πρᾳ
ότητα, μάλιστα δὴ ἐπήρθησαν πρὸς τὸ νεωτερίζειν· καὶ ἐπε
κηρυκεύοντο πρὸς αὐτὸν κρύφα ἐπιπαριέναι τε κελεύοντες·
καὶ βουλόμενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι· καὶ γὰρ καὶ
ἄδεια ἐφαίνετο αὐτοῖς· ἐψευσμένοις μὲν τῆς ἀθηναίων δυνά
μεως ἐπὶ τοσοῦτον· ὅση ὕστερον διεφάνη· τὸ δὲ πλέον βουλήσει
κρίνοντες ἀσαφεῖ ἢ προνοίᾳ ἀσφαλεῖ· εἰωθότες οἱ ἄνθρωποι οὗ μὲν
ἐπιθυμοῦσιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι· ὃ δὲ μὴ προσί
ενται λογισμῷ αὐτοκράτορι διωθεῖσθαι· ἅμα δὲ τῶν ἀθηναίων
ἐν τοῖς βοιωτοῖς νεωστὶ πεπληγμένων καὶ τοῦ βρασίδου ἐφολκὰ
καὶ οὐ τὰ ὄντα λέγοντος· ὡς αὐτῷ ἐπὶ νίσαιαν τῇ ἑαυτοῦ μό
νῃ στρατιᾷ οὐκ ἠθέλησαν οἱ ἀθηναῖοι ξυμβαλεῖν· ἐθάρσουν καὶ
ἐπίστευον μηδένα ἂν ἐπὶ σφᾶς βοηθῆσαι· τὸ δὲ μέγιστον διὰ τὸ

ἢ δυνηθεὶς ἦγεν αὐτῷ αὐτίκα· καὶ ὅτι τὸ πρῶτον λακεδαιμονίων
ὀργώντων, ἔμελλον πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἑ-
τοιμοι ἦσαν· ὧν αἰσθανόμενοι οἱ μὲν ἀθηναῖοι φύλακας ὡς
ἐξ ὀλίγου καὶ ἐν χειμῶνι διέπεμπον ἐς τὰς πόλεις· ὁ δὲ, ἐς τὴν
λακεδαίμονα ἐφιέμενος, στρατιὰν αὐτῷ προσαποστέλλειν ἐπέστελ-
λε· καὶ αὐτὸς ἐν τῷ στρυμόνι ναυπηγίαν τριήρων παρεσκευά-
ζετο· οἱ δὲ λακεδαιμόνιοι, τὰ μὲν, καὶ φθόνῳ ἀπὸ τῶν πρώτων
ἀνδρῶν, οὐχ ὑπηρέτησαν αὐτῷ· τὰ δὲ, καὶ βουλόμενοι μᾶλλον
τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου κομίσασθαι καὶ τὸν πόλεμον
καταλῦσαι· τοῦ δ᾽ αὐτοῦ χειμῶνος μεγαρῆς τὰ τείχη μακρὰ τείχη
ἃ σφῶν ἀθηναῖοι εἶχον, κατέσκαψαν ἑλόντες ἐς ἔδαφος· καὶ
βρασίδας μετὰ τὴν ἀμφιπόλεως ἅλωσιν, ἔχων τοὺς ξυμμά-
χους στρατεύει ἐπὶ τὴν ἀκτὴν καλουμένην· ἔστι δὲ ἀπὸ τοῦ βασι-
λέως διορύγματος ἔσω προύχουσα· καὶ ὁ ἄθως αὐτῆς ὄρος
ὑψηλὸν τελευτᾷ ἐς τὸ αἰγαῖον πέλαγος· πόλεις δὲ ἔχει σάνην
μὲν ἀνδρίων ἀποικίαν παρ᾽ αὐτὴν τὴν διώρυχα· ἐς τὸ πρὸς
εὔβοιαν πέλαγος τετραμμένην· τὰς δὲ ἄλλας θυσσὸν καὶ κλε-
ωνὰς καὶ ἀκροθώους, καὶ ὀλόφυξον καὶ δῖον· αἳ οἰκοῦνται
συμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων· καί τι καὶ χαλκι-
δικὸν ἔνι βραχύ· τὸ δὲ πλεῖστον πελασγικόν· τῶν καὶ λῆμνόν
ποτε καὶ ἀθήνας οἰκησάντων τυρσηνῶν· καὶ βισαλτικόν· καὶ
κρηστωνικὸν καὶ ἠδῶνες· κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦ-
σι· καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ βρασίδᾳ· σάνη
καὶ δῖον ἀντέστη· καὶ αὐτῶν τὴν χώραν ἐμμείναντες τῷ στρα-
τῷ ἐδῄου· ὡς δ᾽ οὐκ ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ τορώνην
τὴν χαλκιδικὴν κατεχομένην ὑπὸ ἀθηναίων· καὶ αὐτὸν ἄν-
δρες ὀλίγοι ἐπήγοντο ἕτοιμοι ὄντες τὴν πόλιν παραδοῦναι·
καὶ ἀφικόμενος νυκτὸς ἔτι καὶ περὶ ὄρθρον τῷ στρατῷ
ἐκαθέζετο πρὸς τὸ διοσκόρειον· ὃ ἀπέχει τῆς πόλεως τρεῖς

μάλιστα σταδίους· τὴν μὲν οὖν ἄλλην πόλιν τῶν Τορωναίων καὶ τοὺς
Ἀθηναίους τοὺς ἐμφρουροῦντας ἔλαθεν· οἱ δὲ πράσσοντες αὐτῷ
εἰδότες ὅτι ἥξει, προελθόντες τινὲς αὐτῶν λάθρα ὀλίγοι, ἐτήρουν
τὴν πρόσοδον· καὶ ὡς ᾔσθοντο παρόντα, ἐσκομίζουσι παρ' αὐ
τοὺς ἐγχειρίδια ἔχοντας ἄνδρας ψιλοὺς ἑπτά· τοσοῦτοι γὰρ
μόνοι ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων, οὐ κατέδεισαν εἰσελ
θεῖν· ἦρχε δὲ αὐτῶν Λυσίστρατος Ὀλύνθιος· οἱ διαδύντες διὰ τοῦ
πρὸς τὸ πέλαγος τείχους, καὶ λαθόντες τούς τε ἐπὶ τοῦ ἀνωτά
του φρουρούς, οὔσης τῆς πόλεως πρὸς λόφον, ἀναβάντες
διέφθειραν· καὶ τὴν κατὰ Καναστραῖον πυλίδα διήρουν·
ὁ δὲ Βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν ὀλίγῳ προελ
θών· ἑκατὸν δὲ πελταστὰς προπέμπει· ὅπως ὁπότε πύλαι τινὲς
ἀνοιχθεῖεν, καὶ τὸ σημεῖον ἀρθείη ὃ ξυνέκειτο, πρῶτοι ἐσδρά
μοιεν· καὶ οἱ μέν, χρόνου ἐγγιγνομένου καὶ θαυμάζοντες, κα
τὰ μικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελθόντες· οἱ δὲ τῶν
Τορωναίων ἔνδοθεν παρασκευάζοντες, μετὰ τῶν ἐσεληλυθό
των, ὡς αὐτοῖς ἥ τε πυλὶς διήρητο καὶ αἱ κατὰ τὴν ἀγορὰν πύ
λαι τοῦ μοχλοῦ διακοπέντος ἀνεῴγοντο· πρῶτον μὲν κατὰ
τὴν πυλίδα τινὰς περιαγαγόντες ἐσεκόμισαν· ὅπως κατὰ
νώτου καὶ ἀμφοτέρωθεν τοὺς ἐν τῇ πόλει οὐδὲν εἰδότας, ἐξαπί
νης φοβήσειαν· ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρὸς ὡς εἴρητο ἀνέ
σχον· καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν τοὺς λοιποὺς ἤδη
τῶν πελταστῶν ἐσεδέχοντο· καὶ ὁ Βρασίδας ἰδὼν τὸ ξύνθημα
ἔθει δρόμῳ ἀναστήσας τὸν στρατόν· ἐμβοήσαντάς τε ἀθρόον
καὶ ἔκπληξιν πολλὴν τοῖς ἐν τῇ πόλει παρασχόντας· καὶ οἱ μὲν
κατὰ τὰς πύλας εὐθὺς ἐσέπιπτον· οἱ δέ, κατὰ δοκοὺς τετρα
γώνους αἳ ἔτυχον τῷ τείχει συμπεπτωκότι καὶ οἰκοδομουμένῳ
πρὸς λίθων ἀνολκὴν προσκείμεναι· Βρασίδας μὲν οὖν καὶ
τὸ πλῆθος, εὐθὺς ἄνω καὶ ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο·

βουλόμενος κατ' ἄκρας καὶ βεβαίως ἑλεῖν αὐτήν. ὁ δὲ ἄλλος
ὅμιλος κατὰ πάντα ὁμοίως ἐσκεδάννυντο. τῶν δὲ τορωναίων
γιγνομένης τῆς ἁλώσεως, τὸ μὲν πολὺ οὐδὲν εἰδὸς ἐθορυβεῖτο.
οἱ δὲ πράσσοντες καὶ οἷς ταῦτα ἤρεσκε, μετὰ τῶν ἐσελθόντων
εὐθὺς ἦσαν. οἱ δὲ ἀθηναῖοι ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται κα
θεύδοντες ὡς πεντήκοντα, ἐπειδὴ ᾔσθοντο, οἱ μέν τινες ὀλίγοι
διαφθείρονται ἐν χερσὶν αὐτῶν. τῶν δὲ λοιπῶν. οἱ μὲν πεζῇ. οἱ
δέ, ἐς τὰς ναῦς αἳ ἐφρούρουν δύο καταφυγόντες, διασῴζονται
ἐς τὴν λήκυθον τὸ φρούριον ὃ εἶχον αὐτοὶ καταλαβόντες, ἄκρον
τῆς πόλεως ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ.
κατέφυγον δὲ καὶ τῶν τορωναίων ἐς αὐτοὺς ὅσοι ἦσαν σφίσιν
ἐπιτήδειοι. γεγενημένης δὲ ἡμέρας ἤδη. καὶ βεβαίως τῆς
πόλεως ἐχομένης. ὁ βρασίδας τοῖς μὲν μετὰ τῶν ἀθηναίων τορω
ναίοις καταπεφευγόσι, κήρυγμα ἐποιήσατο τὸν βουλόμενον
ἐπὶ τὰ ἑαυτοῦ ἐξελθόντα, ἀδεῶς πολιτεύειν. τοῖς δὲ ἀθηναί
οις κήρυκα προσπέμψας, ἐξιέναι ἐκέλευεν ἐκ τῆς ληκύθου
ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας ὡς οὔσης χαλκιδέων. οἱ δέ,
ἐκλείψειν μὲν οὐκ ἔφασαν. σπείσασθαι δὲ σφίσιν ἐκέλευον ἡμέραν
τοὺς νεκροὺς ἀνελέσθαι. ὁ δὲ ἐσπείσατο δύο. ἐν ταύταις δὲ αὐ
τός τε τὰς ἐγγὺς οἰκίας ἐκρατύνατο. καὶ ἀθηναῖοι τὰ σφέτερα.
καὶ ξύλλογον τῶν τορωναίων ποιήσας, ἔλεξε τοῖς ἐν τῇ ἀκάν
θῳ παραπλήσια. ὅτι οὐ δίκαιον εἴη, οὔτε τοὺς πράξαντας
πρὸς αὐτὸν τὴν λῆψιν τῆς πόλεως χείρους, οὐδὲ προδότας ἡ
γεῖσθαι. οὐ γὰρ ἐπὶ δουλείᾳ, οὐδὲ χρήμασι πεισθέντας δρᾶσαι
τοῦτο. ἀλλ' ἐπ' ἀγαθῷ καὶ ἐλευθερίᾳ τῆς πόλεως. οὔτε τοὺς
μὴ μετασχόντας οἴεσθαι μὴ τῶν αὐτῶν τεύξεσθαι. ἀφῖχθαι γὰρ
οὐ διαφθερῶν οὔτε πόλιν οὔτε ἰδιώτην οὐδένα. τὸ δὲ κήρυγ
μα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ' ἀθηναίοις καταπεφευ
γόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ ἐκείνων φιλίᾳ. οὐδ' ἂν

σφῶν πειρασαμένους αὐτοὺς τῶν λακεδαιμονίων δοκεῖν ἧσσον
ἀλλὰ πολλῷ μᾶλλον ὅσῳ δικαιότερα πράσσουσιν, εὔνους ἂν σφίσι
γενέσθαι· ἀπειρίᾳ δὲ νῦν πεφοβῆσθαι· τούς τε πάντας παρα
σκευάζεσθαι ἐκέλευεν ὡς βεβαίους τε ἐσομένους ξυμμάχους·
καὶ τὸ ἀπὸ τοῦδε ὅ,τι ἂν ἤδη ἁμαρτάνωσιν αἰτίαν ἕξοντας· τὰ
δὲ πρότερα οὐ σφεῖς ἀδικεῖσθαι· ἀλλ' ἐκείνους μᾶλλον ὑπ' ἄλλων,
κρεισσόνων· καὶ ξυγγνώμην εἶναι εἴ τι ἠναντιοῦντο· καὶ ὁ μὲν
τοιαῦτα εἰπὼν καὶ παραθαρσύνας διελθουσῶν τῶν σπονδῶν,
τὰς προσβολὰς ἐποιεῖτο τῇ λημύθῳ· οἱ δὲ ἀθηναῖοι ἠμύνοντό τε
ἐκ φαύλου τειχίσματος· καὶ ἀπ' οἰκιῶν ἐπάλξεις ἐχουσῶν· καὶ
μίαν μὲν ἡμέραν ἀπεκρούσαντο· τῇ δ' ὑστεραίᾳ μηχανῆς μελ
λούσης προσάξεσθαι αὐτοῖς ἀπὸ τῶν ἐναντίων ἀφ' ἧς πῦρ ἐνήσειν
διενοοῦντο ἐς τὰ ξύλινα παραφράγματα, καὶ προσιόντος ἤδη
τοῦ στρατεύματος, ᾗ ᾤοντο μάλιστα αὐτοὺς προσκομιεῖν τὴν μη
χανὴν, καὶ ἦν ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ' οἴκημα
ἀντέστησαν· καὶ ὕδατος ἀμφορέας πολλοὺς· καὶ πίθους ἀνε
φόρησαν καὶ λίθους μεγάλους· ἄνθρωποί τε πολλοὶ ἀνέβησαν· τὸ
δὲ οἴκημα λαβὸν μεῖζον ἄχθος, ἐξαπίνης κατερράγη· καὶ
ψόφου πολλοῦ γενομένου, τοὺς μὲν ἐγγὺς, καὶ ὁρῶντας τῶν
ἀθηναίων ἐλύπησε μᾶλλον ἢ ἐφόβησεν· οἱ δὲ ἄπωθεν· καὶ μά
λιστα οἱ διὰ πλείστου νομίσαντες ταύτῃ ἑαλωκέναι ἤδη τὸ χωρίον,
φυγῇ ἐς τὴν θάλασσαν καὶ τὰς ναῦς ὥρμησαν· καὶ ὁ βρασίδας
ὡς ᾔσθετο αὐτοὺς ἀπολείποντάς τε τὰς ἐπάλξεις, καὶ τὸ γιγνό
μενον ὁρῶν, ἐπιφερόμενος τῷ στρατῷ εὐθὺς τὸ τείχισμα λαμ
βάνει· καὶ ὅσους ἐγκατέλαβε διέφθειρε· καὶ οἱ μὲν ἀθηναῖοι
τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ, τούτῳ τῷ τρόπῳ ἐκλιπόντες τὸ
χωρίον, ἐς παλλήνην διεκομίσθησαν· ὁ δὲ βρασίδας ἔστι γὰρ
ἐν τῇ λημύθῳ ἀθηνᾶς ἱερόν, καὶ ἔτυχε κηρύξας ὅτε ἔμελλε
προσβάλλειν, τῷ ἐπιβάντι πρώτῳ τοῦ τείχους τριάκοντα

μνᾶς ἀργυρίου δώσειν, νομίσας ἄλλῳ τινὶ τρόπῳ ἢ ἀνθρωπείῳ τὴν ἅλωσιν γενέσθαι, τάς τε τριάκοντα μνᾶς τῇ θεῷ ἀπέδωκεν ἐς τὸ ἱερόν· καὶ τὴν λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν· καὶ τὸ μὲν λοιπὸν τοῦ χειμῶνος ἅ τε εἶχε τῶν χωρίων καθίστατο· καὶ τοῖς ἄλλοις ἐπεβούλευε· καὶ τοῦ χειμῶνος διελθόντος, ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ· λακεδαιμόνιοι δὲ καὶ ἀθηναῖοι ἅμα ἦρι τοῦ ἐπιγιγνομένου θέρους, εὐθὺς ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον· νομίσαντες ἀθηναῖοι μὲν, οὐκ ἂν ἔτι τὸν βρασίδαν σφῶν προσαποστῆσαι οὐδὲν, πρὶν παρασκευάσαιντο καθ' ἡσυχίαν· καὶ ἅμα εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ πλείω· λακεδαιμόνιοι δὲ ταῦτα τοὺς ἀθηναίους ἡγούμενοι ἅπερ ἐδέδισαν φοβεῖσθαι, καὶ γενομένης διακωχῆς κακῶν καὶ ταλαιπωρίας, μᾶλλον ἐπιθυμήσειν αὐτοὺς πειρασαμένους ξυναλλαγῆναί τε καὶ τοὺς ἄνδρας σφίσιν ἀποδόντας, σπονδὰς ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον· τοὺς γὰρ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι ὡς ἔτι βρασίδας ηὐτύχει· καὶ ἔμελλον ἐπὶ μεῖζον χωρήσαντος αὐτοῦ καὶ ἀντίπαλα καταστήσαντος, τῶν μὲν στέρεσθαι, τοῖς δὲ ἐκ τοῦ ἴσου ἀμυνόμενοι, κινδυνεύσειν καὶ κρατήσειν· γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε καὶ τοῖς ξυμμάχοις ἥδε· περὶ μὲν τοῦ ἱεροῦ καὶ τοῦ μαντείου τοῦ ἀπόλλωνος τοῦ πυθίου, δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως καὶ ἀδεῶς κατὰ τοὺς πατρίους νόμους· τοῖς μὲν λακεδαιμονίοις ταῦτα δοκεῖ καὶ τοῖς ξυμμάχοις τοῖς παροῦσι· βοιωτοὺς δὲ καὶ φωκέας πείσειν φασὶν ἐς δύναμιν προσκηρυκευόμενοι· περὶ δὲ τῶν χρημάτων τῶν τοῦ θεοῦ ἐπιμελεῖσθαι ὅπως τοὺς ἀδικοῦντας ἐξευρήσωμεν, ὀρθῶς καὶ δικαίως τοῖς πατρίοις νόμοις χρώμενοι πάντες· περὶ μὲν οὖν τούτων ἔδοξε λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις. ἐάν

σπονδὰς ποιοῦνται οἱ ἀθηναῖοι· ἐπὶ τοῖς αὐτῶν μένειν ἑκατέρους
ἔχοντας ἅπερ νῦν ἔχομεν· τοὺς μὲν, ἐν τῷ κορυφασίῳ ἐντὸς τῆς
βουφράδος καὶ τοῦ τομέως μένοντας· τοὺς δὲ, ἐν κυθήροις
μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν· μήτε ἡμᾶς πρὸς αὐ-
τούς, μήτε αὐτοὺς πρὸς ἡμᾶς· τοὺς δ' ἐν νισαίᾳ καὶ μινῴᾳ
καὶ ὑπερβαίνοντας τὴν ὁδὸν τὴν ἀπὸ τῶν πυλῶν τῶν ἀπὸ τοῦ
νισαίου ἐπὶ τὸ ποσειδώνιον· ἀπὸ δὲ τοῦ ποσειδωνίου εὐθὺς
ἐπὶ τὴν γέφυραν τὴν ἐς μινῴαν· μὴ δὲ μεγαρέας καὶ τοὺς
ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην καὶ τὴν νῆσον ἥνπερ
περ ἔλαβον οἱ ἀθηναῖοι ἔχοντας, μήτε ἐπιμισγομένους μη-
δετέρους μηδετέρωσε· καὶ τὰ ἐν τροιζῆνι ὅσαπερ νῦν ἔχουσι·
καὶ οἷα ξυνέθεντο πρὸς ἀθηναίους καὶ τῇ θαλάσσῃ χρωμένους
ὅσα ἂν κατὰ τὴν ἑαυτῶν καὶ κατὰ τὴν ξυμμαχίαν, λακεδαι-
μονίους καὶ τοὺς ξυμμάχους πλεῖν μὴ μακρᾷ νηΐ· ἄλλῳ δὲ κωπήρει
πλοίῳ ἐς πεντακόσια τάλαντα ἄγοντι μέτρα· κήρυκι δὲ καὶ
πρεσβείᾳ καὶ ἀκολούθοις ὁπόσοις ἂν δοκῇ περὶ καταλύσεως
τοῦ πολέμου καὶ δικῶν, ἐς πελοπόννησον καὶ ἀθήναζε σπον-
δὰς εἶναι ἰοῦσι καὶ ἀπιοῦσι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν·
τοὺς δὲ αὐτομόλους μὴ δέχεσθαι ἐν τούτῳ τῷ χρόνῳ· μήτε ἐλεύ-
θερον μήτε δοῦλον· μήτε ὑμᾶς μήτε ἡμᾶς· δίκας τε διδό-
ναι ὑμᾶς τε ἡμῖν· καὶ ἡμᾶς τε ὑμῖν· κατὰ τὰ πάτρια τὰ ἀμφίλογα·
δίκῃ διαλύοντας ἄνευ πολέμου· τοῖς μὲν λακεδαιμονίοις
καὶ τοῖς ξυμμάχοις ταῦτα δοκεῖ· εἰ δέ τι ὑμῖν εἴτε κάλλιον εἴτε
δικαιότερον τούτων δοκεῖ εἶναι, ἰόντες ἐς λακεδαίμονα δι-
δάσκετε· οὐδενὸς γὰρ ἀποστήσονται ὅσα ἂν δίκαια λέγοιτε,
οὔτε οἱ λακεδαιμόνιοι οὔτε οἱ ξύμμαχοι· οἱ δὲ ἰόντες τέλος
ἔχοντες, ἰόντων ᾗπερ καὶ ὑμεῖς ἡμᾶς κελεύετε· αἱ δὲ σπον-
δαὶ ἐνιαυτὸν ἔσονται· ἔδοξε τῷ δήμῳ. ἀκαμαντὶς ἐπρυ-
τάνευε· φαίνιππος ἐγραμμάτευε· νικιάδης ἐπεστάτει· λάχης

εἶπε· τύχῃ ἀγαθῇ τῇ ἀθηναίων ποιεῖσθαι τὴν ἐκεχειρίαν· κα
θὰ ξυγχωροῦσιν οἱ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν· καὶ
ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν ἐκεχειρίαν εἶναι ἐνιαυτόν· ἄρχειν
δὲ τήνδε τὴν ἡμέραν· τετράδα ἐπὶ δέκα τοῦ ἐλαφηβολιῶ
νος μηνός· ἐν τούτῳ τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις,
καὶ κήρυκας ποιεῖσθαι τοὺς λόγους· καθ' ὅτι ἔσται ἡ κατάλυσις
τοῦ πολέμου· ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ
τοὺς πρυτάνεις, πρῶτον περὶ τῆς εἰρήνης βουλεύσασθαι ἀθη
ναίους· καθ' ὅτι ἂν ἐσίῃ ἡ πρεσβεία περὶ τῆς καταλύσεως τοῦ
πολέμου· σπείσασθαι δὲ αὐτίκα μάλα τὰς πρεσβείας ἐν τῷ
δήμῳ τὰς παρούσας· ἦ μὴν ἐμμενεῖν ἐν ταῖς σπονδαῖς τὸν
ἐνιαυτόν· ταῦτα ξυνέθεντο λακεδαιμόνιοι· καὶ ὤμοσαν
λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἀθηναίοις καὶ τοῖς ξυμ
μάχοις· μηνὸς ἐν λακεδαίμονι γεραστίου δωδεκάτῃ· ξυνε
τίθεντο δὲ καὶ ἐσπένδοντο, λακεδαιμονίων μὲν οἵδε· ταῦ
ρος ἐχετιμίδου· ἀθήναιος περικλείδου· φιλοχαρίδας·
ἐρυξιδαΐδου· κορινθίων δὲ αἰνέας ὠκύτου· σικυωνί
δὲ δαμότιμος ναυκράτους· ὀνάσιμος μεγακλέους· μεγα
ρέων δὲ, νίκασος κεφάλου· μενεκράτης ἀμφιδώρου· ἐ
πιδαυρίων δὲ· ἀμφίας εὐπαιΐδα· ἀθηναίων δὲ νικόστρα
τος διειτρέφους· νικίας νικηράτου· αὐτοκλῆς τολμαίου· ἡ
μὲν δὴ ἐκεχειρία αὕτη ἐγένετο· καὶ ξυνῇσαν ἐν αὐτῇ περὶ τῶν
μειζόνων σπονδῶν διαπαντὸς ἐς λόγους· περὶ δὲ τὰς ἡμέρ
ταύτας αἷς ἐπήρχοντο, σκιώνη ἐν τῇ πελλήνῃ πόλις· ἀπέστη
ἀπ' ἀθηναίων πρὸς βρασίδαν· φασὶ δὲ οἱ σκιωναῖοι πελ
ληνῆς μὲν εἶναι ἐκ πελοποννήσου· πλέοντας δ' ἀπὸ τροίας
σφῶν τοὺς πρώτους, κατενεχθῆναι ἐς τὸ χωρίον τοῦτο τῷ
χειμῶνι ᾧ ἐχρήσαντο ἀχαιοί· καὶ αὐτοῦ οἰκῆσαι· ἀποστᾶσι
δ' αὐτοῖς ὁ βρασίδας διέπλευσεν νυκτὸς ἐς τὴν σκιώνην·

τριήρει μὲν φιλίᾳ προσπλεούσῃ· αὐτὸς δὲ ἐν κελητίῳ ἄποθεν
ἐφεπόμενος· ὅπως εἰ μέν τινι τοῦ κέλητος μείζονι πλοίῳ πε-
ριτυγχάνοι, ἡ τριήρης ἀμύνηται αὐτῷ· ἀντιπάλου δὲ ἄλλης
τριήρους ἐπιγενομένης, οὐ πρὸς τὸ ἔλασσον νομίζων τρέ-
ψεσθαι· ἀλλ᾽ ἐπὶ τὴν ναῦν καὶ ἐν τούτῳ αὐτὸν διασώσειν· περαι-
ωθεὶς δὲ καὶ ξύλλογον ποιήσας τῶν σκιωναίων, ἔλεγεν ἅ τε ἐν
τῇ ἀκάνθῳ καὶ τορώνῃ· καὶ προσέτι φάσκων ἀξιωτάτους αὐ-
τοὺς εἶναι ἐπαίνου· οἵτινες τῆς παλλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημ-
μένης ὑπὸ ἀθηναίων ποτίδαιαν ἐχόντων, καὶ ὄντες οὐδὲν ἄλλο
ἢ νησιῶται, αὐτεπάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν·
καὶ οὐκ ἀνέμειναν ἀτολμίᾳ ἀνάγκην σφίσι προσγενέσθαι περὶ
τοῦ φανερῶς οἰκείου ἀγαθοῦ· σημεῖόν τε εἶναι τοῦ καὶ ἄλλο
τι ἂν αὐτοὺς τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι· εἴ τε θήσεται κατὰ
νοῦν τὰ πράγματα· πιστοτάτους τε τῇ ἀληθείᾳ ἡγήσεσθαι
αὐτοὺς λακεδαιμονίων φίλους καὶ τἆλλα τιμήσειν· καὶ οἱ μὲν
σκιωναῖοι ἐπήρθησάν τε τοῖς λόγοις· καὶ θαρσήσαντες πάντες
ὁμοίως καὶ οἷς πρότερον μὴ ἤρεσκε τὰ πρασσόμενα, τόν τε πό-
λεμον διενοοῦντο προθύμως οἴσειν· καὶ τὸν βρασίδαν τά τ᾽ ἄλλα
καλῶς ἐδέξαντο· καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ ἀνέδησαν
ὡς ἐλευθεροῦντα τὴν ἑλλάδα· ἰδίᾳ δὲ ἐταινίουν τε καὶ προ-
σήρχοντο ὥσπερ ἀθλητῇ· ὁ δὲ τό τε παραυτίκα φυλακήν
τινα αὐτοῖς ἐγκαταλιπὼν διέβη πάλιν· καὶ ὕστερον οὐ πολλῷ
στρατιὰν πλείω ἐπεραίωσε· βουλόμενος τῆς τε μένδης καὶ
τῆς ποτιδαίας ἀποπειρᾶσαι· ἡγούμενος καὶ τοὺς ἀθηναίους
βοηθῆσαι ἂν ὡς ἐς νῆσον· καὶ βουλόμενος φθάσαι· καί τι αὐτῷ
καὶ ἐπράσσετο ἐς τὰς πόλεις ταύτας προδοσίας πέρι· καὶ ὁ
μὲν, ἔμελλεν ἐγχειρήσειν ταῖς πόλεσι ταύταις· ἐν τούτῳ δὲ τρι-
ήρει οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες ἀφικνοῦνται παρ᾽ αὐτὸν
ἀθηναίων μὲν ἀριστώνυμος· λακεδαιμονίων δὲ ἀθήναιος·

καὶ ἡ μὲν στρατιὰ ἀπῆλθε πάλιν ἐς τορώνην· οἱ δὲ τῷ βρασίδᾳ
ἀνήγγελλον τὴν ξυνθήκην· καὶ ἐδέξαντο πάντες οἱ ἐπὶ θρᾴκης
ξύμμαχοι λακεδαιμονίων τὰ πεπραγμένα· ἀριστώνυμος δὲ
τοῖς μὲν ἄλλοις καθωμολόγει· σκιωναίους δὲ αἰσθόμενος ἐκ λογισ-
μοῦ τῶν ἡμερῶν ὅτι ὕστερον ἀφεστήκοιεν, οὐκ ἔφη ἐνσπόνδους
ἔσεσθαι· βρασίδας δὲ ἀντέλεγε πολλά, ὡς πρότερον οὐκ ἀφίει τὴν
πόλιν· ὡς δ᾽ ἀπήγγειλεν ἐς τὰς ἀθήνας ἀριστώνυμος περὶ αὐτῶν
οἱ ἀθηναῖοι εὐθὺς ἕτοιμοι ἦσαν στρατεύειν ἐπὶ τὴν σκιώνην· οἱ
δὲ λακεδαιμόνιοι πρέσβεις πέμψαντες, παραβήσεσθαι ἔφα-
σαν αὐτοὺς τὰς σπονδάς· καὶ τῆς πόλεως ἀντεποιοῦντο, βρασίδᾳ
πιστεύοντες· δίκῃ τε ἔφασαν ἕτοιμοι εἶναι περὶ αὐτῆς κρίνεσθαι·
οἱ δέ, δίκῃ μὲν οὐκ ἤθελον κινδυνεύειν· στρατεύειν δὲ ὡς τά-
χιστα ὀργὴν ποιούμενοι· εἰ καὶ οἱ ἐν ταῖς νήσοις ἤδη ὄντες, ἀξι-
οῦσι σφῶν ἀφίστασθαι τῇ κατὰ γῆν λακεδαιμονίων ἰσχύι ἀνω-
φελεῖ πιστεύοντες· εἶχε δὲ καὶ ἡ ἀλήθεια περὶ τῆς ἀποστάσεως
μᾶλλον ᾗ οἱ ἀθηναῖοι ἐδικαίουν· δύο γὰρ ἡμέραις ὕστερον
ἀπέστησαν οἱ σκιωναῖοι· ψήφισμά τ᾽ εὐθὺς ἐποιήσαντο κλέ-
ωνος γνώμῃ πεισθέντες σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖ-
ναι· καὶ τἆλλα ἡσυχάζοντες, ἐς τοῦτο παρεσκευάζοντο· ἐν τούτῳ
δὲ μένδη ἀφίσταται αὐτῶν πόλις ἐν τῇ παλλήνῃ, ἐρετριέων ἀ-
ποικία· καὶ αὐτοὺς ἐδέξατο ὁ βρασίδας οὐ νομίζων ἀδικεῖν
ὅτι ἐν τῇ ἐκεχειρίᾳ φανερῶς προσεχώρησαν· ἔστι γὰρ ἃ καὶ
αὐτὸς ἐνεκάλει τοῖς ἀθηναίοις παραβαίνειν τὰς σπονδάς·
διὸ καὶ οἱ μενδαῖοι μᾶλλον ἐτόλμησαν, τήν τε τοῦ βρασίδου
γνώμην ὁρῶντες ἑτοίμην· τεκμαιρόμενοι καὶ ἀπὸ τῆς σκι-
ώνης ὅτι οὐ προυδίδου· καὶ ἅμα τῶν πρασσόντων σφίσιν ὀ-
λίγων ὄντων· καὶ ὡς τότε ἐμέλλησαν οὐκέτι ἀνέντων, ἀλλὰ
περὶ σφίσιν αὐτοῖς φοβουμένων τὸ κατάδηλον· καὶ κατα-
βιασαμένων παρὰ γνώμην τοὺς πολλούς· οἱ δὲ ἀθηναῖοι

εὐθὺς πυθόμενοι, πολλῷ ἔτι μᾶλλον ὀργισθέντες, παρεσκευάζοντο ἐπ' ἀμφοτέρας τὰς πόλεις· καὶ βρασίδας προσδεχόμενος τὸν ἐπίπλουν αὐτῶν, ὑπεκκομίζει ἐς ὄλυνθον τὴν χαλκιδικὴν παῖδας καὶ γυναῖκας τῶν σκιωναίων καὶ μενδαίων· καὶ τῶν πελοποννησίων αὐτοῖς πεντακοσίους ὁπλίτας διέπεμψε· καὶ πελτασὰς τριακοσίους χαλκιδέων· ἄρχοντά τε τῶν ἁπάντων πολυδαμίδαν· καὶ οἱ μὲν τὰ περὶ σφᾶς αὐτοὺς ὡς ἐν τάχει παρεσομένων τῶν ἀθηναίων συνετρεπίζοντο· βρασίδας δὲ καὶ περδίκκας ἐν τούτῳ στρατεύουσιν ἅμα ἐπὶ ἀρραβαῖον τὸ δεύτερον ἐς λύγκον· καὶ ἦγον ὁ μὲν, ὧν ἐκράτει μακεδόνων τὴν δύναμιν, καὶ τῶν ἐνοικούντων ἑλλήνων ὁπλίτας· ὁ δὲ πρὸς τοῖς αὐτοῦ περιλοίποις τῶν πελοποννησίων, χαλκιδέας καὶ ἀκανθίους· καὶ τῶν ἄλλων κατὰ δύναμιν ἑκάστων· ξύμπαν δὲ τὸ ὁπλιτικὸν τῶν ἑλλήνων τρισχίλιοι μάλιστα· ἱππῆς δ' οἱ πάντες ἠκολούθουν μακεδόνων ξὺν χαλκιδεῦσιν ὀλίγου ἐς χιλίους· καὶ ἄλλος ὅμιλος τῶν βαρβάρων πολύς· ἐσβαλόντες δὲ ἐς τὴν ἀρραβαίου, καὶ εὑρόντες ἀντεστρατοπεδευμένους αὐτοῖς τοὺς λυγκηστάς, ἀντεκαθέζοντο καὶ αὐτοί· καὶ ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθεν, πεδίου δὲ τοῦ μέσου ὄντος, οἱ ἱππῆς ἐς αὐτὸ καταδραμόντες, ἱππομάχησαν πρῶτα ἀμφοτέρων· ἔπειτα δὲ καὶ ὁ βρασίδας καὶ ὁ περδίκκας προελθόντων προτέρων ἀπὸ τοῦ λόφου, μετὰ τῶν ἱππέων τῶν λυγκηστῶν ὁπλιτῶν, καὶ ἑτοίμων ὄντων μάχεσθαι· ἀντεπαγαγόντες καὶ αὐτοὶ ξυνέβαλον· καὶ ἔτρεψαν τοὺς λυγκηστάς· καὶ πολλοὺς μὲν διέφθειραν· οἱ δὲ λοιποὶ διαφεύγοντες πρὸς τὰ μετέωρα ἡσύχαζον· μετὰ δὲ τοῦτο τροπαῖον στήσαντες, δύο μὲν ἢ τρεῖς ἡμέρας ἐπέσχον τοὺς ἰλλυριοὺς μένοντες· οἳ ἔτυχον τῷ περδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν· ἔπειτα ὁ περδίκκας ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ ἀρραβαίου κώμας καὶ μὴ καθῆσθαι· βρασίδας δὲ τῆς μένδης περιορώμενος μὴ τῶν ἀθηναίων πρότερον ἐπιπλευ-

σάντων τι πάθῃ· καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος ἦν· ἀλλὰ ἀναχωρεῖν μᾶλλον· καὶ ἐν τούτῳ διαφερομένων αὐτῶν ἠγγέλθη ὅτι καὶ οἱ Ἰλλυριοὶ μετὰ Ἀρραβαίου προδόντες Περδίκκαν γεγένηνται· ὥστε ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν διὰ τὸ δέος αὐτῶν ὄντων μαχίμων ἀνδρῶν· κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι, νυκτός τε ἐπιγενομένης, οἱ μὲν Μακεδόνες καὶ τὸ πλῆθος τῶν βαρβάρων, εὐθὺς φοβηθέντες, ὅπερ φιλεῖ μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι· καὶ νομίσαντες πολλαπλασίους μὲν ἢ ἦλθον ἐπιέναι, ὅσον δὲ οὔπω παρεῖναι, καταστάντες ἐς αἰφνίδιον φυγήν, ἐχώρουν ἐπ' οἴκου· καὶ τὸν Περδίκκαν τὸ πρῶτον οὐκ αἰσθανόμενον, ὡς ἔγνω, ἠνάγκασαν πρὶν τὸν Βρασίδαν ἰδεῖν, ἄπωθεν γὰρ πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο, προαπελθεῖν· Βρασίδας δὲ ἅμα τῇ ἕῳ ὡς εἶδε τοὺς Μακεδόνας προκεχωρηκότας, τούς τε Ἰλλυριοὺς καὶ τὸν Ἀρραβαῖον μέλλοντας ἐπιέναι, ξυναγαγὼν καὶ αὐτὸς ἐς τετράγωνον τάξιν τοὺς ὁπλίτας καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον λαβών, διενοεῖτο ἀναχωρεῖν· ἐκδρόμους δέ, εἴ ποι προσβάλοιεν αὐτοῖς, ἔταξε τοὺς νεωτάτους· καὶ αὐτὸς λογάδας ἔχων τριακοσίους τελευταῖος, γνώμην εἶχεν ὑποχωρῶν, τοῖς τῶν ἐναντίων πρώτοις προσκεισομένοις ἀνθιστάμενος ἀμύνεσθαι· καὶ πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι, ὡς διὰ ταχέων παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε·

δημηγορία βρασίδα

> Εἰ μὲν μὴ ὑπώπτευον, ἄνδρες Πελοποννήσιοι, ὑμᾶς, τῷ τε μεμονῶσθαι καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες καὶ πολλοὶ ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως διδαχὴν ἅμα τῇ παρακελεύσει ἐποιούμην· νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων καὶ τὸ πλῆθος τῶν ἐναντίων, βραχεῖ ὑπομνήματι καὶ παραινέσει τὰ μέγιστα πειράσομαι πείθειν· ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προσήκει τὰ πολέμια, οὐ διὰ ξυμμάχων παρουσίαν ἑκάστοτε· ἀλλὰ δι' οἰκείαν ἀρετήν· καὶ μηδὲν πλῆθος

τε φοβηθῆναι ἑτέρων· οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε·
ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν· ἀλλὰ πλεόνων μᾶλλον ἐλάσσους·
οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν δυναστείαν, ἢ τῷ μαχόμενοι κρα
τεῖν· βαρβάρους δὲ οὓς νῦν ἀπειρίᾳ δέδιτε, μαθεῖν χρὴ ἐξ ὧν
τε προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν· καὶ ἀφ' ὧν ἐγὼ φρά εἰκάζω
ζω τε καὶ ἄλλων ἀκοῇ ἐπίσταμαι, οὐ δεινοὺς ἐσομένους· καὶ γὰρ
ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν πολεμίων δόκησιν ἔχει ἰσχύος
διδαχὴ ἀληθὴς προσγενομένη περὶ αὐτῶν, ἐθάρσυνε μᾶλλον
τοὺς ἀμυνομένους· οἷς δὲ βεβαίως τι πρόσεστιν ἀγαθόν, μὴ
προειδώς τις ἂν αὐτοῖς τολμηρότερον προσφέροιτο· οὗτοι δὲ
τὴν μέλλησιν μὲν ἔχουσι τοῖς ἀπείροις φοβεράν· καὶ γὰρ πλήθει
ὄψεως δεινοί· καὶ βοῆς μεγέθει ἀφόρητοι· ἥ τε διὰ κενῆς ἐπα
νάσεισις τῶν ὅπλων, ἔχει τινὰ δήλωσιν ἀπειλῆς· προσμῖξαι
δὲ τοῖς ὑπομένουσιν αὐτά, οὐχ ὅμοιοι· οὔτε γὰρ τάξιν ἔχοντες
αἰσχυνθεῖεν ἂν λιπεῖν τινα χώραν βιαζόμενοι, ἥ τε φυγὴ καὶ
ἡ ἔφοδος αὐτῶν, ἴσην ἔχουσα δόξαν τοῦ καλοῦ, ἀνεξέλεγ
κτον καὶ τὸ ἀνδρεῖον ἔχει· αὐτοκράτωρ δὲ μάχη μάλιστ' ἂν
καὶ πρόφασιν τοῦ σώζεσθαι πρεπόντως τινὶ πορίσειε· τοῦ τε ἐς
χεῖρας ἐλθεῖν πιστότερον τὸ ἐκφοβεῖν ὑμᾶς ἀκινδύνως ἡγοῦν
ται· ἐκείνῳ γὰρ ἂν πρὸ τούτου ἐχρῶντο. σαφῶς τε πᾶν τὸ προϋ
πάρχον δεινὸν ἀπ' αὐτῶν ὁρᾶτε· ἔργῳ μὲν βραχὺ ὄν· ὄψει δὲ
καὶ ἀκοῇ κατασπέρχον· ὃ ὑπομείναντες ἐπιφερόμενον, καὶ
ὅταν καιρὸς ᾖ, κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες, ἔς τε τὸ ἀσ
φαλὲς θᾶσσον ἀφίξεσθε· καὶ γνώσεσθε τὸ λοιπὸν ὅτι οἱ τοιοῦτοι
ὄχλοι, τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις, ἄπωθεν ἀπει
λαῖς τὸ ἀνδρεῖον, μελλήσει ἐπικομποῦσιν· οἳ δ' ἂν εἴξωσιν αὐ
τοῖς, κατὰ πόδας τὸ εὔψυχον ἐν τῷ ἀσφαλεῖ· ὀξεῖς ἐνδείκνυν
ται. τοιαῦτα ὁ Βρασίδας παραινέσας ὑπῆγε τὸ στράτευμα· οἱ δὲ
βάρβαροι ἰδόντες, πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο· νομί

σαντες φεύγειν τε αὐτόν· καὶ καταλαβόντες διαφθείρειν· καὶ
ὡς αὐτοῖς αἵ τε ἐκδρομαὶ ὅπῃ προσπίπτοιεν ἀπήντων καὶ αὐτὸς
ἔχων τοὺς λογάδας ἐπικειμένους ὑφίστατο, τῇ πρώτῃ ὁρμῇ πα
ρὰ γνώμην ἀντέστησαν· καὶ τὸ λοιπὸν ἐπιφερομένους μὲν δε
χόμενοι ἠμύνοντο· ἡσυχαζόντων δὲ αὐτοὶ ὑπεχώρουν, τότε
δὴ τῶν μετὰ τοῦ βρασίδου ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ, οἱ πολ
λοὶ τῶν βαρβάρων ἀπέσχοντο· μέρος δέ τι καταλιπόντες αὐτοῖς
ἐπακολουθοῦν προσβάλλειν, οἱ λοιποὶ χωρήσαντες δρόμῳ. ἐπί
τε τοὺς φεύγοντας τῶν μακεδόνων οἷς ἐντύχοιεν, ἔκτεινον· καὶ
τὴν ἐσβολὴν ἣ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ, ἐς τὴν ἀρραβαί
ου φθάσαντες προκατέλαβον· εἰδότες οὐκ οὖσαν ἄλλην τῷ βρα
σίδᾳ ἀναχώρησιν· καὶ προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄ
πορον τῆς ὁδοῦ, κυκλοῦνται ὡς ἀποληψόμενοι. ὁ δὲ γνοὺς
προεῖπε τοῖς μεθ' αὑτοῦ τριακοσίοις. ὃν ᾤετο μᾶλλον ἂν ἑλεῖν
τὸν λόφον, χωρήσαντας πρὸς αὐτὸν δρόμῳ ὡς τάχιστα ὡς
ἕκαστος δύναται ἄνευ τάξεως, πειρᾶσαι ἀπ' αὐτοῦ ἐκκροῦσαι
τοὺς ἤδη ἐπόντας βαρβάρους, πρὶν καὶ τὴν πλέονα κύκλω
σιν σφῶν αὐτόσε προσμῖξαι· καὶ οἱ μὲν προσπεσόντες ἐκρά
τησαν τῶν ἐπὶ τοῦ λόφου· καὶ ἡ πλείων ἤδη στρατιὰ τῶν
ἑλλήνων, ῥᾷον πρὸς αὐτὸν ἐπορεύετο· οἱ γὰρ βάρβαροι καὶ
ἐφοβήθησαν τῆς τροπῆς αὐτοῖς ἐνταῦθα γενομένης σφῶν
ἀπὸ τοῦ μετεώρου· καὶ οὐκ ἔτι ἐπηκολούθουν· νομίζοντες
καὶ ἐν μεθορίοις εἶναι αὐτοὺς ἤδη καὶ διαπεφευγέναι· βρα
σίδας δὲ ὡς ἀντελάβετο τῶν μετεώρων, κατὰ ἀσφάλειαν
μᾶλλον ἰὼν αὐθημερὸν ἀφικνεῖται ἐς ἄρνισαν πρῶτον
τῆς περδίκκου ἀρχῆς· καὶ αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται
τῇ προαναχωρήσει τῶν μακεδόνων, ὅσοις ἐνέτυχον κατὰ τὴν
ὁδὸν, ζεύγεσιν αὐτῶν βοεικοῖς, ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι οἷα
ἐν νυκτερινῇ καὶ φοβερᾷ ἀναχωρήσει εἰκὸς ἦν ξυμβῆναι,

τὰ μὲν, ἀπολλύντες καὶ ἔκοπτον· τῶν δὲ, οἰκήσεων ἐπεσκήνουν·
ἀπὸ τούτου τε πρῶτον περδίκκας βρασίδαν τε πολέμιον ἐνό
μισε εἶναι· καὶ ἐς τὸ λοιπὸν πελοποννησίων, τῇ μὲν γνώμῃ
δι' ἀθηναίους οὐ ξύνηθες μῖσος εἶχε· τῶν δὲ ἀναγκαίων ξυμ
φόρων διαναστὰς ἔπρασσεν ὅτῳ τρόπῳ τάχιστα τοῖς μὲν ξυμ
βήσεται· τῶν δὲ, ἀπαλλάξεται· βρασίδας δὲ ἀναχωρήσας ἐκ μα
κεδονίας ἐς τορώνην, καταλαμβάνει ἀθηναίους, μένδην ἤδη
ἔχοντας· καὶ αὐτοῦ ἡσυχάζων· ἐς μὲν τὴν παλλήνην ἀδύ
νατος ἤδη ἐνόμιζεν εἶναι διαβὰς τιμωρεῖν· τὴν δὲ τορώνην
ἐν φυλακῇ εἶχεν· ὑπὸ γὰρ τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ λύγκῳ
ἐξέπλευσαν ἐπί τε τὴν μένδην καὶ τὴν σκιώνην οἱ ἀθηναῖοι
ὥσπερ παρεσκευάζοντο· ναυσὶ μὲν πεντήκοντα· ὧν ἦσαν δέκα
χῖαι· ὁπλίταις δὲ χιλίοις ἑαυτῶν καὶ τοξόταις ἑξακοσίοις
καὶ θρᾳξὶ μισθωτοῖς χιλίοις· καὶ ἄλλοις τῶν αὐτόθεν ξυμμάχ
πελτασταῖς· ἐστρατήγει δὲ νικίας ὁ νικηράτου· καὶ νικόστρα
τος ὁ διιτρέφους· ἄραντες δὲ ἐκ ποτιδαίας ταῖς ναυσὶ καὶ
σχόντες κατὰ τὸ ποσειδώνιον· ἐχώρουν ἐς τοὺς μενδαίους· οἱ δὲ
αὐτοί τε καὶ σκιωναίων τριακόσιοι βεβοηθηκότες πελοποννη
σίων τε οἱ ἐπίκουροι, ξύμπαντες δὲ ἑπτακόσιοι ὁπλῖται καὶ
πολυδαμίδας ὁ ἄρχων αὐτῶν, ἔτυχον ἐξεστρατοπεδευμένοι
ἔξω τῆς πόλεως ἐπὶ λόφου καρτεροῦ· καὶ αὐτοῖς νικίας μὲν
μεθωναίους ἔχων εἴκοσι καὶ ἑκατὸν ψιλούς, καὶ λογάδας
τῶν ἀθηναίων ὁπλιτῶν ἑξήκοντα, καὶ τοὺς τοξότας ἅπαντας
κατὰ ἀτραπόν τινα τοῦ λόφου πειρώμενος προσβῆναι καὶ
τραυματιζόμενος ὑπ' αὐτῶν, οὐκ ἠδυνήθη βιάσασθαι· νικό
στρατος δὲ ἄλλῃ ἐφόδῳ ἐκ πλέονος παντὶ ἅμα στρατοπέδῳ
ἐπιὼν τῷ λόφῳ, ὄντι δυσβάτῳ, καὶ πάνυ ἐθορυβήθη· καὶ
ὀλίγου ἀφίκετο πᾶν τὸ στράτευμα τῶν ἀθηναίων νικηθῆναι·
καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ὡς οὐκ ἐνέδοσαν οἱ μενδαῖοι, καὶ

καὶ οἱ ξύμμαχοι ἀναχωρήσαντες, ἐστρατοπεδεύσαντο· καὶ οἱ
μὲν μενδαῖοι νυκτὸς ἐπελθούσης, ἐς τὴν πόλιν ἀπῆλθον· τῇ δ'
ὑστεραίᾳ οἱ μὲν ἀθηναῖοι περιπλεύσαντες ἐς τὸ πρὸς σκιώνης
τό τε προάστειον εἷλον· καὶ τὴν ἡμέραν ἅπασαν ἐδῄουν τὴν γῆν
οὐδενὸς ἐπεξιόντος· ἦν γάρ τι καὶ στασιασμοῦ ἐν τῇ πόλει· οἱ
δὲ τριακόσιοι τῶν σκιωναίων τῆς ἐπιούσης νυκτὸς ἀπεχώρη-
σαν ἐπ' οἴκου· καὶ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ, νικίας μὲν τῷ ἡμί-
σει τοῦ στρατοῦ, προϊὼν ἅμα ἐς τὰ μεθόρια τῶν σκιωναίων τὴν
γῆν ἐδῄου· νικόστρατος δὲ τοῖς λοιποῖς κατὰ τὰς ἄνω πύλας
ᾗ ἐπὶ ποτιδαίας ἔρχονται, προσεκάθητο τῇ πόλει· ὁ δὲ πολυ-
δαμίδας, ἔτυχε γὰρ ταύτῃ τοῖς μενδαίοις καὶ ἐπικούροις ἐντὸς
τοῦ τείχους τὰ ὅπλα κείμενα, διατάσσει τε ὡς ἐς μάχην· καὶ πα-
ρῄνει τοῖς μενδαίοις ἐπεξιέναι· καὶ τινος αὐτῷ τῶν ἀπὸ τοῦ δή-
μου ἀντειπόντος κατὰ τὸ στασιαστικὸν ὅτι οὐκ ἐπέξεισιν, οὐδὲ δέ-
οιτο πολεμεῖν, καὶ ὡς ἀντεῖπεν, ἐπισπασθέντος τε τῇ χειρὶ ὑπ' αὐ-
τοῦ, καὶ θορυβηθέντος, ὁ δῆμος εὐθὺς ἀναλαβὼν τὰ ὅπλα
περιοργὴς ἐχώρει· ἐπί τε πελοποννησίους, καὶ τοὺς τὰ ἐναντία
σφίσι μετ' αὐτῶν πράξαντας· καὶ προσπεσόντες, τρέπουσιν ἅ-
μα μὲν μάχῃ αἰφνιδίῳ· ἅμα δὲ τοῖς ἀθηναίοις τῶν πυλῶν
ἀνοιγομένων φοβηθέντων, ᾠήθησαν γὰρ ἀπὸ προειρημένου
τινὸς αὐτοῖς τὴν ἐπιχείρησιν γενέσθαι, καὶ οἱ μὲν ἐς τὴν ἀκρό-
πολιν ὅσοι μὴ αὐτίκα διεφθάρησαν, κατέφυγον, ἥνπερ καὶ
τὸ πρότερον αὐτοὶ εἶχον· οἱ δὲ ἀθηναῖοι, ἤδη γὰρ καὶ ὁ νικίας
ἐπαναστρέψας πρὸς τῇ πόλει ἦν, προσπεσόντες ἐς τὴν μένδην,
ἅτε οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρατιᾷ ὡς κα-
τὰ κράτος ἑλόντες, διήρπασαν· καὶ μόλις οἱ στρατηγοὶ κα-
τέσχον, ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθείρεσθαι· καὶ τοὺς μὲν
μενδαίους μετὰ ταῦτα, πολιτεύεσθαι ἐκέλευον ὥσπερ εἰώθεσαν·
αὐτοὺς κρίναντας ἐν σφίσιν αὐτοῖς, εἴ τινας ἡγοῦνται αἰτίους

τῆς ἀποστάσεως· τοὺς δ' ἐν τῇ ἀκροπόλει ἀπετείχιζον ἑκατέρωθεν τείχει ἐς θάλασσαν καὶ φυλακὴν ἐπικαθίσταντο. ἐπειδὴ δὲ τὰ περὶ τὴν μένδην κατέσχον, ἐπὶ τὴν σκιώνην ἐχώρουν. οἱ δὲ ἀντεπεξελθόντες αὐτοὶ καὶ πελοποννήσιοι, ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς πόλεως. ὃν εἰ μὴ ἕλοιεν οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις. προσβαλόντες δ' αὐτῷ κατὰ κράτος οἱ ἀθηναῖοι, καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπόντας, ἐστρατοπεδεύσαντό τε καὶ ἐς τὸν ἀποτειχισμὸν τροπαῖον στήσαντες, παρεσκευάζοντο. καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων, οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ μένδῃ πολιορκούμενοι ἐπίκουροι, βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν νυκτὸς ἀφικνοῦνται· καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ σκιώνῃ στρατόπεδον, ἐσῆλθον ἐς αὐτήν. περιτειχιζομένης δὲ τῆς σκιώνης, περδίκκας, τοῖς τῶν ἀθηναίων στρατηγοῖς ἐπικηρυκευσάμενος, ὁμολογίαν ποιεῖται πρὸς τοὺς ἀθηναίους διὰ τὴν τοῦ βρασίδου ἔχθραν περὶ τῆς ἐκ τῆς λύγκου ἀναχωρήσεως, εὐθὺς τότε ἀρξάμενος πράσσειν. καὶ ἐτύγχανε γὰρ τότε ἰσχαγόρας ὁ λακεδαιμόνιος στρατιὰν μέλλων πεζῇ πορεύσειν ὡς βρασίδαν. ὁ δὲ περδίκκας ἅμα ἅμα μὲν κελεύοντος τοῦ νικίου ἐπειδὴ ξυνεβεβήκει ἔνδηλόν τι ποιεῖν τοῖς ἀθηναίοις βεβαιότητος πέρι. ἅμα δ' αὐτὸς βουλόμενος οὐκέτι πελοποννησίους ἐς τὴν αὐτοῦ ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν θεσσαλίᾳ ξένους, χρώμενος αἰεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα καὶ τὴν παρασκευήν, ὥστε μηδὲ πειρᾶσθαι θεσσαλῶν. ἰσχαγόρας μέντοι καὶ ἀμεινίας καὶ ἀριστεύς, αὐτοί τε ὡς βρασίδαν ἀφίκοντο ἐπιδεῖν πεμψάντων λακεδαιμονίων τὰ πράγματα. καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας ἐξῆγον ἐκ σπάρτης, ὥστε τῶν πόλεων ἄρχοντας καθιστάναι· καὶ μὴ τοῖς ἐντυχοῦσιν ἐπιτρέπειν. καὶ κλεαρίδαν μὲν τὸν κλεωνύμου καθιστᾶσιν

ἐν ἀμφιπόλει· ἐπιτελίδαν δὲ τὸν ἡγησάνδρου ἐπὶ τορώνῃ. ἐν δὲ τῷ αὐτῷ θέρει θηβαῖοι θεσπιέων τεῖχος περιεῖλον, ἐπικαλέσαντες ἀττικισμόν· βουλόμενοι μὲν καὶ ἀεί, παρεστηκὸς δὲ ῥᾷον· ἐπειδὴ καὶ ἐν τῇ πρὸς ἀθηναίους μάχῃ ὅτι ἦν αὐτῶν ἄνθος ἀπολώλει· καὶ ὁ νεὼς τῆς ἥρας τοῦ αὐτοῦ θέρους κατεκαύθη ἐν ἄργει· χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα καὶ ἐπικαταδαρθούσης· ὥστε ἔλαθεν ἀφθέντα πάντα καὶ καταφλεχθέντα· καὶ ἡ χρυσὶς μὲν εὐθὺς τῆς νυκτὸς δείσασα τοὺς ἀργείους, ἐς φλιοῦντα φεύγει· οἱ δέ, ἄλλην ἱέρειαν ἐκ τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο, φαεινίδα ὄνομα· ἔτη δὲ ἡ χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτώ· καὶ ἔνατον ὅτε ἐπεφεύγει ἐκ μέσου· καὶ ἡ σκιώνη τοῦ θέρους ἤδη τελευτῶντος περιετετείχιστό τε παντελῶς· καὶ οἱ ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ· ἐν δὲ τῷ ἐπιόντι χειμῶνι, τὰ μὲν τῶν ἀθηναίων καὶ λακεδαιμονίων ἡσύχαζε· διὰ τὴν ἐκεχειρίαν· μαντινῆς δὲ καὶ τεγεᾶται καὶ οἱ ξύμμαχοι ἑκατέρων, ξυνέβαλον ἐν λαοδικίῳ τῆς ὀρεστίδος· καὶ νίκη ἀμφιδήριτος ἐγένετο· κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὐτούς, τροπαῖά τε ἀμφότεροι ἔστησαν· καὶ σκῦλα ἐς δελφοὺς ἀπέπεμψαν· διαφθαρέντων μέντοι πολλῶν ἑκατέροις· καὶ ἀγχωμάλου τῆς μάχης γενομένης, καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον, οἱ τεγεᾶται μὲν ἐπηυλίσαντό τε καὶ εὐθὺς ἔστησαν τροπαῖον· μαντινῆς δὲ ἀπεχώρησάν τε ἐς βουκολίωνα, καὶ ὕστερον ἀντέστησαν· ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ βρασίδας τελευτῶντος καὶ πρὸς ἔαρ ἤδη, ποτιδαίας· προσελθὼν γὰρ νυκτὸς καὶ κλίμακα προσθείς, μέχρι μὲν τούτου ἔλαθε· τοῦ γὰρ κώδωνος παρενεχθέντος οὕτως ἐς τὸ διάκενον πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτόν, ἡ πρόσθεσις ἐγένετο· ἔπειτα μέντοι εὐθὺς αἰσθομένων πρὶν προσβῆναι, ἀπήγαγε πάλιν

κατὰ τάχος τὴν στρατιάν· καὶ οὐ περιέμεινεν ἡμέραν γενέσθαι· καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἔνατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

## Θουκυδίδου ξυγγραφῆς ε

Τοῦ δ' ἐπιγιγνομένου θέρους, αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων· καὶ ἐν τῇ ἐκεχειρίᾳ Ἀθηναῖοι Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι κατὰ παλαιάν τινα αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι· καὶ ἅμα ἐλλιπὲς σφίσιν εἶναι τοῦτο τῆς καθάρσεως ᾗ πρότερόν μοι δεδήλωται· ὡς ἀνελόντες τὰς θήκας τῶν τεθνεώτων, ὀρθῶς ἐνόμισαν ποιῆσαι· καὶ οἱ μὲν Δήλιοι Ἀτραμύττιον Φαρνάκου δόντος αὐτοῖς ἐν τῇ Ἀσίᾳ ᾤκησαν οὕτως ὡς ἕκαστος ὥρμητο· Κλέων δὲ Ἀθηναίους πείσας ἐς τὰ ἐπὶ Θρᾴκης χωρία ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν· Ἀθηναίων μὲν ὁπλίτας ἔχων διακοσίους καὶ χιλίους· καὶ ἱππέας τριακοσίους· τῶν δὲ ξυμμάχων πλείους· ναῦς δὲ τριάκοντα· σχὼν δὲ ἐς Σκιώνην πρῶτον πολιορκουμένην ἔτι, καὶ προσλαβὼν αὐτόθεν ὁπλίτας τῶν φρουρῶν κατέπλευσε ἐς τὸν Κωφὸν λιμένα τῶν Τορωναίων ἀπέχοντα οὐ πολὺ τῆς πόλεως· ἐκ δ' αὐτοῦ αἰσθόμενος ὑπ' αὐτομόλων ὅτι οὔτε Βρασίδας ἐν Τορώνῃ οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν, τῇ μὲν στρατιᾷ τῇ πεζῇ ἐχώρει ἐς τὴν πόλιν· ναῦς δὲ περιέπεμψε δέκα ἐς τὸν λιμένα περιπλεῖν· καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται, ὃ προσπεριέβαλε τῇ πόλει ὁ Βρασίδας, ἐντὸς βουλόμενος ποιῆσαι τὸ προάστειον· καὶ διελὼν τοῦ παλαιοῦ τείχους, μίαν αὐτὴν ἐποίησε πόλιν. βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακή, προσβαλόντων τῶν Ἀθηναίων, ἠμύνοντο· καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες ἅμα περιέπλεον ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασιτελίδας μὴ αἱ νῆες φθάσωσι

καταλαβοῦσαι ἐρῆμον τὴν πόλιν. καὶ τοῦ τειχίσματος ἀγομένου ἐγκαταληφθῇ, ἀπολιπὼν αὐτὸ, δρόμῳ ἐχώρει πρὸς τὴν πόλιν. οἱ δὲ ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν, ἑλόντες τὴν τορώνην καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεὶ κατὰ τὸ διῃρημένον τοῦ παλαιοῦ τείχους ξυνεσπεσών. καὶ τοὺς μὲν ἀπέκτειναν τῶν πελοποννησίων καὶ τορωναίων εὐθὺς ἐν χερσί· τοὺς δὲ, ζῶντας ἔλαβον· καὶ πασιτελίδαν τὸν ἄρχοντα· βρασίδας δὲ ἐβοήθει μὲν τῇ τορώνῃ. αἰσθόμενος δὲ καθ᾽ ὁδὸν ἑαλωκυῖαν, ἀνεχώρησεν. ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών· ὁ δὲ κλέων καὶ οἱ ἀθηναῖοι τροπαῖά τε ἔστησαν δύο· τὸ μὲν, κατὰ τὸν λιμένα· τὸ δὲ πρὸς τῷ τειχίσματι· καὶ τῶν τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν· αὐτοὺς δὲ καὶ πελοποννησίους καὶ εἴ τις ἄλλος χαλκιδέων ἦν. ξύμπαντας ἐς ἑπτακοσίους ἀπέπεμψαν ἐς τὰς ἀθήνας· καὶ αὐτοῖς τὸ μὲν πελοποννήσιον ὕστερον ἐν ταῖς γενομέναις σπονδαῖς ἀπῆλθε· τὸ δὲ ἄλλο ἐκομίσθη ὑπὸ ὀλυνθίων. ἀνὴρ ἀντ᾽ ἀνδρὸς λυθείς· εἷλον δὲ καὶ πάνακτον ἀθηναίων ἐν μεθορίοις τεῖχος βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδοσίᾳ· καὶ ὁ μὲν κλέων φυλακὴν καταστησάμενος τῆς τορώνης, ἄρας περιέπλει τὸν ἄθωνα ὡς ἐπὶ τὴν ἀμφίπολιν·

φαίαξ δὲ ὁ ἐρασιστράτου τρίτος αὐτὸς ἀθηναίων πεμπόντων ναυσὶ δύο ἐς ἰταλίαν πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσε· λεοντῖνοι γὰρ ἀπελθόντων ἀθηναίων ἐκ σικελίας μετὰ τὴν ξύμβασιν, πολίτας τε ἐπεγράψαντο πολλούς· καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει ἀναδάσασθαι· οἱ δὲ δυνατοὶ αἰσθόμενοι συρακοσίους τε ἐπάγονται· καὶ ἐκβάλλουσι τὸν δῆμον· καὶ οἱ μὲν, ἐπλανήθησαν ὡς ἕκαστοι· οἱ δὲ δυνατοὶ ὁμολογήσαντες συρακοσίοις. καὶ τὴν πόλιν ἐκλιπόντες καὶ ἐρημώσαντες, συρακούσας ἐπὶ πολιτείᾳ ᾤκησαν· καὶ ὕστερον πάλιν αὐτῶν τινὲς διὰ τὸ μὴ ἀρέσκεσθαι ἀπολιπόντες ἐκ τῶν συρακουσῶν, φω

κα- τε τῆς πόλεως τι τῆς Λεοντίνων χωρίον καλούμενον κατα-
λαμβάνουσι· καὶ Βρικιννίας ὂν ἔρυμα ἐν τῇ Λεοντίνῃ· καὶ τῶν
τοῦ δήμου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτούς· καὶ
καταστάντες ἐκ τῶν τειχῶν ἐπολέμουν· ἃ πυνθανόμενοι οἱ ἀ-
θηναῖοι τὸν Φαίακα πέμπουσιν εἴ πως πείσαντες τοὺς σφίσιν ὄντας
αὐτόθι ξυμμάχους καὶ τοὺς ἄλλους ἢν δύνωνται σικελιώτας κοινῇ
ὡς συρακοσίων δύναμιν περιποιουμένων ἐπιστρατεῦσαι δια-
σώσωσι τὸν δῆμον τῶν λεοντίνων· ὁ δὲ Φαίαξ ἀφικόμενος τοὺς
μὲν καμαριναίους πείθει καὶ ἀκραγαντίνους· ἐν δὲ γέλᾳ ἀντι-
στάντος αὐτῷ τοῦ πράγματος, οὐκέτι ἐπὶ τοὺς ἄλλους ἔρχεται· αἰσθό-
μενος οὐκ ἂν πείθειν αὐτούς· ἀλλ᾽ ἀναχωρήσας διὰ τῶν σικελῶν ἐς
κατάνην, καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ ἐς τὴν βρικιννίαν ἐλθὼν
καὶ παραθαρσύνας ἀπέπλει· ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν σι-
κελίαν καὶ πάλιν ἀναχωρήσει, ἐν τῇ ἰταλίᾳ τισὶ πόλεσιν ἐχρη-
μάτισε περὶ φιλίας τοῖς ἀθηναίοις· καὶ λοκρῶν ἐντυγχάνει τοῖς
ἐκ μεσσήνης ἐκπεπτωκόσιν· οἳ μετὰ τὴν τῶν σικελιωτῶν ὁμολο-
γίαν στασιασάντων τῶν μεσσηνίων, καὶ ἐπαγομένων τῶν ἑτέρων
λοκρούς, ἔποικοι ἐξεπέμφθησαν· καὶ ἐγένετο μεσσήνη λοκρῶν
τινὰ χρόνον· τούτοις οὖν ὁ Φαίαξ ἐντυχὼν τοῖς κομιζομένοις,
οὐκ ἠδίκησεν· ἐγεγένητο γὰρ τοῖς λοκροῖς πρὸς αὐτὸν· ὁμολο-
γία ξυμβάσεως πέρι πρὸς τοὺς ἀθηναίους· μόνοι γὰρ τῶν ξυμ-
μάχων ὅτε σικελιῶται ξυνηλλάσσοντο οὐκ ἐσπείσαντο ἀθηναίοις·
οὐδ᾽ ἂν τότε, εἰ μὴ αὐτοὺς κατεῖχεν ὁ πρὸς ἰτωναίους τε καὶ μηλαίους
πόλεμος ὁμόρους τε ὄντας καὶ ἀποίκους· καὶ ὁ μὲν Φαίαξ ἐς
τὰς ἀθήνας χρόνῳ ὕστερον ἀφίκετο· ὁ δὲ κλέων ὡς ἀπὸ τῆς
τορώνης περιέπλευσεν ἐπὶ τὴν ἀμφίπολιν ὁρμώμενος ἐκ τῆς
ἠιόνος· σταγείρῳ μὲν προσβάλλει ἀνδρίων ἀποικίᾳ καὶ οὐχ εἷλε·
γαληψὸν δὲ τὴν θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος· καὶ πέμ-
ψας πρὸς περδίκκαν πρέσβεις ὅπως παραγένοιτο στρατιᾷ κατὰ

τὸ ξυμμαχικόν· καὶ ἐς τὴν θρᾴκην ἄλλους παρὰ πολλῆν τὸν ὀδο
μάντων βασιλέα. ἄξοντα μισθοῦ θρᾷκας ὡς πλείστους, αὐτὸς
ἡσύχαζε περιμένων ἐν τῇ ἠιόνι· βρασίδας δὲ πυνθανόμενος
ταῦτα, ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ κερδυλίῳ· ἔστι δὲ τὸ χωρί
ον ἀργιλίων ἐπὶ μετεώρου πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον
τῆς ἀμφιπόλεως· καὶ κατεφαίνετο πάντα αὐτόθεν· ὥστε οὐκ
ἂν ἔλαθεν αὐτὸν ὁρμώμενος ὁ κλέων τῷ στρατῷ· ὅπερ προσε
δέχετο ποιήσειν αὐτὸν ἐπὶ τὴν ἀμφίπολιν. ὑπεριδόντα σφῶν τὸ
πλῆθος τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι· ἅμα δὲ καὶ παρε
σκευάζετο θρᾷκας μισθωτοὺς πεντακοσίους καὶ χιλίους· καὶ τοὺς
ἠδῶνας πάντας παρακαλῶν πελταστὰς καὶ ἱππέας· καὶ μυρ
κινίων καὶ χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν
ἀμφιπόλει· τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη· δισχίλιοι μά
λιστα καὶ ἱππῆς ἕλληνες τριακόσιοι τούτων· βρασίδας μὲν
ἔχων ἐπὶ κερδυλίῳ ἐκάθητο ὡς πεντακοσίους καὶ χιλίους· οἱ δ'
ἄλλοι ἐν ἀμφιπόλει μετὰ κλεαρίδου ἐτετάχατο· ὁ δὲ κλέων τέ
ως μὲν ἡσύχαζεν· ἔπειτα ἠναγκάσθη ποιῆσαι ὅπερ ὁ βρασίδας
προσεδέχετο· τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ
ἀναλογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν πρὸς οἵαν ἐμ
πειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλα
κίας γενήσοιτο, καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνῆλθον· αἰσθό
μενος τὸν θροῦν καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ κα
θημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγε καὶ ἐχρήσατο τῷ τρόπῳ
ᾧπερ καὶ ἐς τὴν πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν· ἐς
μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ ἐπεξιέναι οὐδένα· κατὰ
θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου· καὶ τὴν μείζω
παρασκευὴν περιέμενεν, οὐχ ὡς τῷ ἀσφαλεῖ ἢν ἀναγκάζηται
περισχήσων, ἀλλ' ὡς κύκλῳ περιστὰς βίᾳ αἱρήσων τὴν πόλιν.
ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς ἀμφιπόλεως τὸν

τοῦ στρατοῦ, αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος· καὶ τὴν
θέσιν τῆς πόλεως ἐπὶ τῇ Θρᾴκῃ ὡς ἔχοι· ἀπιέναι τε ἐνόμι-
ζεν ὁπόταν βούληται ἀμαχεί· καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτε
ἐπὶ τοῦ τείχους οὐδείς, οὔτε κατὰ πύλας ἐξῄει· κεκλεισμέναι
τε ἦσαν πᾶσαι· ὥστε καὶ μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων, ἁ-
μαρτεῖν ἐδόκει· ἑλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἐρῆμον· ὁ δὲ
Βρασίδας εὐθὺς ὡς εἶδε τοὺς Ἀθηναίους κινουμένους, κατα-
βὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου, ἐσέρχεται ἐς τὴν Ἀμφί-
πολιν· καὶ ἐπέξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς
τοὺς Ἀθηναίους, δεδιὼς τὴν αὑτοῦ παρασκευὴν καὶ νομίζων
ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει, ἀντίπαλα γάρ πως ἦν, ἀλλὰ
τῷ ἀξιώματι· τῶν γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε καθαρὸν ἐξῆλ-
θε καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον· τέχνῃ δὲ παρεσ-
κευάζετο ἐπιθησόμενος· εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆ-
θος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν
ἡγεῖτο μᾶλλον περιγενέσθαι, ἢ ἄνευ προόψεώς τε αὐτοῦ, καὶ
μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως· ἀπολεξάμενος οὖν αὐ-
τὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας, καὶ τοὺς ἄλλους Κλεα-
ρίδᾳ προστάξας, ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως πρὶν
ἀπελθεῖν τοὺς Ἀθηναίους· οὐκ ἂν νομίζων ὁμοίως αὐτοὺς ἀπο-
λαβεῖν αὖθις μεμονωμένους εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοή-
θεια· ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας, καὶ βουλόμενος
παραθαρσῦναί τε καὶ τὴν ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε·
Ὦ ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι αἰεὶ
, διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριῆς μέλλετε Ἴωσι μά-
, χεσθαι, ὧν εἰώθατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδη-
, λωμένον· τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διανοοῦμαι ποιεῖσθαι
, διδάξω· ἵνα μὴ τῷ κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυ-
, νεύειν ἐνδεὲς φαινόμενον, ἀτολμίαν παράσχῃ· τοὺς γὰρ ἐ-

ναντίοις ἐκ παρατάξεως καταφρονήσει τῇ ἡμῶν, καὶ οὐκ ἂν ἐλπί-
ζοντας ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς
χωρίον· καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν.
ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων ὁρῶν, καὶ ἅμα
πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται, μὴ ἀπὸ
τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαραταχθέντος, ἢ ἐκ τοῦ πρὸς
τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο· καὶ τὰ κλέμματα
ταῦτα καλλίστην δόξαν ἔχει· ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀ-
πατήσας, τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν· ἕως οὖν ἔτι ἀ-
παράσκευοι θαρσοῦσι, καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος,
ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ
αὐτῶν τῆς γνώμης καὶ πρὶν ξυνταθῆναι μᾶλλον τὴν δόξαν,
ἐγὼ μὲν ἔχων τοὺς μετ' ἐμαυτοῦ καὶ φθάσας ἢν δύνωμαι, προσ-
πεσοῦμαι δρόμῳ κατὰ μέσον τὸ στράτευμα· σὺ δὲ κλεα-
ρίδα, ὕστερον ὅταν ἐμὲ ὁρᾷς προσκείμενον, καὶ κατὰ τὸ εἰκὸς
φοβοῦντα αὐτούς, τοὺς μετὰ σαυτοῦ τούς τ' ἀμφιπολίτας καὶ
τοὺς ἄλλους ξυμμάχους ἄγων, αἰφνιδίως, τὰς πύλας ἀνοίξας
ἐπεκθεῖν· καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμῖξαι· ἐλπὶς γὰρ
μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν ὕστερον δει-
νότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου· καὶ αὐτός
τε ἀγαθὸς ἀνὴρ γίγνου ὥσπερ σε εἰκὸς ὄντα σπαρτιάτην, καὶ
ὑμεῖς ὦ ἄνδρες ξύμμαχοι ἀκολουθήσατε ἀνδρείως· καὶ
νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν καὶ τὸ αἰσχύ-
νεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι· καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ
ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν, καὶ λακεδαι-
μονίων ξυμμάχοις κεκλῆσθαι, ἢ ἀθηναίων τε δούλοις,
ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως πρά-
ξητε· καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε· τοῖς δὲ
λοιποῖς ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώσεως. ἀλλὰ μὴ

ὑμεῖς μαλακισθῆτε ὁρῶντες περὶ ὅσων ὁ ἀγών ἐστιν. ἐγώ τε δείξω
οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας, ἢ καὶ αὐτὸς ἔργῳ
ἐπεξελθεῖν. ὁ μὲν βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον πα-
ρεσκευάζετο αὐτὸς, καὶ τοὺς ἄλλους μετὰ τοῦ κλεαρίδα καθίστη
ἐπὶ τὰς θρακίας καλουμένας τῶν πυλῶν ὅπως ὥσπερ εἴρητο
ἐπεξίοιεν. τῷ δὲ κλέωνι φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ
κερδυλίου καταβάντος, καὶ ἐν τῇ πόλει ἐπιφανεῖ οὔσῃ ἔ-
ξωθεν περὶ τὸ ἱερὸν τῆς ἀθηνᾶς θυομένου καὶ ταῦτα πρά-
σσοντος ἀγγέλλεται. προυκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν ὅτι
ἥ τε στρατιὰ φανερὰ ἅπασα τῶν πολεμίων ἐν τῇ πόλει, καὶ
ὑπὸ τὰς πύλας, ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων
ὑποφαίνονται. ὁ δὲ, ἀκούσας ἐπῆλθεν· καὶ ὡς εἶδεν οὐ βου-
λόμενος μάχῃ διαγωνίσασθαι πρὶν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν,
καὶ οἰόμενος φθήσεσθαι, ἀπελθών, σημαίνειν τε ἅμα ἐκέ-
λευεν ἀναχώρησιν· καὶ παρήγγελλε τοῖς ἀπιοῦσιν ἐπὶ τὸ εὐώνυ-
μον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν ὑπάγειν ἐπὶ τῆς ἠιόνος. ὡς
δ' αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας τὸ δεξιὸν καὶ
τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς, ἀπῆγε τὴν στρατιάν. καὶ
τότε βρασίδας ὁρᾷ τὸν καιρὸν καὶ τὸ στράτευμα τῶν ἀθηναίων
κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι οἱ ἄνδρες
ἡμᾶς οὐ μένουσιν· δῆλοι δὲ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν
κεφαλῶν· οἷς γὰρ ἂν τοῦτο γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς
ἐπιόντας. ἀλλὰ τὰς πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς εἴρηται, καὶ
ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες. καὶ ὁ μὲν κατὰ τὰς ἐπὶ
τὸ σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους τότε
ὄντος, ἐξελθὼν ἔθει τὴν ὁδὸν ταύτην εὐθεῖαν ᾗπερ νῦν
κατὰ τὸ καρτερώτατον τοῦ χωρίου ἰόντι τροπαῖον ἕστηκε· καὶ
προσβαλὼν τοῖς ἀθηναίοις πεφοβημένοις τε ἅμα τῇ σφε-
τέρᾳ ἀταξίᾳ, καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις, κατὰ

μέσον τὸ στράτευμα, τρέπει· καὶ ὁ Κλεαρίδας ὥσπερ ἐρρήθη
ἅμα κατὰ τὰς Θρᾳκίας πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρε-
το· ξυνέβη τε τῷ ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀ-
θηναίους θορυβηθῆναι· καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν
τὸ πρὸς τὴν Ἠιόνα ὅπερ δὴ καὶ προκεχωρήκει, εὐθὺς ἀπορρα-
γὲν ἔφευγε· καὶ ὁ Βρασίδας ὑποχωροῦντος ἤδη αὐτοῦ ἐπιπα-
ριὼν τῷ δεξιῷ τιτρώσκεται· καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθη-
ναῖοι οὐκ αἰσθάνονται· οἱ δὲ πλησίον ἄραντες ἀπήνεγκαν·
θάνατος Βρασίδου· τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον· καὶ ὁ μὲν Κλέων
ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ καταληφθεὶς
ὑπὸ Μυρκινίου πελταστοῦ ἀποθνήσκει· οἱ δὲ αὐτοῦ ξυστραφέν-
τες ὁπλῖται ἐπὶ τὸν λόφον, τόν τε Κλεαρίδαν ἠμύνοντο· καὶ
δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν, πρὶν ἥ τε
Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περιστάντες καὶ
ἐσακοντίζοντες αὐτοὺς ἔτρεψαν· οὕτω δὲ τὸ στράτευμα πᾶν
ἤδη τῶν Ἀθηναίων φυγὸν χαλεπῶς καὶ πολλὰς ὁδοὺς τραπόμενοι
κατὰ τὰ ὄρη ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ τῆς
Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν
ἐς τὴν Ἠιόνα· οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης καὶ δι-
ασώσαντες, ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐσεκόμισαν· καὶ ᾔσθε-
το μὲν ὅτι νικῶσιν οἱ μετ' αὐτοῦ· οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύ-
τησε· καὶ ἡ ἄλλη στρατιὰ ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου,
ἐκ τῆς διώξεως, νεκρούς τε ἐσκύλευσε· καὶ τροπαῖον ἔστησε·
μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες ξὺν ὅπλοις
ἐπισπόμενοι δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς
οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται περιείρξαντες αὐτοῦ τὸ
μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι· καὶ τιμὰς δεδώκασιν ἀ-
γῶνας καὶ ἐτησίους θυσίας· καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ
προσέθεσαν· καταβαλόντες τὰ Ἁγνώνεια οἰκοδομήματα·

καὶ ἀφανίζοντες εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκί-
σεως περιέσεσθαι, νομίζοντες τὸν μὲν βρασίδαν σωτῆρά τε
σφῶν γεγενῆσθαι· καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν λακεδαιμονίων
ξυμμαχίαν φόβῳ τῶν ἀθηναίων θεραπεύοντες· τὸν δὲ ἅγνωνα
κατὰ τὸ πολέμιον τῶν ἀθηναίων, οὐκ ἂν ὁμοίως σφίσι ξυμ-
φόρως οὐδ᾽ ἂν ἡδέως τὰς τιμὰς ἔχειν· καὶ τοὺς νεκροὺς τοῖς
ἀθηναίοις ἀπέδοσαν· ἀπέθανον δὲ ἀθηναίων μὲν περὶ ἑ-
ξακοσίους· τῶν δὲ ἐναντίων ἑπτά· διὰ τὸ μὴ ἐκ παρατάξεως·
ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως τὴν μάχην
μᾶλλον γενέσθαι· μετὰ δὲ τὴν ἀναίρεσιν, οἱ μὲν ἐπ᾽ οἴκου ἀ-
πέπλευσαν· οἱ δὲ μετὰ τοῦ κλεαρίδου τὰ περὶ τὴν ἀμφίπο-
λιν καθίσταντο· καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευ-
τῶντος, ῥαμφίας καὶ αὐτοχαρίδας καὶ ἐπικυδίδας λακε-
δαιμόνιοι, ἐς τὰ ἐπὶ θρᾴκης χωρία βοήθειαν ἦγον ἐνα-
κοσίων ὁπλιτῶν· καὶ ἀφικόμενοι ἐς ἡράκλειαν τὴν ἐν τραχῖνι,
καθίσταντο ὅ τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν· ἐνδιατριβόντων
δὲ αὐτῶν, ἔτυχεν ἡ μάχη αὕτη γενομένη· καὶ τὸ θέρος ἐτελεύ-
τα. Τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος, εὐθὺς μέχρι μὲν πιερίου τῆς θεσ-
σαλίας διῆλθον οἱ περὶ τὸν ῥαμφίαν· κωλυόντων δὲ τῶν θεσ-
σαλῶν, καὶ ἅμα βρασίδου τεθνεῶτος ᾧπερ ἦγον τὴν στρατιάν,
ἀπετράποντο ἐπ᾽ οἴκου, νομίζοντες μηδένα καιρὸν ἔτι εἶναι·
τῶν τε ἀθηναίων ἥσσῃ ἀπεληλυθότων· καὶ οὐκ ἀξιόχρεων αὐ-
τῶν ὄντων δρᾶν τι ὧν κἀκεῖνος ἐπενόει· μάλιστα δὲ ἀπῆλθον
εἰδότες τοὺς λακεδαιμονίους ὅτε ἐξῄεσαν, πρὸς τὴν εἰρήνην
μᾶλλον τὴν γνώμην ἔχοντας· ξυνέβη τε εὐθὺς μετὰ τὴν ἐν ἀμ-
φιπόλει μάχην καὶ τὴν ῥαμφίου ἀναχώρησιν ἐκ θεσσαλίας, ὥστε
πολέμου μὲν μηδὲν ἅπτεσθαι ἔτι μηδετέρους· πρὸς δὲ τὴν
εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον· οἱ μὲν ἀθηναῖοι πληγέντες
ἐπί τε τῷ δηλίῳ· καὶ δι᾽ ὀλίγου αὖθις ἐν ἀμφιπόλει· καὶ οὐκ ἔχοντες

τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν ἔτι· ᾗπερ οὐ προσεδέχοντο πρότερον
τὰς σπονδὰς δοκοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γε
νήσεσθαι· καὶ τοὺς ξυμμάχους ἅμα ἐδεδίεσαν σφῶν, ὅπως
μὴ διὰ τὰ σφάλματα ἐπαιρόμενοι ἐπὶ πλέον ἀποστῶσι· με
τεμέλοντό τε ὅτι μετὰ τὰ ἐν πύλῳ καλῶς παρασχὸν οὐ ξυ
νέβησαν· οἱ δ' αὖ λακεδαιμόνιοι παρὰ γνώμην μὲν ἀποβαί
νοντος σφίσι τοῦ πολέμου ἐν ᾧ ᾤοντο ὀλίγων ἐτῶν καθαι
ρήσειν τὴν τῶν ἀθηναίων δύναμιν εἰ τὴν γῆν τέμνοιεν· περιπε
σόντες δὲ τῇ ἐν νήσῳ ξυμφορᾷ οἵα οὔπω γεγένητο τῇ σπάρτῃ
καὶ λῃστευομένης τῆς χώρας ἐκ τῆς πύλου καὶ κυθήρων, αὐτο
μολούντων δὲ τῶν εἱλώτων· καὶ ἀεὶ προσδοκίας οὔσης μή τι
καὶ οἱ ὑπομένοντες τοῖς ἔξω πίσυνοι πρὸς τὰ παρόντα σφίσιν
ὥσπερ καὶ πρότερον νεωτερίσωσι· ξυνέβαινε δὲ καὶ πρὸς τοὺς
ἀργείους τὰς τριακοντούτεις αὐτοῖς σπονδὰς ἐπ' ἐξόδῳ εἶναι,
καὶ ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ ἀργεῖοι· εἰ μή τις αὐτοῖς τὴν
κυνουρίαν γῆν ἀποδώσει· ὥστε ἀδύνατα ἐφαίνετο ἀργείοις
καὶ ἀθηναίοις ἅμα πολεμεῖν· τῶν τε ἐν πελοποννήσῳ πόλεων
ὑπώπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς ἀργείους· ὅπερ καὶ ἐ
γένετο, ταῦτ' οὖν ἀμφοτέροις λογιζομένοις, ἐδόκει ποιητέ
α εἶναι ἡ ξύμβασις· καὶ οὐχ ἧσσον τοῖς λακεδαιμονίοις ἐπι
θυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι· ἦσαν γὰρ
οἱ σπαρτιᾶται πρῶτοί τε αὐτῶν· καὶ ὁμοίως σφίσι ξυγγενεῖς· ἤρ
ξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν· ἀλλ'
οἱ ἀθηναῖοι οὔπω ἤθελον εὖ φερόμενοι ἐπὶ τῇ ἴσῃ καταλύεσθαι·
σφαλέντων δὲ αὐτῶν ἐν δηλίῳ παραχρῆμα οἱ λακεδαιμό
νιοι γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους, ποιοῦνται τὴν ἐνι
αύσιον ἐκεχειρίαν· ἐν ᾗ ἔδει ξυνιόντας καὶ περὶ τοῦ πλεί
ονος χρόνου βουλεύεσθαι· ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀμφιπόλει
ἧσσα τοῖς ἀθηναίοις ἐγεγένητο· καὶ ἐτεθνήκει κλέων τε

βρασίδας οἵπερ ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ.
ὁ μὲν, διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ, γενο
μένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν,
καὶ ἀπιστότερος διαβάλλων, τότε δὴ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει σπεύ
δοντες τὰ μάλιστα τὴν ἡγεμονίαν πλειστοάναξ τε ὁ βασιλεὺς
λακεδαιμονίων, καὶ νικίας ὁ νικηράτου, πλεῖστα τῶν τότε εὖ
φερόμενος ἐν στρατηγίαις, πολλῷ δὴ μᾶλλον προεθυμοῦντο.
νικίας μὲν βουλόμενος ἐν ᾧ ἀπαθὴς ἦν, καὶ ἠξιοῦτο διασώ
σασθαι τὴν εὐτυχίαν· καὶ ἔς τε τὸ αὐτίκα πόνων πεπαῦσθαι καὶ
αὐτὸς καὶ τοὺς πολίτας παῦσαι· καὶ τῷ μέλλοντι χρόνῳ καταλι
πεῖν ὄνομα ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο· νομίζων
ἐκ τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν· καὶ ὅστις ἐλάχιστα τύχῃ
αὐτὸν παραδίδωσι· τὸ δὲ ἀκίνδυνον τὴν εἰρήνην παρέχειν·
πλειστοάναξ δὲ ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ τῆς καθόδου
καὶ ἐς ἐνθυμίαν τοῖς λακεδαιμονίοις προβαλλόμενος ὑπ' αὐ
τῶν ὁπότε πταίσειαν, ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομη
θεῖσαν ταῦτα ξυμβαίνειν· τὴν γὰρ πρόμαντιν τὴν ἐν δελφοῖς
ἐπῃτιῶντο πεῖσαι αὐτὸν μετ' ἀριστοκλέους τοῦ ἀδελφοῦ, ὥστε χρῆσαι
λακεδαιμονίοις ἐπὶ πολὺ τάδε θεωροῖς ἀφικνουμένοις.
" διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα ἐκ τῆς ἀλλοτρίας ἐς τὴν ἑαυτῶν
" ἀναφέρειν· εἰ δὲ μή, ἀργυρέᾳ εὐλάκᾳ εὐλαξεῖν· χρόνῳ δὲ
προτρέψαι τοὺς λακεδαιμονίους φεύγοντα αὐτὸν ἐς λύκαιον
διὰ τὴν ἐκ τῆς ἀττικῆς ποτὲ μετὰ δώρων δόκησιν ἀναχώρησιν·
καὶ ἥμισυ τῆς οἰκίας τοῦ ἱεροῦ τότε τοῦ διὸς οἰκοῦντα φόβῳ
τῶν λακεδαιμονίων, ἔτει ἑνὸς δέοντι, τοῖς ὁμοίοις χοροῖς καὶ
θυσίαις καταγαγεῖν· ὥσπερ ὅτε τὸ πρῶτον λακεδαίμονα κτί
ζοντες τοὺς βασιλέας καθίσταντο· ἀχθόμενος οὖν τῇ διαβολῇ
ταύτῃ καὶ νομίζων ἐν εἰρήνῃ μὲν οὐδενὸς σφάλματος γιγνομένου
καὶ ἅμα τῶν λακεδαιμονίων τοὺς ἄνδρας κομιζομένων κἂν

αὐτὸς τοῖς ἐχθροῖς ἀνεπίληπτος εἶναι· πολέμου δὲ καθεστῶτος
ἀεὶ ἀνάγκην εἶναι τοὺς προύχοντας ἀπὸ τῶν ξυμφορῶν διαβάλ-
λεσθαι, προυθυμήθη τὴν ξύμβασιν· καὶ τόν τε χειμῶνα τοῦ-
τον ᾖσαν ἐς λόγους· καὶ ἐς τὸ ἔαρ ἤδη προπαρασκευή τε προ-
επανεσείσθη ἀπὸ τῶν λακεδαιμονίων περιαγγελλομένη κατὰ
πόλεις ὡς ἐπὶ τειχισμόν, ὅπως οἱ ἀθηναῖοι μᾶλλον ἐσακούοιεν·
καὶ ἐπειδὴ ἐκ τῶν ξυνόδων ἅμα πολλὰς δικαιώσεις προενεγκόν-
των ἀλλήλοις, ξυνεχωρεῖτο ὥστε ἃ ἑκάτεροι πολέμῳ ἔσχον ἀπο-
δόντας τὴν εἰρήνην ποιεῖσθαι, νίσαιαν δὲ ἔχειν ἀθηναίους· ἀντα-
παιτούντων γὰρ πλάταιαν, οἱ θηβαῖοι ἔφασαν, οὐ βίᾳ· ἀλλ' ὁμο-
λογίᾳ αὐτῶν προσχωρησάντων καὶ οὐ προδόντων ἔχειν τὸ χω-
ρίον καὶ οἱ ἀθηναῖοι τῷ αὐτῷ τρόπῳ τὴν νίσαιαν. τότε δὴ
παρακαλέσαντες τοὺς ἑαυτῶν ξυμμάχους οἱ λακεδαιμόνιοι,
καὶ ψηφισαμένων πλὴν βοιωτῶν καὶ κορινθίων καὶ ἠλείων
καὶ μεγαρέων, τῶν ἄλλων ὥστε καταλύεσθαι· τούτοις δὲ οὐκ
ἤρεσκε τὰ πρασσόμενα, ποιοῦνται τὴν ξύμβασιν· καὶ ἐσπεί-
σαντο πρὸς τοὺς ἀθηναίους καὶ ὤμοσαν ἐκεῖνοί τε πρὸς τοὺς λα-
κεδαιμονίους τάδε· σπονδὰς ἐποιήσαντο ἀθηναῖοι καὶ λα-
κεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατὰ τάδε· καὶ ὤμοσαν κατὰ
πόλεις· περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν θύειν· καὶ ἰέναι καὶ μαν-
τεύεσθαι καὶ θεωρεῖν κατὰ τὰ πάτρια τὸν βουλόμενον καὶ κατὰ
γῆν καὶ κατὰ θάλασσαν ἀδεῶς· τὸ δὲ ἱερὸν καὶ τὸν νεὼν τὸν ἐν
δελφοῖς τοῦ ἀπόλλωνος καὶ δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ
αὐτοδίκους καὶ αὐτῶν καὶ τῆς γῆς τῆς ἑαυτῶν κατὰ τὰ πάτρια·
ἔτη δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα· ἀθηναίοις καὶ τοῖς
ξυμμάχοις τῶν ἀθηναίων· καὶ λακεδαιμονίοις καὶ τοῖς ξυμ-
μάχοις τῶν λακεδαιμονίων ἀδόλους καὶ ἀβλαβεῖς καὶ
κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν
ἐπὶ πημονῇ· μήτε λακεδαιμονίους καὶ τοὺς ξυμμάχους

σπονδαὶ λακεδαιμονίων
ἀθηναίων τε καὶ
ξυμμάχων

μήτε ἀθηναίους καὶ τοὺς ξυμμάχους· ἐπὶ λακεδαιμονίους
καὶ τοὺς ξυμμάχους· μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ· ἢν
δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους δικαίως χρήσθων καὶ ὅρκοις·
καθό τι ἂν ξυνθῶνται· ἀποδόντων δὲ ἀθηναίοις λακεδαιμό
νιοι καὶ οἱ ξύμμαχοι ἀμφίπολιν· ὅσας δὲ πόλεις παρέδοσαν
λακεδαιμόνιοι ἀθηναίοις, ἐξέστω ἀπιέναι ὅποι ἂν βούλωνται
αὐτοὺς καὶ τὰ ἑαυτῶν ἔχοντας· τὰς δὲ πόλεις φερούσας τὸν
φόρον τὸν ἐπ' ἀριστείδου, αὐτονόμους εἶναι· ὅπλα δὲ μὴ ἐξέ
στω ἐπιφέρειν ἀθηναίους μηδὲ τοὺς ξυμμάχους ἐπὶ κακῷ·
ἀποδιδόντων τὸν φόρον· ἐπειδὴ αἱ σπονδαὶ ἐγένοντο· εἰσὶ δὲ
αἵδε· ἄργιλος· στάγειρος· ἄκανθος· σκῶλος· ὄλυνθος·
σπάρτωλος· ξυμμάχους δ' εἶναι μηδετέρων, μήτε λακεδαι
μονίων μήτε ἀθηναίων· ἢν δὲ ἀθηναῖοι πείθωσι τὰς πόλεις
ταύτας βουλομένας, ἐξέστω αὐτοὺς ξυμμάχους ποιεῖσθαι ἀθη
ναίοις· μηκυβερναίους δὲ καὶ σαναίους καὶ σιγγαίους οἰ
κεῖν τὰς πόλεις τὰς ἑαυτῶν καθάπερ ὀλύνθιοι καὶ ἀκάνθιοι·
ἀποδόντων δὲ ἀθηναίοις λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι πά
νακτον· ἀποδόντων δὲ καὶ λακεδαιμονίοις ἀθηναῖοι κορυ
φάσιον καὶ κύθηρα· καὶ μεθώνην· καὶ πτελεὸν· καὶ ἀτα
λάντην καὶ τοὺς ἄνδρας ὅσοι εἰσὶ λακεδαιμονίων ἐν τῷ δημο
σίῳ τῶν ἀθηναίων ἢ ἄλλοθί που ὅσης ἀθηναῖοι ἄρχουσιν ἐν
δημοσίῳ· καὶ τοὺς ἐν σκιώνῃ καθημένους πελοποννησίων
ἀφεῖναι· καὶ τοὺς ἄλλους ὅσοι λακεδαιμονίων ξύμμαχοι ἐν σκι
ώνῃ εἰσί· καὶ ὅσους βρασίδας ἐσέπεμψε καὶ εἴ τις τῶν ξυμ
μάχων τῶν λακεδαιμονίων ἐν ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ
ἢ ἄλλοθί που ἧς ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ· ἀποδόντων
δὲ καὶ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι οὕστινας ἔχουσιν ἀθηναί
ων καὶ τῶν ξυμμάχων κατὰ ταὐτά· σκιωναίων δὲ καὶ τορω
ναίων καὶ σερμυλιῶν καὶ εἴ τινα ἄλλην πόλιν ἔχουσιν ἀθηναῖοι,

ἀθηναίους βουλεύεσθαι περὶ αὐτῶν καὶ τῶν ἄλλων πόλεων ὅτι ἂν
δοκῇ αὐτοῖς· ὅρκους δὲ ποιήσασθαι ἀθηναίους πρὸς λακεδαι-
μονίους καὶ τοὺς ξυμμάχους κατὰ πόλεις· ὀμνύντων δὲ καὶ τὸν
ἐπιχώριον ὅρκον ἑκάτεροι τὸν μέγιστον ἐξ ἑκάστης πόλεως·
ὁ δ᾽ ὅρκος ἔστω ὅδε· ἐμμενῶ ταῖς ξυνθήκαις καὶ ταῖς σπον-
δαῖς ταῖσδε δικαίως καὶ ἀδόλως· ἔστω δὲ καὶ λακεδαιμο-
νίοις καὶ τοῖς ξυμμάχοις κατὰ ταὐτὰ ὅρκος πρὸς ἀθηναί-
ους· τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ᾽ ἐνιαυτὸν ἀμφοτέρους· στή-
λας δὲ στῆσαι ὀλυμπίασι καὶ πυθοῖ καὶ ἰσθμοῖ καὶ ἀθήνησι
ἐν πόλει· καὶ ἐν λακεδαίμονι ἐν ἀμυκλαίῳ· εἰ δέ τι ἀμνημο-
νοῦσι καὶ ὁποτεροιοῦν· καὶ ὅτου πέρι λόγοις δικαίοις χρωμέ-
νους, εὔορκον εἶναι ἀμφοτέροις ταύτῃ μεταθεῖναι· ὅπῃ ἂν
δοκῇ ἀμφοτέροις λακεδαιμονίοις καὶ ἀθηναίοις· ἄρχει δὲ
τῶν σπονδῶν· ἔφορος πλειστόλας· ἀρτεμισίου μηνὸς τετάρ-
τῃ φθίνοντος· ἐν δὲ ἀθήναις ἄρχων ἀλκαῖος ἐλαφηβολι-
ῶνος μηνὸς ἕκτῃ φθίνοντος· ὤμνυον δὲ οἵδε καὶ ἐσπέν-
δοντο· λακεδαιμονίων μὲν πλειστόλας· δαμάγητος· χίονις·
μεταγένης· ἄκανθος· δάιθος· ἰσχαγόρας· φιλοχαρί-
δας· ζευξίδας· ἄντιππος· τέλλις· ἀλκινάδας· ἐμπεδίας· μηνᾶς·
λάφιλος· ἀθηναίων δὲ οἵδε· λάμπων· ἰσθμιόνικος·
νικίας· λάχης· εὐθύδημος· προκλῆς· πυθόδωρος· ἅγνων·
μυρτίλος· θρασυκλῆς· θεογένης· ἀριστοκράτης· ἰώλκιος·
τιμοκράτης· λάμαχος· δημοσθένης· αὗται αἱ σπονδαὶ
ἐγένοντο τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι· ἐκ διονυσί-
ων εὐθὺς τῶν ἀστικῶν· αὐτόδεκα ἐτῶν διελθόντων· καὶ ἡμερῶν
ὀλίγων παρενεγκουσῶν· ἢ ὡς τὸ πρῶτον ἡ ἐσβολὴ ἐς τὴν ἀτ-
τικὴν καὶ ἡ ἀρχὴ τοῦδε τοῦ πολέμου ἐγένετο· σκοπεί-
τω δέ τις κατὰ τοὺς χρόνους· καὶ μὴ τῶν ἑκασταχοῦ ἢ ἀρχόντων ἢ
ἀπὸ τιμῆς τινὸς τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐς τὰ

προγεγενημένα σημαινόντων· πιστεύσας μᾶλλον· οὐ γὰρ ἀκρι-
βές ἐστιν· οἷς καὶ ἀρχομένοις καὶ μεσοῦσι καὶ ὅπως ἔτυχέ τῳ
καὶ ἐπεγένετό τι· κατὰ θέρη δὲ καὶ χειμῶνας ἀριθμῶν ὥσπερ
γέγραπται, εὑρήσει ἐξ ἡμισείας ἑκατέρου τοῦ ἐνιαυτοῦ τὴν δύ-
ναμιν ἔχοντος· δέκα μὲν θέρη ἴσους δὲ χειμῶνας τῷ πρώτῳ πο-
λέμῳ τῷδε γεγενημένους· Λακεδαιμόνιοι δέ, ἔλαχον γὰρ πρότεροι
ἀποδιδόναι ἃ εἶχον· τούς τε ἄνδρας τοὺς παρὰ σφίσιν αἰχμαλώ-
τους εὐθὺς ἀφίεσαν· καὶ πέμψαντες ἐς τὰ ἐπὶ Θρᾴκης πρέσβεις
Ἰσχαγόραν καὶ Μηνᾶν καὶ Φιλοχαρίδαν, ἐκέλευον τὸν Κλεα-
ρίδαν, τὴν Ἀμφίπολιν παραδιδόναι τοῖς Ἀθηναίοις· καὶ τοὺς
ἄλλους τὰς σπονδὰς ὡς εἴρηται ἑκάστοις δέχεσθαι· οἱ δ' οὐκ ἤθε-
λον νομίζοντες οὐκ ἐπιτηδείας εἶναι· οὐδὲ ὁ Κλεαρίδας πα-
ρέδωκε τὴν πόλιν, χαριζόμενος τοῖς Χαλκιδεῦσι, λέγων ὡς οὐ
δυνατὸς εἴη βίᾳ ἐκείνων παραδιδόναι· ἐλθὼν δὲ αὐτὸς κατὰ
τάχος μετὰ πρέσβεων ἀπολογησόμενός τε ἐς τὴν Λακεδαί-
μονα, ἢν κατηγορῶσιν οἱ περὶ τὸν Ἰσχαγόραν ὅτι οὐκ ἐπείθετο·
καὶ ἅμα βουλόμενος εἰδέναι εἰ ἔτι μετακινητὴ εἴη ἡ ὁμολογία·
ἐπειδὴ ηὗρε κατειλημμένας, αὐτὸς μὲν πάλιν πεμπόντων τῶν Λα-
κεδαιμονίων καὶ κελευόντων, μάλιστα μὲν καὶ τὸ χωρίον πα-
ραδοῦναι, εἰ δὲ μή, ὁπόσοι Πελοποννησίων ἔνεισιν ἐξαγαγεῖν, κατὰ
τάχος ἐπορεύετο· οἱ δὲ ξύμμαχοι ἐν τῇ Λακεδαίμονι ἔτυχον πα-
ρόντες· καὶ αὐτῶν τοὺς μὴ δεξαμένους τὰς σπονδὰς ἐκέλευον
οἱ Λακεδαιμόνιοι ποιεῖσθαι· οἱ δὲ τῇ αὐτῇ προφάσει ᾗπερ καὶ
τὸ πρῶτον ἀπεώσαντο, οὐκ ἔφασαν δέξασθαι, ἢν μή τινας δι-
καιοτέρας τούτων ποιῶνται· ὡς δ' αὐτῶν οὐκ ἐσήκουον, ἐκεί-
νους μὲν ἀπέπεμψαν· αὐτοὶ δὲ πρὸς τοὺς Ἀθηναίους ἐποιοῦ-
ντο· νομίζοντες ἥκιστα ἂν σφίσι τοὺς Ἀργείους ἐπειδὴ οὐκ
ἤθελον Ἀμπελίδου καὶ Λίχου ἐλθόντων ἐπισπένδεσθαι, νο-
μίσαντες αὐτοὺς ἄνευ Ἀθηναίων οὐ δεινοὺς εἶναι· καὶ τὴν ἄλλην

πελοπόννησον μάλιστ' ἂν ἡσυχάζειν· πρὸς γὰρ αὐτοὺς ἀθηναίους
ἐχώρει· παρόντων οὖν πρέσβεων ἀπὸ τῶν ἀθηναίων, καὶ
γινομένων λόγων ξυνέβησαν· καὶ ἐγένοντο ὅρκοι καὶ ξυμ-
μαχία ἥδε κατὰ τάδε· ξύμμαχοι ἔσονται λακεδαιμό-
νιοι πεντήκοντα ἔτη· ἢν δέ τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι
τὴν λακεδαιμονίων καὶ κακῶς ποιῶσιν, ὠφελεῖν ἀθηναίους,
λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ
τὸ δυνατόν· ἢν δὲ δηώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύ-
την τὴν πόλιν λακεδαιμονίοις καὶ ἀθηναίοις· καὶ κακῶς
πάσχειν ὑπ' ἀμφοτέρων· καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλει·
ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως· ἢν δὲ ἡ δου-
λεία ἐπανίστηται, ἐπικουρεῖν ἀθηναίους λακεδαιμονίοις παν-
τὶ σθένει κατὰ τὸ δυνατόν· ὀμοῦνται δὲ ταῦτα οἵπερ καὶ τὰς
ἄλλας σπονδὰς ὤμνυον ἑκατέρων· ἀνανεοῦσθαι δὲ ταῦτα,
κατ' ἐνιαυτὸν λακεδαιμονίους μὲν ἰόντας ἐς ἀθήνας πρὸς
τὰ διονύσια· ἀθηναίους δὲ ἰόντας ἐς λακεδαίμονα πρὸς τὰ
ὑακίνθια· στήλην δὲ ἑκατέρους στῆσαι· τὴν μὲν ἐν λακε-
δαίμονι παρὰ ἀμυκλαίῳ ἀπόλλωνι· τὴν δὲ, ἐν ἀθήναις ἐν
πόλει παρὰ ἀθηνᾷ· ἢν δέ τι δοκῇ λακεδαιμονίοις καὶ ἀθηναί-
οις προσθεῖναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅτι ἂν δο-
κῇ, εὔορκον ἀμφοτέροις εἶναι· τὸν δὲ ὅρκον ὤμνυον λακε-
δαιμονίων μὲν οἵδε· πλειστοάναξ· ἆγις· πλειστόλας· δαμά-
γητος· χίονις· μεταγένης· ἄκανθος· ἰσχαγόρας· δάιθος·
φιλοχαρίδας· ζευξίδας· ἄντιππος· ἀλκινάδας· τέλλις· ἐμ-
πεδίας· μηνᾶς· λάφιλος· ἀθηναίων δέ, λάμπων· ἰσθ-
μιόνικος· λάχης· νικίας· εὐθύδημος· προκλῆς· πυθόδω-
ρος· ἅγνων· μυρτίλος· θρασυκλῆς· θεαγένης· ἀριστοκρά-
της· ἰώλκιος· τιμοκράτης· λέων· λάμαχος· δημοσθένης·
αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ ὕστερον.

καὶ τοὺς ἄνδρας τοὺς ἐκ τῆς νήσου ἀπέδοσαν οἱ ἀθηναῖοι τοῖς
λακεδαιμονίοις· καὶ τὸ θέρος ἦρχε τοῦ ἑνδεκάτου ἔτους·
ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος πόλεμος ξυνεχῶς γενόμενος
γέγραπται. μετὰ δὲ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν λα-
κεδαιμονίων καὶ τῶν ἀθηναίων αἳ ἐγένοντο μετὰ τὸν δεκα-
έτη πόλεμον ἐπὶ πλειστόλα μὲν ἐν λακεδαίμονι ἐφόρου,
ἀλκαίου δὲ ἀθήνησιν ἄρχοντος· τοῖς μὲν δεξαμένοις αὐταῖς
εἰρήνη ἦν· οἱ δὲ κορίνθιοι καὶ τῶν ἐν πελοποννήσῳ πόλεων
τινὲς διεκίνουν τὰ πεπραγμένα· καὶ εὐθὺς ἄλλη ταραχὴ κα-
θίστατο τῶν ξυμμάχων πρὸς τὴν λακεδαίμονα· καὶ ἅμα
καὶ τοῖς ἀθηναίοις οἱ λακεδαιμόνιοι προϊόντος χρόνου,
ὕποπτοι ἐγένοντο ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων
ἃ εἴρητο· καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ
ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι· ἔξωθεν δὲ μετὰ ἀνακω-
χῆς οὐ βεβαίου, ἔβλαπτον ἀλλήλους τὰ μάλιστα· ἔπειτα
μέντοι καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ δέκα ἔτη σπονδάς,
αὖθις ἐς πόλεμον φανερὸν κατέστησαν· γέγραφε δὲ καὶ ταῦ-
τα ὁ αὐτὸς θουκυδίδης ἀθηναῖος ἑξῆς ὡς ἕκαστα ἐγίνετο
κατὰ θέρη καὶ χειμῶνας μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν
τῶν ἀθηναίων λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ τὰ μα-
κρὰ τείχη καὶ τὸν πειραιᾶ κατέλαβον· ἔτη δὲ ἐς τοῦτο τὰ
ξύμπαντα ἐγένετο τῷ πολέμῳ· ἑπτὰ καὶ εἴκοσι· καὶ τὴν δι-
αμέσου ξύμβασιν, εἴ τις μὴ ἀξιώσει πόλεμον νομίζειν, οὐκ
ὀρθῶς δικαιώσει· τοῖς τε γὰρ ἔργοις ὡς διῄρηται ἀθρείτω·
καὶ εὑρήσει οὐκ εἰκὸς ὂν εἰρήνην αὐτὴν κριθῆναι· ἐν ᾗ οὔτε
ἀπέδοσαν πάντα οὔτε ἀπεδέξαντο ἃ ξυνέθεντο· ἔξω τε τούτων
πρὸς τὸν μαντινικὸν καὶ ἐπιδαύριον πόλεμον· καὶ ἐς ἄλλα ἀμ-
φοτέροις ἁμαρτήματα ἐγένοντο· καὶ οἱ ἐπὶ θρᾴκης ξύμμα-
χοι, οὐδὲν ἧσσον πολέμιοι ἦσαν· βοιωτοί τε ἐκεχειρίαν δεχήμερον

ἦγον· ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ τῷ δεκαέτει καὶ τῇ μετ' αὐτὸν
ὑπόπτῳ ἀνοκωχῇ· καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ, εὑρήσει τις
τοσαῦτα ἔτη λογιζόμενος κατὰ τοὺς χρόνους· καὶ ἡμέρας οὐ πο
λλὰς παρενεγκούσας· καὶ τοῖς ἀπὸ χρησμῶν τι ἰσχυρισαμένοις
μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν· αἰεὶ γὰρ ἔγωγε μέμνημαι καὶ
ἀρχομένου τοῦ πολέμου καὶ μέχρι οὗ ἐτελεύτησε, προφερό
μενον ὑπὸ πολλῶν ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν· ἐπε
βίων δὲ διὰ παντὸς αὐτοῦ αἰσθανόμενός τε τῇ ἡλικίᾳ· καὶ προ
σέχων τὴν γνώμην ὅπως ἀκριβές τι εἴσομαι· καὶ ξυνέβη μοι φεύ
γειν τὴν ἐμαυτοῦ, ἔτη εἴκοσι μετὰ τὴν ἐς ἀμφίπολιν στρατηγίαν·
καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι καὶ οὐχ ἧσσον τοῖς
πελοποννησίοις διὰ τὴν φυγήν· καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον
αἰσθέσθαι· τὴν οὖν μετὰ τὰ δέκα ἔτη διαφοράν τε καὶ ξύγ
χυσιν τῶν σπονδῶν καὶ τὰ ἔπειτα ὡς ἐπολεμήθη, ἐξηγήσομαι·
ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο, καὶ ὕστερον αἱ
ξυμμαχίαι καὶ ἀπὸ τῆς πελοποννήσου, πρέσβεις αἵπερ πα
ρεκλήθησαν ἐς αὐτά, ἀνεχώρουν ἐκ τῆς λακεδαίμονος·
οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον· κορίνθιοι δὲ ἐς ἄργος τραπό
μενοι, πρῶτον μὲν λόγους ποιοῦνται πρός τινας τῶν ἐν τέλει ὄντων
ἀργείων· ὡς χρὴ ἐπειδὴ λακεδαιμόνιοι οὐκ ἐπ' ἀγαθῷ ἀλλ' ἐπὶ
καταδουλώσει τῆς πελοποννήσου σπονδὰς καὶ ξυμμαχίαν τοὺς
πρὸς ἀθηναίους τοὺς πρὶν ἐχθίστους πεποίηνται, ὁρᾶν τοὺς ἀργ
ὅπως σωθήσεται ἡ πελοπόννησος· καὶ ψηφίσασθαι τὴν βουλο
μένην πόλιν τῶν ἑλλήνων, ἥτις αὐτόνομός τέ ἐστι καὶ δίκας
ἴσας καὶ ὁμοίας δίδωσι, πρὸς ἀργείους ξυμμαχίαν ποιεῖσθαι·
ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν· ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους
ἀρχὴν αὐτοκράτορας· καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι·
τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος· ἔ
φασαν δὲ πολλοὺς προσχωρήσεσθαι μίσει τῶν λακεδαιμονίων·

καὶ οἱ μὲν Κορίνθιοι δόξαν αὐτοῖς ταῦτα, ἀνεχώρησαν ἐπ' οἴκου·
οἱ δὲ τῶν Ἀργείων ἄνδρες ἀκούσαντες ἐπεὶ δὲ ἀνήνεγκαν τοὺς
λόγους ἔς τε τὰς ἀρχὰς καὶ τὸν δῆμον, ἐψηφίσαντο Ἀργεῖοι· καὶ
ἄνδρας εἵλοντο δώδεκα πρὸς οὓς τὸν βουλόμενον τῶν Ἑλλήνων
ξυμμαχίαν ποιεῖσθαι, πλὴν Λακεδαιμονίων καὶ Ἀθηναίων·
τούτων δὲ μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου τοῦ Ἀργείων
σπείσασθαι· ἐδέξαντό τε ταῦτα οἱ Ἀργεῖοι μᾶλλον ὁρῶντες τόν τε
Λακεδαιμονίων σφίσι πόλεμον ἐσόμενον· ἐπὶ ἐξόδῳ γὰρ πρὸς
αὐτοὺς αἱ σπονδαὶ ἦσαν· καὶ ἅμα ἐλπίσαντες τῆς Πελοποννήσου
ἡγήσεσθαι· κατὰ γὰρ τὸν χρόνον τοῦτον ἥ τε Λακεδαίμων μάλιστα
δὴ κακῶς ἤκουσε καὶ ὑπερώφθη διὰ τὰς ξυμφοράς· οἵ τε Ἀρ-
γεῖοι ἄριστα ἔσχον τοῖς πᾶσιν, οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πο-
λέμου· ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες ἐκκαρπωσάμενοι·
οἱ μὲν οὖν Ἀργεῖοι οὕτως ἐς τὴν ξυμμαχίαν προσεδέχοντο τοὺς
ἐθέλοντας τῶν Ἑλλήνων· Μαντινῆς δ' αὐτοῖς καὶ οἱ ξύμμα-
χοι αὐτῶν πρῶτον προσεχώρησαν· δεδιότες τοὺς Λακεδαιμο-
νίους· τοῖς γὰρ Μαντινεῦσι μέρος τι τῆς Ἀρκαδίας κατέστραπτο
ὑπήκοον, ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος· καὶ ἐνό-
μιζον οὐ περιόψεσθαι σφᾶς τοὺς Λακεδαιμονίους ἄρχειν, ἐ-
πειδὴ καὶ σχολὴν ἦγον· ὥστε ἄσμενοι πρὸς τοὺς Ἀργείους ἐτρά-
ποντο· πόλιν τε μεγάλην νομίζοντες καὶ Λακεδαιμονίοις
αἰεὶ διάφορον· δημοκρατουμένην τε ὥσπερ καὶ αὐτοί· ἀποστάν-
των δὲ τῶν Μαντινέων καὶ ἡ ἄλλη Πελοπόννησος ἐς θροῦν καθίστα-
το ὡς καὶ σφίσι ποιητέον τοῦτο· νομίσαντες πλέον τέ τι εἰδότας
μεταστῆναι αὐτούς· καὶ τοὺς Λακεδαιμονίους ἅμα δι' ὀργῆς
ἔχοντες ἔν τε ἄλλοις καὶ ὅτι ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς, ἐ-
γέγραπτο εὔορκον εἶναι προσθεῖναι καὶ ἀφελεῖν ὅ,τι ἂν ἀμ-
φοῖν τοῖν πολέοιν δοκῇ, Λακεδαιμονίοις καὶ Ἀθηναίοις· τοῦ-
το γὰρ τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον ἐθόρυβει καὶ ἐς

ποψίαν καθίστη· μὴ μετὰ ἀθηναίων σφᾶς βούλονται λακε-
δαιμόνιοι δουλώσασθαι· δίκαιον γὰρ εἶναι πᾶσι τοῖς ξυμμά-
χοις γεγράφθαι τὴν μετάθεσιν· ὥστε φοβούμενοι οἱ πολλοί
καὶ αὐτοὶ ὥρμηντο πρὸς τοὺς ἀργείους ἕκαστοι ξυμμαχίαν
ποιεῖσθαι· λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸν θροῦν τοῦτον
ἐν τῇ πελοποννήσῳ καθεστῶτα καὶ τοὺς κορινθίους διδασκά-
λους τε γενομένους καὶ αὐτοὺς μέλλοντας σπείσεσθαι πρὸς τὸ ἄρ-
γος, πέμπουσι πρέσβεις ἐς τὴν κόρινθον βουλόμενοι προκα-
ταλαβεῖν τὸ μέλλον· καὶ ᾐτιῶντο τήν τε ἐσήγησιν τοῦ παντὸς
καὶ εἰ ἀργείοις σφῶν ἀποστάντες ξύμμαχοι ἔσονται· παρα-
βήσεσθαί τε ἔφασαν αὐτοὺς τοὺς ὅρκους· καὶ ἤδη ἀδικεῖν ὅτι
οὐ δέχονται ἀθηναίων σπονδάς· εἰρημένον κύριον εἶναι ὅτι
ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται, ἢν μή τι θεῶν ἢ ἡρώ-
ων κώλυμα ᾖ· κορίνθιοι δὲ παρόντων σφίσι τῶν ξυμμάχων,
ὅσοι οὐδὲ αὐτοὶ ἐδέξαντο τὰς σπονδάς, παρεκάλεσαν δὲ αὐ-
τοὶ αὐτοὺς πρότερον, ἀντέλεγον τοῖς λακεδαιμονίοις· ἃ μὲν
ἠδικοῦντο, οὐ δηλοῦντες ἄντικρυς· ὅτι οὔτε σόλλιον σφίσιν ἀπέ-
λαβον παρ' ἀθηναίοις, οὔτε ἀνακτόριον· εἴ τέ τι ἄλλο ἐνόμιζον
ἐλασσοῦσθαι· πρόσχημα δὲ ποιούμενοι τοὺς ἐπὶ θρᾴκης,
μὴ προδώσειν· ὀμόσαι γὰρ αὐτοῖς ὅρκους ἰδίᾳ τε ὅτε ποτι-
δαιατῶν τὸ πρῶτον ἀφίσταντο καὶ ἄλλους ὕστερον· οὔκουν παρα-
βαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν, οὐκ ἐσιόντες ἐς
τὰς τῶν ἀθηναίων σπονδάς· θεῶν γὰρ πίστεις ὀμόσαντες ἐκεί-
νοις, οὐκ ἂν εὐορκεῖν προδιδόντες αὐτούς· εἰρῆσθαι δ' ὅτι ἢν μὴ
θεῶν ἢ ἡρώων κώλυμα ᾖ· φαίνεσθαι οὖν σφίσι κώλυμα θεῖον
τοῦτο· καὶ περὶ μὲν τῶν παλαιῶν ὅρκων τοσαῦτα εἶπον· περὶ δὲ
τῆς ἀργείων ξυμμαχίας μετὰ τῶν φίλων βουλευσάμενοι
ποιήσειν ὅτι ἂν δίκαιον ᾖ· καὶ οἱ μὲν λακεδαιμονίων
πρέσβεις ἀνεχώρησαν ἐπ' οἴκου· ἔτυχον δὲ παρόντες ἐν κορίνθῳ ἀργ

πρέσβεις. οἱ ἐκέλευον τοὺς κορινθίους ἰέναι ἐς τὴν ξυμμαχίαν
καὶ μὴ μέλλειν. οἱ δὲ, ἐς τὸν ὕστερον ξύλλογον αὐτοῖς τοῦ πράσσειν
προεῖπον ἥκειν. ἦλθε δὲ καὶ ἠλείων πρεσβεία εὐθύς. καὶ ἐποι-
ήσατο πρὸς κορινθίους ξυμμαχίαν πρῶτον. ἔπειτα ἐκεῖθεν ἐς
ἄργος ἐλθόντες καθὰ προείρητο, ἀργείων ξύμμαχοι ἐγένοντο.
διαφερόμενοι γὰρ ἐτύγχανον πρὸς λακεδαιμονίους περὶ λε-
πρέου. πολέμου γὰρ γενομένου ποτὲ πρὸς ἀρκάδων τινὰς λε-
πρεάταις. καὶ ἠλείων παρακληθέντων ὑπὸ λεπρεατῶν ἐς ξυμ-
μαχίαν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς, καὶ λυσάντων τὸν πόλεμον, ἠλεῖ-
οι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς λεπρεάταις, τάλαντον ἔταξαν
τῷ διὶ τῷ ὀλυμπίῳ ἀποφέρειν. καὶ μέχρι τοῦ ἀττικοῦ πολέ-
μου ἀπέφερον. ἔπειτα παυσαμένων διὰ πρόφασιν τοῦ πολέμου,
οἱ ἠλεῖοι ἐπηνάγκαζον. οἱ δὲ ἐτράποντο πρὸς τοὺς λακεδαιμο-
νίους. καὶ δίκης λακεδαιμονίοις ἐπιτραπείσης, ὑποτοπήσαν-
τες οἱ ἠλεῖοι μὴ ἴσον ἕξειν, ἀνέντες τὴν ἐπιτροπὴν λεπρεατῶν
τὴν γῆν ἔτεμον. οἱ δὲ λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν
αὐτονόμους εἶναι λεπρεάτας. καὶ ἀδικεῖν ἠλείους. καὶ ὡς οὐκ
ἐμμεινάντων τῇ ἐπιτροπῇ, φρουρὰν ὁπλιτῶν ἔπεμψαν ἐς
λέπρεον. οἱ δὲ ἠλεῖοι νομίζοντες πόλιν σφῶν ἀφεστηκυῖαν,
δέξασθαι λακεδαιμονίους. καὶ τὴν ξυνθήκην προφέροντες
ἐν ᾗ εἴρητο ἃ ἔχοντες ἐς τὸν ἀττικὸν πόλεμον καθίσταντό τινες,
ταῦτα ἔχοντες καὶ ἐξελθεῖν ὡς οὐκ ἴσον ἔχοντες, ἀφίστανται πρὸς
τοὺς ἀργείους. καὶ τὴν ξυμμαχίαν ὥσπερ προείρητο καὶ οὗτοι ἐποι-
ήσαντο. ἐγένοντο δὲ καὶ οἱ κορίνθιοι εὐθὺς μετ' ἐκείνους. καὶ οἱ
ἐπὶ θρᾴκης χαλκιδῆς ἀργείων ξύμμαχοι. βοιωτοὶ δὲ καὶ με-
γαρῆς τὸ αὐτὸ λέγοντες ἡσύχαζον περιορώμενοι ὑπὸ τῶν
λακεδαιμονίων. καὶ νομίζοντες σφίσι τὴν ἀργείων δημο-
κρατίαν αὐτοῖς ὀλιγαρχουμένοις, ἧσσον ξύμφορον εἶναι τῆς
λακεδαιμονίων πολιτείας. περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ

θέσαι τούτου· Σκιωναίους μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες,
ἀπέκτειναν τοὺς ἡβῶντας· παῖδας δὲ καὶ γυναῖκας ἠνδραπό
δισαν· καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδωκαν νέμεσθαι· Δηλίους δὲ
κατήγαγον πάλιν ἐς Δῆλον· ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις
ξυμφοράς· καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος· καὶ Φωκῆς καὶ
Λοκροὶ ἤρξαντο πολεμεῖν· καὶ Κορίνθιοι καὶ Ἀργεῖοι ἤδη ξυμ
μαχοι ὄντες· ἔρχονται ἐς Τεγέαν ἀποστήσοντες αὐτὴν Λακεδαι
μονίων· ὁρῶντες μέγα μέρος ὂν καὶ εἰ σφίσι προσγένοιτο, νο
μίζοντες ἅπασαν ἂν ἔχειν Πελοπόννησον· ὡς δὲ οὐδὲν ἂν ἔφασαν
ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι μέχρι
τούτου προθύμως πράσσοντες, ἀνεῖσαν τῆς φιλονεικίας· καὶ ὠρρώ
δησαν μὴ οὐδεὶς σφίσιν ἔτι τῶν ἄλλων προσχωρῇ· ὅμως δὲ ἐλθόν
τες ἐς τοὺς Βοιωτούς, ἐδέοντο σφῶν τε καὶ Ἀργείων γίγνεσθαι ξυμ
μάχους· καὶ τἆλλα κοινῇ πράσσειν· τάς τε δεχημέρους ἐπισπον
δάς, αἳ ἦσαν Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλήλους οὐ πολλῷ
ὕστερον γενόμεναι, τούτων τῶν πεντηκοντουτίδων σπονδῶν, ἐ
κέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε, καὶ
σφίσι ποιῆσαι ὥσπερ Βοιωτοὶ εἶχον· μὴ δεχομένων δὲ Ἀθηναίων
ἀπειπεῖν τὴν ἐκεχειρίαν· καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ σφῶν.
Βοιωτοὶ δὲ δεομένων τῶν Κορινθίων· περὶ μὲν τῆς Ἀργείων
ξυμμαχίας, ἐπισχεῖν αὐτοὺς ἐκέλευον· ἐλθόντες δὲ Ἀθήναζε
μετὰ Κορινθίων, οὐχ ηὕροντο δεχημέρους σπονδάς· ἀλλ' ἀπε
κρίναντο Ἀθηναῖοι Κορινθίοις εἶναι σπονδάς· εἴπερ Λακε
δαιμονίων εἰσὶ ξύμμαχοι· Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖ
πον τὰς δεχημέρους· ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων
ξυνθέσθαι σφίσι· Κορινθίοις δὲ ἀνοκωχὴ ἄσπονδος ἦν πρὸς
Ἀθηναίους· Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ
ἐστράτευσαν· Πλειστοάνακτος τοῦ Λακεδαιμονίων βασιλέως
ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παρρασίους· Μαντινέων ὑπηκόους

ὄντας καταστάσει ἐπικαλεσαμένων σφᾶς. ἅμα δὲ καὶ τὸ ἐν κυ
ψέλλοις τεῖχος καθαιρήσοντες ἢν δύνωνται, ὃ ἐτείχισαν μαντι
νῆς. καὶ αὐτοὶ ἐφρούρουν ἐν τῇ παρρασικῇ κείμενον ἐπὶ τῇ σκι
ρίτιδι τῆς λακωνικῆς. καὶ οἱ μὲν λακεδαιμόνιοι τὴν γῆν τῶν
παρρασίων ἐδῄουν. οἱ δὲ μαντινῆς τὴν πόλιν ἀργείοις φύλα
ξι παραδόντες, αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν. ἀδύνατοι δ'
ὄντες διασῶσαι τό τε ἐν κυψέλλοις τεῖχος καὶ τὰς ἐν παρρασίοις
πόλεις ἀπῆλθον. λακεδαιμόνιοι δὲ τούς τε παρρασίους αὐτονό
μους ποιήσαντες καὶ τὸ τεῖχος καθελόντες ἀνεχώρησαν ἐπ' οἴκου.
καὶ τοῦ αὐτοῦ θέρους ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ θρᾴκης μετὰ
βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ κλεαρίδας μετὰ
τὰς σπονδὰς ἐκόμισεν, λακεδαιμόνιοι ἐψηφίσαντο τοὺς μὲν
μετὰ βρασίδου εἵλωτας μαχεσαμένους, ἐλευθέρους εἶναι καὶ
οἰκεῖν ὅπου ἂν βούλωνται. καὶ ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ
τῶν νεοδαμωδῶν, ἐς λέπρεον κατέστησαν. κείμενον ἐπὶ τῆς
λακωνικῆς καὶ τῆς ἠλείας, ὄντες διάφοροι ἤδη ἠλείοις. τοὺς δ'
ἐκ τῆς νήσου ληφθέντας σφῶν καὶ τὰ ὅπλα παραδόντας δείσαντες
μή τι διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι, καὶ ὄντες
ἐπίτιμοι νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας, ἀτίμους
ἐποίησαν. ἀτιμίαν δὲ τοιάνδε· ὥστε μήτε ἄρχειν, μήτε πρια
μένους τι ἢ πωλοῦντας κυρίους εἶναι. ὕστερον δὲ αὖθις χρόνῳ
ἐπίτιμοι ἐγένοντο. τοῦ δ' αὐτοῦ θέρους καὶ θυσσὸν τὴν ἐν τῇ ἄθῳ
ἀκτῇ δίης εἷλον ἀθηναίων οὖσαν ξύμμαχον. καὶ τὸ θέρος τοῦτο
πᾶν ἐπιμιξίαι μὲν ἦσαν τοῖς ἀθηναίοις καὶ πελοποννησίοις.
ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ τὰς σπονδὰς οἵ τε ἀθηναῖοι
καὶ λακεδαιμόνιοι κατὰ τὴν χώραν. ἀλλήλοις οὐκ ἀποδιδοῦ λόδοσι
τὴν γὰρ ἀμφίπολιν πρότερον λαχόντες οἱ λακεδαιμόνιοι ἀπο
διδόναι καὶ τὰ ἄλλα οὐκ ἀπεδεδώκεσαν. οὐδὲ τοὺς ἐπὶ θρᾴ
κης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους. οὐδὲ

βοιωτοὺς οὐδὲ κορινθίους· λέγοντες αἰεὶ ὡς μετὰ ἀθηναίων τούτους
ἢν μὴ θέλωσι κοινῇ, ἀναγκάσουσι· χρόνους τε προύθεντο ἄνευ
ξυγγραφῆς· ἐν οἷς χρῆν τοὺς μὴ ἐσιόντας, ἀμφοτέροις πολε-
μίους εἶναι· τούτων οὖν ὁρῶντες οἱ ἀθηναῖοι οὐδὲν ἔργῳ γι-
γνόμενον, ὑπετόπτευον τοὺς λακεδαιμονίους μηδὲν δίκαιον δι-
ανοεῖσθαι· ὥστε οὔτε πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν,
ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδω-
κότες· τά τε ἄλλα χωρία εἶχον μένοντες ἕως σφίσι κἀκεῖνοι
ποιήσειαν τὰ εἰρημένα· λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ
ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας
ἀθηναίων ἀποδοῦναι· καὶ τοὺς ἐπὶ θρᾴκης στρατιώτας ἀπα-
γαγεῖν· καὶ εἴ του ἄλλου ἐγκρατεῖς ἦσαν· ἀμφιπόλεως δὲ οὐκ ἔ-
φασαν κρατεῖν ὥστε παραδοῦναι· βοιωτοὺς δὲ πειράσεσθαι καὶ
κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν· καὶ πάνακτον ἀπολα-
βεῖν· καὶ ἀθηναίων ὅσοι ἦσαν ἐν βοιωτοῖς αἰχμάλωτοι κομι-
εῖν· πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, μεσση-
νίους τε καὶ τοὺς εἵλωτας ἐξαγαγεῖν· ὥσπερ καὶ αὐτοὶ τοὺς ἀ-
πὸ θρᾴκης· ἀθηναίους φρουρεῖν τὸ χωρίον αὐτούς, εἰ βούλοιντο·
πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων, ἐν τῷ θέρει τούτῳ,
ἔπεισαν τοὺς ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ πύλου μεσσηνί-
ους καὶ τοὺς ἄλλους εἵλωτάς τε καὶ ὅσοι ηὐτομολήκεσαν ἐκ τῆς
λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν κρανίοις τῆς κεφαλ-
ληνίας· τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ'
ἀλλήλους· τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος, ἔτυχον γὰρ ἔφοροι
ἕτεροι καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη, καί τι-
νες αὐτῶν καὶ ἐναντίοι σπονδαῖς· ἐλθουσῶν πρεσβειῶν ἀπὸ
τῆς ξυμμαχίδος, καὶ παρόντων ἀθηναίων καὶ βοιωτῶν καὶ
κορινθίων, καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων καὶ οὐδὲν ξυμ-
βάντων, ὡς ἀπῇσαν ἐπ' οἴκου τοῖς βοιωτοῖς καὶ κορινθίοις

Κα

κλεόβουλος καὶ ξενάρης οὗτοι οἵπερ τῶν ἐφόρων ἐβούλοντο
μάλιστα διαλῦσαι τὰς σπονδάς, λόγους ποιοῦνται ἰδίους· πα
ραινοῦντες ὅτι μάλιστα ταὐτά τε γιγνώσκειν καὶ πειρᾶσθαι βοιω
τοὺς ἀργείους γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις
μετὰ βοιωτῶν ἀργείους λακεδαιμονίοις ποιῆσαι ξυμμάχους·
οὕτω γὰρ ἥκιστα ἀναγκασθῆναι βοιωτοὺς ἐς τὰς ἀττικὰς σπον
δὰς ἐσελθεῖν· ἑλέσθαι γὰρ λακεδαιμονίους πρὸ τῆς ἀθηναίων
ἔχθρας καὶ διαλύσεως τῶν σπονδῶν, ἀργείους σφίσι φίλους
καὶ ξυμμάχους γενέσθαι· τὸ γὰρ ἄργος αἰεὶ ἠπίσταντο ἐπιθυ
μοῦντας τοὺς λακεδαιμονίους καλῶς σφίσι φίλιον γενέσθαι·
ἡγουμένους τὸν ἔξω πελοποννήσου πόλεμον, ῥᾴω ἂν εἶναι·
τὸ μέντοι πάνακτον ἐδέοντο βοιωτούς, ὅπως παραδῶσι λα
κεδαιμονίοις, ἵνα ἀντ' αὐτοῦ πύλον ἢν δύνωνται ἀπολαβόν
τες, ῥᾷον καθιστῶνται ἀθηναίοις ἐς πόλεμον· καὶ οἱ μὲν βοι
ωτοὶ καὶ κορίνθιοι ταῦτα ἐπεσταλμένοι ἀπό τε τοῦ ξενάρους καὶ
κλεοβούλου καὶ ὅσοι φίλοι ἦσαν αὐτοῖς τῶν λακεδαιμονίων,
ὥστε ἀπαγγεῖλαι ἐπὶ τὰ κοινά, ἑκάτεροι ἀνεχώρουν· ἀργείων
δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν ἀπιόντας αὐ
τοὺς καθ' ὁδόν· καὶ ξυγγενόμενοι ἐς λόγους ἦλθον, εἴ πως οἱ
βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο ὥσπερ κορίνθιοι καὶ ἠλεῖοι
καὶ μαντινῆς· νομίζειν γὰρ ἂν τούτου προχωρήσαντος, ῥᾳδίως
ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι· καὶ πρὸς λακεδαιμονίους εἰ
βούλοιντο κοινῷ λόγῳ χρωμένους· καὶ εἴ τινα πρὸς ἄλλον
δέοι· τοῖς δὲ τῶν βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκεν·
κατὰ τύχην γὰρ ἐδέοντο τούτων ὧνπερ καὶ οἱ ἐκ τῆς λακεδαίμονος
αὐτοῖς φίλοι ἐπεστάλκεσαν· καὶ οἱ τῶν ἀργείων ἄνδρες ὡς ᾔσ
θοντο αὐτοὺς δεχομένους τὸν λόγον, εἰπόντες ὅτι πρέσβεις πέμ
ψουσιν ἐς βοιωτούς, ἀπῆλθον· ἀφικόμενοι δὲ οἱ βοιωτοὶ ἀ
πήγγειλαν τοῖς βοιωτάρχαις τά τε ἐκ τῆς λακεδαίμονος καὶ τὰ

ἀπὸ τῶν ξυγγενομένων ἀργείων· καὶ οἱ βοιωτάρχαι ἠρέσκοντό
τε καὶ πολλῷ προθυμότεροι ἦσαν· ὅτι ἀμφοτέρωθεν ξυνεβε-
βήκει αὐτοῖς τούς τε φίλους τοὺς λακεδαιμονίων τῶν αὐτῶν δεῖ-
σθαι· καὶ τοὺς ἀργείους ἐς τὰ ὁμοῖα σπεύδειν· καὶ οὐ πολλῷ ὕστε-
ρον πρέσβεις ἀργείων παρῆσαν τὰ εἰρημένα προκαλούμενοι·
καὶ αὐτοὺς ἀπέπεμψαν ἐπαινέσαντες τοὺς λόγους οἱ βοιωτάρ-
χαι· καὶ πρέσβεις ὑποσχόμενοι ἀποστελεῖν περὶ τῆς ξυμμα-
χίας ἐς ἄργος· ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς βοιωτάρχαις καὶ
κορινθίοις καὶ μεγαρεῦσι καὶ τοῖς ἀπὸ θρᾴκης πρέσβεσιν ὀ-
μόσαι ὅρκους ἀλλήλοις· ἦ μὴν ἔν τε τῷ παρατυχόντι ἀμυνεῖν
τῷ δεομένῳ· καὶ μὴ πολεμήσειν τῳ, μηδὲ ξυμβήσεσθαι ἄνευ
κοινῆς γνώμης· καὶ οὕτως ἤδη τοὺς βοιωτοὺς καὶ μεγαρέας
τὸ γὰρ αὐτὸ ἔπρασσον πρὸς τοὺς ἀργείους σπένδεσθαι· πρὶν δὲ
τοὺς ὅρκους γενέσθαι. οἱ βοιωτάρχαι ἐκοίνωσαν ταῖς τέσσαρσι
βουλαῖς τῶν βοιωτῶν ταῦτα· αἵπερ ἅπαν τὸ κῦρος ἔχουσιν·
καὶ παρῄνουν γενέσθαι ὅρκους ταῖς πόλεσιν ὅσαι βούλονται ἐπ'
ὠφελίᾳ σφίσι ξυνομνύναι· οἱ δ' ἐν ταῖς βουλαῖς τῶν βοιωτῶν
ὄντες, οὐ προσδέχονται τὸν λόγον· δεδιότες μὴ ἐναντία λακε-
δαιμονίοις ποιήσωσι τοῖς ἐκείνων ἀφεστῶσι κορινθίοις ξυνο-
μνύντες· οὐ γὰρ εἶπον αὐτοῖς οἱ βοιωτάρχαι τὰ ἐκ τῆς λακεδαί-
μονος, ὅτι τῶν τε ἐφόρων κλεόβουλος καὶ ξενάρης καὶ οἱ φί-
λοι παραινοῦσιν, ἀργείων πρῶτον καὶ κορινθίων γενομένους
ξυμμάχους ὕστερον μετὰ τῶν λακεδαιμονίων γίγνεσθαι· οἰ-
όμενοι τὴν βουλὴν κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι ἢ ἃ
σφίσι προδιαγνόντες παραινοῦσιν· ὡς δὲ ἀντέστη τὸ πρᾶγμα
οἱ μὲν κορίνθιοι καὶ οἱ ἀπὸ θρᾴκης πρέσβεις ἄπρακτοι ἀπῆλ-
θον· οἱ δὲ βοιωτάρχαι μέλλοντες πρότερον εἰ ταῦτα ἔπεισαν
καὶ τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς ἀργείους ποιεῖν, οὐκέτι ἐσή-
νεγκον περὶ ἀργείων ἐς τὰς βουλάς· οὐδὲ ἐς τὸ ἄργος τοὺς πρέσ

οὐκ ἀπείχοντο τὸ πάμπαν· ἀμέλεια δέ τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων· καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ, Μηκύβερναν Ὀλύνθιοι Ἀθηναίων φρουρούντων, ἐπιδραμόντες εἷλον· μετὰ δὲ ταῦτα, ἐγίγνοντο γὰρ αἰεὶ λόγοι τοῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων, ἐλπίζοντες οἱ Λακεδαιμόνιοι εἰ Πάνακτον Ἀθηναῖοι παρὰ Βοιωτῶν ἀπολάβοιεν, κομίσασθαι ἂν αὐτοὶ Πύλον, ἦλθον ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι· καὶ ἐδέοντο σφίσι Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι· ἵνα ἀντ' αὐτῶν Πύλον κομίσωνται· οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν ἢν μὴ σφίσι ξυμμαχίαν ἰδίαν ποιήσωνται ὥσπερ Ἀθηναίοις· Λακεδαιμόνιοι δὲ εἰδότες μὲν ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ μήτε πολεμεῖν, βουλόμενοι δὲ τὸ Πάνακτον παραλαβεῖν, ὡς τὴν Πύλον ἀντ' αὐτοῦ κομιούμενοι, καὶ ἅμα τῶν ξυγχέαι σπευδόντων τὰς σπονδὰς προθυμουμένων τὰ ἐς Βοιωτούς, ἐποιήσαντο τὴν ξυμμαχίαν τοῦ χειμῶνος τελευτῶντος ἤδη· καὶ πρὸς ἔαρ· τὸ Πάνακτον, εὐθὺς καθῃρεῖτο· καὶ ἑνδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα· ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀργεῖοι, ὡς οἱ πρέσβεις τῶν Βοιωτῶν οὓς ἔφασαν πέμψειν οὐχ ἧκον· τό τε Πάνακτον ᾔσθοντο καθαιρούμενον καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς ἐς τοὺς Λακεδαιμονίους, ἔδεισαν μὴ μονωθῶσι καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ· τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ Λακεδαιμονίων, τό τε Πάνακτον καθελεῖν· καὶ ἐς τὰς Ἀθηναίων σπονδὰς ἐσιέναι· τούς τε Ἀθηναίους εἰδέναι ταῦτα· ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμαχίαν ποιήσασθαι· πρότερον ἐλπίζοντες ἐκ τῶν διαφορῶν εἰ μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους σπονδαί, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι· ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι καὶ φοβούμενοι, μὴ Λακεδαιμονίοις καὶ Τεγεάταις

Τεγεάταις

βοιωτοῖς καὶ ἀθηναίοις ἅμα πολεμῶσι, πρότερον οὐ δεχόμενοι
τὰς λακεδαιμονίων σπονδάς· ἀλλ' ἐν φρονήματι ὄντες τῆς πε
λοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν λα
κεδαίμονα πρέσβεις εὔστροφον καὶ αἴσωνα· οἳ ἐδόκουν προσ
φιλέστατοι αὐτοῖς εἶναι· ἡγούμενοι ἐκ τῶν παρόντων κράτιστα σφίσι
λακεδαιμονίοις σπονδὰς ποιησαμένοις ὅπῃ ἂν ξυγχωρῇ ἡσυ
χίαν ἔχειν· καὶ οἱ πρέσβεις ἀφικόμενοι αὐτῶν λόγους ἐποιοῦντο
πρὸς τοὺς λακεδαιμονίους, ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιντο·
καὶ τὸ μὲν πρῶτον ἠξίουν οἱ ἀργεῖοι δίκης ἐπιτροπὴν σφίσι γενέσθαι·
ἢ ἐς πόλιν τινὰ ἢ ἐς ἰδιώτην περὶ τῆς κυνουρίας γῆς ἧς ἀεὶ πέρι
διαφέρονται μεθορίας οὔσης· ἔχει δὲ ἐν αὐτῇ θυρέαν καὶ ἀν
θήνην πόλιν· νέμονται δ' αὐτὴν λακεδαιμόνιοι· ἔπειτα δ' οὐκ
ἐώντων λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς· ἀλλ' εἰ βούλοιντο
σπένδεσθαι ὥσπερ πρότερον ἑτοίμους εἶναι, οἱ ἀργεῖοι πρέσβεις
ὅμως τάδε ἐπηγάγοντο τοὺς λακεδαιμονίους ξυγχωρῆσαι· ἐν
μὲν τῷ παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα· ἐξεῖναι δ'
ὁποτεροισοῦν προκαλεσαμένοις μήτε νόσου οὔσης μήτε πολέμου
λακεδαίμονι καὶ ἄργει διαμάχεσθαι περὶ τῆς γῆς ταύτης ὡς
περ καὶ πρότερον ποτὲ ὅτε αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν· δι
ώκειν δὲ μὴ ἐξεῖναι περαιτέρω πρὸς ἄργος καὶ λακεδαίμονος
ὅρων· τοῖς δὲ λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μωρία
εἶναι ταῦτα· ἔπειτα ἐπεθύμουν γὰρ τὸ ἄργος πάντως φίλον ἔχειν,
ξυνεχώρησαν ἐφ' οἷς ἠξίουν καὶ ξυνεγράψαντο· ἐκέλευον δ' οἱ
λακεδαιμόνιοι πρὶν τέλος τι αὐτῶν ἔχειν, ἐς τὸ ἄργος πρῶτον
ἐπαναχωρήσαντας αὐτοὺς δεῖξαι τῷ πλήθει· καὶ ἢν ἀρέσκοντα
ᾖ, ἥκειν ἐς τὰ ὑακίνθια τοὺς ὅρκους ποιησομένους· καὶ οἱ μὲν
ἀνεχώρησαν· ἐν δὲ τῷ χρόνῳ τούτῳ ᾧ οἱ ἀργεῖοι ταῦτα ἔπρασσον,
οἱ πρέσβεις τῶν λακεδαιμονίων ἀνδρομένης καὶ φαίδιμος,
καὶ ἀντιμενίδας, οὓς ἔδει τὸ πάνακτον καὶ τοὺς ἄνδρας

τοὺς παρὰ βοιωτῶν ἀπολαβόντας ἀθηναίοις ἀποδοῦναι. τὸ μὲν
πάνακτον ὑπὸ τῶν βοιωτῶν αὐτῶν καθῃρημένον ηὗρον ἐπὶ προ-
φάσει, ὡς ἦσάν ποτε ἀθηναίοις καὶ βοιωτοῖς ἐκ διαφορᾶς περὶ
αὐτοῦ ὅρκοι παλαιοὶ, μηδετέροις οἰκεῖν τὸ χωρίον· ἀλλὰ κοι-
νῇ νέμειν· τοὺς δ' ἄνδρας οὓς εἶχον αἰχμαλώτους βοιωτοὶ ἀθηναίων
παραλαβόντες οἱ περὶ τὸν ἀνδρομένη, ἐκόμισαν τοῖς ἀθηναίοις
καὶ ἀπέδοσαν· τοῦ τε πανάκτου τὴν καθαίρεσιν ἔλεγον, νομί-
ζοντες αὐτοῖς καὶ τοῦτο ἀποδιδόναι· πολέμιον γὰρ οὐκέτι ἐν αὐ-
τῷ ἀθηναίοις οἰκήσειν οὐδένα· λεγομένων δὲ τούτων οἱ ἀθη-
ναῖοι δεινὰ ἐποίουν νομίζοντες ἀδικεῖσθαι ὑπὸ λακεδαιμο-
νίων τοῦ τε πανάκτου τῇ καθαιρέσει ὃ ἔδει ὀρθὸν παραδοῦναι
καὶ πυνθανόμενοι ὅτι καὶ βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται·
φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς σπονδὰς
προσαναγκάσειν· τά τε ἄλλα ἐσκόπουν ὅσα ἐξελελοίπεσαν τῆς
ξυνθήκης· καὶ ἐνόμιζον ἐξηπατῆσθαι· ὥστε χαλεπῶς πρὸς τοὺς
πρέσβεις ἀποκρινάμενοι ἀπέπεμψαν· κατὰ τοιαύτην δὴ δια-
φορὰν ὄντων τῶν λακεδαιμονίων πρὸς τοὺς ἀθηναίους, οἱ ἐν ταῖς
ἀθήναις αὖ βουλόμενοι λῦσαι τὰς σπονδάς, εὐθὺς ἐνέκειντο· ἦ-
σαν δὲ ἄλλοι τε καὶ ἀλκιβιάδης ὁ κλεινίου· ἀνὴρ ἡλικίᾳ μὲν
ὢν τότε νέος ὡς ἐν ἄλλῃ· ἀξιώματι δὲ προγόνων τιμώμενος. ᾧ
ἐδόκει μὲν καὶ ἄμεινον εἶναι πρὸς τοὺς ἀργείους μᾶλλον χωρεῖν· οὐ
μέντοι ἀλλὰ καὶ φρονήματι φιλονικῶν, ἠναντιοῦτο ὅτι λακε-
δαιμόνιοι διὰ νικίου καὶ λάχητος ἔπραξαν τὰς σπονδὰς ἑαυτὸν
κατὰ τὴν νεότητα ὑπεριδόντες καὶ κατὰ τὴν παλαιὰν προξε-
νίαν ποτὲ οὖσαν οὐ τιμήσαντες - ἣν τοῦ πάππου ἀπειπόντος, αὐ-
τὸς τοὺς ἐκ τῆς νήσου αὐτῶν αἰχμαλώτους θεραπεύων, διενοεῖτο
ἀνανεώσασθαι· πανταχόθεν τε νομίζων ἐλασσοῦσθαι, τό τε
πρῶτον ἀντεῖπεν, οὐ βεβαίους φάσκων εἶναι λακεδαιμονίους

ἀλλ' ἵνα Ἀργείοις σφίσι σπεισάμενοι ἐξέλωσι· καὶ αὖθις ἐπ' Ἀθηναίους
μόνους ἴωσι, τούτου ἕνεκα σπείσασθαι αὐτούς· καὶ τότε ἐπειδὴ ἡ
διαφορὰ ἐγεγένητο, πέμπει εὐθὺς ἐς Ἄργος ἰδίᾳ κελεύων· ὡς
τάχιστα ἐπὶ τὴν ξυμμαχίαν προσκαλουμένους ἥκειν μετὰ Μαντι-
νέων καὶ Ἠλείων· ὡς καιροῦ ὄντος· καὶ αὐτὸς ξυμπράξων τὰ μά-
λιστα· οἱ δὲ Ἀργεῖοι ἀκούσαντες τῆς τε ἀγγελίας, καὶ ἐπειδὴ ἔ-
γνωσαν οὐ μετὰ Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν ξυμμαχί-
αν, ἀλλ' ἐς διαφορὰν μεγάλην καθεστῶτας αὐτοὺς πρὸς τοὺς Λακεδαι-
μονίους, τῶν μὲν ἐν Λακεδαίμονι πρέσβεων οἳ σφίσι περὶ τῶν
σπονδῶν ἔτυχον ἀπόντες, ἠμέλουν· πρὸς δὲ τοὺς Ἀθηναίους
μᾶλλον τὴν γνώμην εἶχον· νομίζοντες πόλιν τε σφίσι φιλίαν
ἀπὸ παλαιοῦ, καὶ δημοκρατουμένην ὥσπερ καὶ αὐτοί, καὶ
δύναμιν μεγάλην ἔχουσαν τὴν κατὰ θάλασσαν ξυμπολεμήσειν
σφίσιν ἢν καθιστῶνται ἐς πόλεμον· ἔπεμπον οὖν εὐθὺς πρέσ-
βεις ὡς τοὺς Ἀθηναίους περὶ τῆς ξυμμαχίας· ξυνεπρεσβεύοντο
δὲ καὶ Ἠλεῖοι καὶ Μαντινῆς· ἀφίκοντο δὲ καὶ Λακεδαιμονίων
πρέσβεις κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις·
Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος· δείσαντες μὴ τήν τε ξυμμα-
χίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται· καὶ ἅμα Πύ-
λον ἀπαιτήσοντες ἀντὶ Πανάκτου· καὶ περὶ τῆς Βοιωτῶν ξυμ-
μαχίας ἀπολογησόμενοι· ὡς οὐκ ἐπὶ κακῷ τῶν Ἀθηναίων ἐποι-
ήσαντο· καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων, καὶ ὡς αὐτο-
κράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν διαφόρων· τὸν Ἀλ-
κιβιάδην ἐφόβουν· μὴ καὶ ἢν ἐς τὸν δῆμον ταὐτὰ λέγοντες ἐπα-
γάγωνται τὸ πλῆθος· καὶ ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία· μη-
χανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· τοὺς Λακε-
δαιμονίους πείθει πίστιν αὐτοῖς δούς, ἢν μὴ ὁμολογήσωσιν ἐν
τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀποδώσειν,
πείσειν γὰρ αὐτὸς Ἀθηναίους ὥσπερ καὶ νῦν ἀντιλέγειν, καὶ τἆλλα

ξυναλλάξειν· βουλόμενος δὲ αὐτοὺς νικίου τε ἀποστῆσαι, ταῦτα ἔ-
πρασσε· καὶ ὅπως ἐν τῷ δήμῳ διαβαλὼν αὐτοὺς ὡς οὐδὲν ἀληθὲς ἐν
νῷ ἔχουσιν, οὐδὲ λέγουσιν οὐδέποτε ταὐτά, τοὺς ἀργείους καὶ ἠ-
λείους καὶ μαντινέας ξυμμάχους ποιήσῃ· καὶ ἐγένετο οὕτως·
ἐπειδὴ γὰρ ἐν τῷ δήμῳ παρελθόντες καὶ ἐπερωτώμενοι οὐκ ἔ-
φασαν ὥσπερ ἐν τῇ βουλῇ αὐτοκράτορες ἥκειν, οἱ ἀθηναῖοι οὐ-
κέτι ἠνείχοντο· ἀλλὰ τοῦ ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρότερον
καταβοῶντος τῶν λακεδαιμονίων, ἐσήκουόν τε· καὶ εὐθὺς
παραγαγόντες, ἕτοιμοι ἦσαν τοὺς ἀργείους καὶ τοὺς μετ᾽ αὐτῶν
ξυμμάχους ποιεῖσθαι· σεισμοῦ δὲ γενομένου πρίν τι ἐπικυ-
ρωθῆναι, ἡ ἐκκλησία αὕτη ἀνεβλήθη· τῇ δ᾽ ὑστεραίᾳ ἐκ-
κλησίᾳ ὁ νικίας, καίπερ τῶν λακεδαιμονίων αὐτῶν ἠπα-
τημένων καὶ αὐτὸς ἐξηπατημένος περὶ τοῦ μὴ αὐτοκράτορας
ὁμολογῆσαι ἥκειν, ὅμως τοῖς λακεδαιμονίοις ἔφη χρῆναι
μᾶλλον φίλους γίγνεσθαι· καὶ ἐπισχόντας τὰ πρὸς ἀργείους,
πέμψαι ἔτι πρὸς αὐτοὺς καὶ εἰδέναι ὅτι διανοοῦνται λέγων
ἐν μὲν τῷ σφετέρῳ καλῷ, ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ τὸν πόλε-
μον ἀναβάλλεσθαι· σφίσι μὲν γὰρ ἑστώτων τῶν πραγμάτων
ὡς ἐπὶ πλεῖστον ἄριστον εἶναι διασώσασθαι τὴν εὐπραγίαν· ἐκεί-
νοις δὲ δυστυχοῦσιν, ὅτι τάχιστα εὕρημα εἶναι διακινδυνεῦ-
σαι· ἔπεισέ τε πέμψαι πρέσβεις ὧν καὶ αὐτὸς ἦν, κελεύ-
σοντας λακεδαιμονίους εἴ τι δίκαιον διανοοῦνται, πάνα-
κτόν τε ὀρθὸν ἀποδοῦναι καὶ ἀμφίπολιν καὶ τὴν βοιωτῶν
ξυμμαχίαν ἀνεῖναι ἢν μὴ ἐς τὰς σπονδὰς ἴωσι καθάπερ εἴρη-
δυσὶ ἀλλήλων μηδενὶ ξυμβαίνειν· εἰπεῖν τε ὅτι καὶ
σφεῖς ἐβούλοντο ἀδικεῖν, ἤδη ἂν ἀργείους ξυμμάχους πε-
ποιῆσθαι· ὡς παρεῖναί γ᾽ αὐτοὺς αὐτοῦ τούτου ἕνεκα· εἴ τέ τι ἄλλο
ἐνεκάλουν, πάντα ἐπιστείλαντες, ἀπέπεμψαν τοὺς περὶ τὸν
νικίαν πρέσβεις· καὶ ἀφικομένων αὐτῶν καὶ ἀπαγγειλάντων

τά τε ἄλλα καὶ τέλος εἰπόντων ὅτι εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι βοιωτοῖς μὴ ἐσιοῦσιν ἐς τὰς σπονδάς, ποιήσονται καὶ αὐτοὶ ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους. τὴν μὲν ξυμμαχίαν οἱ λακεδαιμόνιοι βοιωτοῖς οὐκ ἔφασαν ἀνήσειν, ἐπικρατούντων τῶν περὶ τὸν ξενάρη τὸν ἔφορον ταῦτα γίγνεσθαι· καὶ ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν· τοὺς δὲ ὅρκους δεομένου νικίου ἀνενεώσαντο· ἐφοβεῖτο γὰρ μὴ πάντα ἀτελῆ ἔχων ἀπέλθῃ καὶ διαβληθῇ· ὅπερ καὶ ἐγένετο· αἴτιος δοκῶν εἶναι τῶν πρὸς λακεδαιμονίους σπονδῶν· ἀναχωρήσαντός τε αὐτοῦ ὡς ἤκουσαν οἱ ἀθηναῖοι οὐδὲν ἐκ τῆς λακεδαίμονος πεπραγμένον, εὐθὺς δι' ὀργῆς εἶχον· καὶ νομίζοντες ἀδικεῖσθαι, ἔτυχον γὰρ παρόντες οἱ ἀργεῖοι καὶ οἱ ξύμμαχοι παραγαγόντος ἀλκιβιάδου, ἐποιήσαντο σπονδὰς καὶ ξυμμαχίαν πρὸς αὐτοὺς τήνδε· σπονδὰς ἐποιήσαντο ἑκατὸν ἀθηναῖοι ἔτη καὶ ἀργεῖοι καὶ μαντινῆς καὶ ἠλεῖοι ὑπὲρ σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν ἑκάτεροι ἀδόλους καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ, μήτε ἀργείους καὶ ἠλείους καὶ μαντινέας καὶ τοὺς ξυμμάχους τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ· κατὰ τάδε ξυμμάχους εἶναι ἀθηναίους καὶ ἀργείους καὶ ἠλείους καὶ μαντινέας ἑκατὸν ἔτη· ἢν πολέμιοι ἴωσιν ἐς τὴν γῆν τὴν ἀθηναίων, βοηθεῖν ἀργείους καὶ ἠλείους καὶ μαντινέας ἀθήναζε καθ' ὅτι ἂν ἐπαγγέλλωσιν ἀθηναῖοι τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν ἀργείοις καὶ μαντινεῦσι καὶ ἠλείοις καὶ ἀθηναίοις· καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τῶν πόλεων τούτων· καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον ταύτην τὴν πόλιν μηδεμιᾷ τῶν πόλεων ἢν μὴ ἁπάσαις δοκῇ· καὶ βοηθεῖν δὲ καὶ ἀθηναίους ἐς ἄργος καὶ μαντίνειαν καὶ ἦλιν, ἢν πολέμιοι ἴωσιν ἐπὶ τὴν γῆν τὴν ἠλείων

ἢ τῶν μαντινέων ἢ τῶν ἀργείων· καθ' ὅ, τι ἂν ἐπαγγέλλωσιν αἱ
πόλεις αὗται τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ
τὸ δυνατόν· ἢν δὲ δηώσαντες οἴχωνται πολεμίαν εἶναι ταύτην
τὴν πόλιν ἀθηναίοις καὶ ἀργείοις καὶ μαντινεῦσι καὶ ἠλείοις·
καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τούτων τῶν πόλεων· καταλύειν
δὲ μὴ ἐξεῖναι τὸν πόλεμον ταύτην τὴν πόλιν, ἢν μὴ ἁπάσαις
δοκῇ ταῖς πόλεσιν· ὅπλα δὲ μὴ ἐᾶν ἔχοντας διιέναι ἐπὶ πολέμῳ
διὰ τῆς γῆς τῆς σφετέρας αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἂν
ἄρχωσιν ἕκαστοι· μηδὲ κατὰ θάλασσαν, ἢν μὴ ψηφισαμένων
τῶν πόλεων ἁπασῶν τὴν δίοδον εἶναι ἀθηναίων καὶ ἀργείων
καὶ μαντινέων καὶ ἠλείων· τοῖς δὲ βοηθοῦσιν ἡ πόλις ἡ πέμ-
πουσα, παρεχέτω μέχρι μὲν τριάκοντα ἡμερῶν σῖτον, ἐπὴν ἔλ-
θωσιν ἐς τὴν πόλιν τὴν ἐπαγγείλασαν βοηθεῖν, καὶ ἀπιοῦσι κατὰ
ταὐτά· ἢν δὲ πλέονα βούλωνται χρόνον τῇ στρατιᾷ χρῆσθαι
ἡ πόλις ἡ μεταπεμψαμένη διδότω σῖτον· τῷ μὲν ὁπλίτῃ καὶ
ψιλῷ καὶ τοξότῃ τρεῖς ὀβολοὺς αἰγιναίους τῆς ἡμέρας ἑκάστης·
τῷ δ' ἱππεῖ δραχμὴν αἰγιναίαν· ἡ δὲ πόλις ἡ μεταπεμψαμένη
τὴν ἡγεμονίαν ἐχέτω, ὅταν ἐν τῇ αὐτῆς ὁ πόλεμος ᾖ· ἢν δέ ποι
δόξῃ ταῖς πόλεσι κοινῇ στρατεύεσθαι, τὸ ἴσον τῆς ἡγεμονίας
μετεῖναι ἁπάσαις ταῖς πόλεσιν· ὀμόσαι δὲ τὰς σπονδὰς ἀθη-
ναίους μὲν ὑπὲρ σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων· ἀργεῖοι δὲ καὶ
μαντινῆς καὶ ἠλεῖοι καὶ οἱ ξύμμαχοι τούτων κατὰ πόλεις ὀ-
μνύντων· ὀμνύντων δὲ τὸ ἐπιχώριον ὅρκον τὸν μέγιστον ἕκα-
στοι κατὰ τῶν ἱερῶν τελείων· ὁ δὲ ὅρκος ἔστω ὅδε· ἐμμενῶ
τῇ ξυμμαχίᾳ κατὰ τὰ ξυγκείμενα δικαίως καὶ ἀβλαβῶς καὶ
ἀδόλως καὶ οὐ παραβήσομαι τέχνῃ οὐδὲ μηχανῇ οὐδεμιᾷ·
ὀμνύντων δὲ ἀθήνησι μὲν ἡ βουλὴ καὶ αἱ ἔνδημοι ἀρχαί· ἐ-
ξορκούντων δὲ οἱ πρυτάνεις· ἐν ἄργει δὲ ἡ βουλὴ καὶ οἱ ὀγδοή-
κοντα καὶ αἱ ἀρτῦναι· ἐξορκούντων δὲ οἱ ὀγδοήκοντα· ἐν δὲ

μαντινέα ἡ βουλὴ καὶ οἱ δημιουργοὶ καὶ αἱ ἄλλαι ἀρχαί· ἐξορκούντων δὲ οἱ θεωροὶ καὶ οἱ πολέμαρχοι· ἐν δὲ ἤλιδι οἱ δημιουργοὶ καὶ οἱ τὰ τέλη ἔχοντες· καὶ οἱ ἑξακόσιοι· ἐξορκούντων δὲ οἱ δημιουργοὶ καὶ οἱ θεσμοφύλακες· ἀνανεοῦσθαι δὲ τοὺς ὅρκους ἀθηναίους μὲν ἰόντας ἐς ἦλιν καὶ ἐς μαντίνειαν καὶ ἐς ἄργος, τριάκοντα ἡμέραις πρὸ ὀλυμπίων· ἀργείους δὲ καὶ ἠλείους καὶ μαντινέας, ἰόντας ἀθήναζε· δέκα ἡμέραις πρὸ παναθηναίων τῶν μεγάλων· τὰς δὲ ξυνθήκας τὰς περὶ τῶν ὅρκων καὶ τῶν σπονδῶν καὶ τῆς ξυμμαχίας, ἀναγράψαι ἐν στήλῃ λιθίνῃ· ἀθηναίους μὲν ἐν πόλει ἀργείους δὲ ἐν ἀγορᾷ ἐν τοῦ ἀπόλλωνος τῷ ἱερῷ· μαντινέας δὲ ἐν τοῦ διὸς τῷ ἱερῷ ἐν ἀγορᾷ· καταθέντων δὲ καὶ ὀλυμπίασι στήλην χαλκῆν κοινῇ ὀλυμπίοις τοῖς νυνί· ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πόλεσι ταύταις προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις, ὅ,τι δ' ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευομέναις, τοῦτο κύριον εἶναι. αἱ μὲν σπονδαὶ καὶ αἱ ξυμμαχίαι οὕτως ἐγένοντο· καὶ αἱ τῶν λακεδαιμονίων καὶ ἀθηναίων, οὐκ ἀπείρηντο τούτου ἕνεκεν οὐδ' ὑφ' ἑτέρων· κορίνθιοι δὲ ἀργείων ὄντες ξύμμαχοι, οὐκ ἐσῆλθον ἐς αὐτάς· ἀλλὰ γενομένης καὶ πρὸ τούτου ἠλείοις καὶ ἀργείοις καὶ μαντινεῦσι ξυμμαχίας τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν· ἀρκεῖν δ' ἔφασαν σφίσι τὴν πρώτην γενομένην ἐπιμαχίαν ἀλλήλοις βοηθεῖν· ξυνεπιστρατεύειν δὲ μηδενί· οἱ μὲν κορίνθιοι οὕτως ἀπέστησαν τῶν ξυμμάχων, καὶ πρὸς τοὺς λακεδαιμονίους πάλιν τὴν γνώμην εἶχον· ὀλύμπια δ' ἐγένετο τοῦ θέρους τούτου· οἷς ἀνδροσθένης ἀρκὰς παγκράτιον τὸ πρῶτον ἐνίκα· καὶ λακεδαιμόνιοι τοῦ ἱεροῦ ὑπὸ ἠλείων εἴρχθησαν ὥστε μὴ θύειν μηδ' ἀγωνίζεσθαι· οὐκ ἐκτίνοντες τὴν δίκην αὐτοῖς ἣν ἐν τῷ ὀλυμπικῷ νόμῳ ἠλεῖοι κατεδικάσαντο αὐτῶν· φάσκοντες σφᾶς ἐπὶ φύρκον τε

τεῖχος ὅπλα ἐπενεγκεῖν· καὶ ἐς λέπρεον αὐτῶν ὁπλίτας ἐν ταῖς
ὀλυμπικαῖς σπονδαῖς ἐσπέμψαι· ἡ δὲ καταδίκη δισχίλιαι
μναῖ ἦσαν κατὰ τὸν ὁπλίτην ἕκαστον δύο μναῖ ὥσπερ ὁ νό-
μος ἔχει· λακεδαιμόνιοι δὲ πρέσβεις πέμψαντες ἀντέλε-
γον, μὴ δικαίως σφῶν καταδεδικάσθαι λέγοντες μὴ
ἐπηγγέλθαι πω ἐς λακεδαίμονα τὰς σπονδὰς ὅτ᾽ ἐσέπεμψαν
τοὺς ὁπλίτας· ἠλεῖοι δὲ τὴν παρ᾽ αὐτοῖς ἐκεχειρίαν ἤδη
ἔφασαν εἶναι· πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσι
καὶ ἡσυχαζόντων σφῶν καὶ οὐ προσδεχομένων ὡς ἐν σπον-
δαῖς αὐτοὺς λαθεῖν ἀδικήσαντας· οἱ δὲ λακεδαιμόνιοι ὑ-
πελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγέλλειν ἔτι ἐς λα-
κεδαίμονα, εἰ ἀδικεῖν γε ἤδη ἐνόμιζον αὐτούς· ἀλλ᾽ οὐχ ὡς νο-
μίζοντας τοῦτο δρᾶσαι· καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενε-
γκεῖν· ἠλεῖοι δὲ τοῦ αὐτοῦ λόγου εἴχοντο· ὡς μὲν οὐκ ἀδικοῦ-
σι μὴ ἂν πεισθῆναι· εἰ δὲ βούλονται σφίσι λέπρεον ἀποδοῦ-
ναι, τό τε αὐτοῖς μέρος ἀφεῖναι τοῦ ἀργυρίου· καὶ ὃ τῷ θεῷ
γίγνεται, αὐτοὶ ὑπὲρ ἐκείνων ἐκτίσειν· ὡς δ᾽ οὐκ ἐσήκουον αὖ-
θις τάδε ἠξίουν· λέπρεον μὲν μὴ ἀποδοῦναι εἰ μὴ βούλονται·
ἀναβάντας δὲ ἐπὶ τὸ ἱερὸν τοῦ διὸς τοῦ ὀλυμπίου, ἐπειδὴ προ-
θυμοῦνται χρῆσθαι τῷ ἱερῷ, ἀπομόσαι ἐναντίον τῶν ἑλλήνων,
ἦ μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην· ὡς δὲ οὐδὲ ταῦτα ἤθε-
λον, λακεδαιμόνιοι μὲν εἴργοντο τοῦ ἱεροῦ θυσίας καὶ ἀγώνων·
καὶ οἴκοι ἔθυον· οἱ δὲ ἄλλοι ἕλληνες ἐθεώρουν πλὴν λεπρεα-
τῶν· ὅμως δὲ οἱ ἠλεῖοι δεδιότες μὴ βίᾳ θύσωσι, ξὺν ὁπλίταις
τῶν νεωτέρων φυλακὴν εἶχον· ἦλθον δὲ αὐτοῖς καὶ ἀργεῖοι καὶ
μαντινῆς χίλιοι ἑκατέρων· καὶ ἀθηναίων ἱππῆς οἳ ἐν ἁρπίνῃ ὑ-
πέμενον τὴν ἑορτήν· δέος δ᾽ ἐγένετο τῇ πανηγύρει μέγα, μὴ ξὺν
ὅπλοις ἔλθωσιν οἱ λακεδαιμόνιοι· ἄλλως τε καὶ ἐπειδὴ καὶ λί-
χας ὁ ἀρκεσιλάου λακεδαιμόνιος ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβ-

ῥαβδούχων πληγὰς ἔλαβεν ὅτι νικήσαντος τοῦ ἑαυτοῦ ζεύγους καὶ
ἀνακηρυχθέντος βοιωτῶν δημοσίου κατὰ τὴν οὐκ ἐξουσίαν τῆς
ἀγωνίσεως, προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον
βουλόμενος δηλῶσαι ὅτι ἑαυτοῦ ἦν τὸ ἅρμα· ὥστε πολλῷ
δὴ μᾶλλον ἐπεφόβηντο πάντες· καὶ ἐδόκει τι νέον ἔσεσθαι.
οἱ δὲ λακεδαιμόνιοι ἡσύχασάν τε καὶ ἡ ἑορτὴ αὐτοῖς οὕτω
διῆλθεν· ἐς δὲ κόρινθον μετὰ τὰ ὀλύμπια. ἀργεῖοί τε καὶ
οἱ ξύμμαχοι ἀφίκοντο, δεησόμενοι αὐτῶν παρὰ σφᾶς ἐλθεῖν·
καὶ λακεδαιμονίων πρέσβεις ἔτυχον παρόντες· καὶ πολλῶν
λόγων γενομένων, τέλος οὐδὲν ἐπράχθη· ἀλλὰ σεισμοῦ γενο-
μένου διελύθησαν ἕκαστοι ἐπ' οἴκου· καὶ τὸ θέρος ἐτελεύτα.
τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἡρακλεώταις τοῖς ἐν τραχῖνι,
μάχη ἐγένετο πρὸς αἰνιᾶνας καὶ δόλοπας καὶ μηλιεῖς· καὶ
θεσσαλῶν τινάς· προσοικοῦντα γὰρ τὰ ἔθνη ταῦτα τῇ πόλει, πο-
λέμια ἦν· οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ ἢ τῇ τούτων τὸ χωρίον ἐτειχίσθη·
καὶ εὐθύς τε καθισταμένῃ τῇ πόλει· ἠναντιοῦντο ἐς ὅσον ἐδύ-
ναντο φθείροντες· καὶ τότε τῇ μάχῃ ἐνίκησαν τοὺς ἡρακλεώτας·
καὶ ξενάρης ὁ κνίδιος λακεδαιμόνιος ἄρχων αὐτῶν ἀπέθα-
νε· διεφθάρησαν δὲ καὶ ἄλλοι τῶν ἡρακλεωτῶν· καὶ ὁ χειμὼν
ἐτελεύτα· καὶ δωδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα· τοῦ
δ' ἐπιγιγνομένου θέρους εὐθὺς ἀρχομένου τὴν ἡράκλειαν, ὡς
μετὰ τὴν μάχην κακῶς ἐφθείρετο βοιωτοὶ παρέλαβον· καὶ
ἡγησιππίδαν τὸν λακεδαιμόνιον ὡς οὐ καλῶς ἄρχοντα ἐξέ-
πεμψαν· δείσαντες δὲ παρέλαβον τὸ χωρίον· μὴ λακεδαι-
μονίων τὰ κατὰ πελοπόννησον θορυβουμένων, ἀθηναῖοι λά-
βωσι· λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς· καὶ τοῦ αὐτοῦ
θέρους ἀλκιβιάδης ὁ κλεινίου στρατηγὸς ὢν ἀθηναίων ἀρ-
γείων καὶ τῶν ξυμμάχων ξυμπρασσόντων, ἐλθὼν ἐς πελοπόν-
νησον μετ' ὀλίγων ὁπλιτῶν ἀθηναίων καὶ τοξοτῶν καὶ τῶν αὐτόθεν

ξυμμάχων, παραλαβὼν τά τε ἄλλα καθίστη ἐς τὴν ξυμμαχίαν
διαπορευόμενος Πελοπόννησον τῇ στρατιᾷ· καὶ Πατρέας τε τείχη
καθεῖναι ἔπεισεν ἐς θάλασσαν· καὶ αὐτὸς ἕτερον διενοεῖτο
τειχίζειν ἐπὶ τῷ ῥίῳ τῷ ἀχαϊκῷ· κορίνθιοι δὲ καὶ σικυώνιοι
καὶ οἷς ἦν ἐν βλάβῃ τειχισθέν, βοηθήσαντες διεκώλυσαν· τοῦ
δ' αὐτοῦ θέρους ἐπιδαυρίοις καὶ ἀργείοις πόλεμος ἐγένετο· προ
φάσει μὲν ἐπὶ τοῦ θύματος τοῦ ἀπόλλωνος τοῦ πυθαέως· ὃ
δέον ἀπαγαγεῖν, οὐκ ἀπέπεμπον ὑπὲρ παραποταμίων ἐπιδαύ
ριοι· κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν ἀργεῖοι· ἐδόκει δὲ καὶ ἄ
νευ τῆς αἰτίας τὴν ἐπίδαυρον τῷ τε ἀλκιβιάδῃ καὶ τοῖς ἀργεί
οις προσλαβεῖν ἢν δύνωνται· τῆς τε κορίνθου ἕνεκα ἡσυχίας, καὶ
ἐκ τῆς αἰγίνης βραχυτέραν ἔσεσθαι τὴν βοήθειαν, ἢ σκύλλαι
ον περιπλεῖν τοῖς ἀθηναίοις· παρεσκευάζοντο οὖν οἱ ἀργεῖοι ὡς αὐ
τοὶ διὰ τοῦ θύματος ἐς τὴν ἐπίδαυρον τὴν ἔσπραξιν ἐσβαλοῦν-
τες· ἐξεστράτευσαν δὲ καὶ οἱ λακεδαιμόνιοι κατὰ τοὺς αὐ
τοὺς χρόνους πανδημεὶ ἐς λεῦκτρα τῆς ἑαυτῶν μεθορίας πρὸς
τὸ λύκαιον, ἄγιδος τοῦ ἀρχιδάμου βασιλέως ἡγουμένου·
ᾔδει δὲ οὐδεὶς ὅποι στρατεύουσιν· οὐδὲ αἱ πόλεις ἐξ ὧν ἐπέμ
φθησαν· ὡς δ' αὐτοῖς τὰ διαβατήρια θυομένοις οὐ πρου
χώρει, αὐτοί τε ἀπῆλθον ἐπ' οἴκου· καὶ τοῖς ξυμμάχοις περιήγ
γειλαν μετὰ τὸν μέλλοντα, καρνεῖος δ' ἦν μήν, ἱερομηνία
δωριεῦσι παρασκευάζεσθαι ὡς στρατευσομένοις· ἀργεῖοι δ'
ἀναχωρησάντων αὐτῶν τοῦ πρὸ τοῦ καρνείου μηνὸς, ἐξελ
θόντες τετράδι φθίνοντος καὶ ἄγοντες τὴν ἡμέραν ταύτην πάντα
τὸν χρόνον ἐσέβαλον ἐς τὴν ἐπιδαυρίαν καὶ ἐδῄουν· ἐπιδαύ
ριοι δὲ τοὺς ξυμμάχους ἐπεκαλοῦντο· ὧν τινὲς οἱ μὲν, τὸν μῆνα
προυφασίσαντο· οἱ δὲ, καὶ ἐς μεθορίαν τῆς ἐπιδαυρίας ἐλθόν
τες ἡσύχαζον· καὶ καθ' ὃν χρόνον ἐν τῇ ἐπιδαύρῳ οἱ ἀργεῖοι ἦ
σαν, ἐς μαντίνειαν πρεσβεῖαι ἀπὸ τῶν πόλεων ξυνῆλθον ἀθη-

ναίων παρακαλεσάντων· καὶ γιγνομένων λόγων, ὁ Εὐφαμίδας ὁ
κορίνθιος, οὐκ ἔφη τοῖς ἔργοις τοὺς λόγους ὁμολογεῖν· σφεῖς
μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι· τοὺς δὲ ἐπιδαυρίους καὶ
τοὺς ξυμμάχους καὶ τοὺς ἀργείους, μεθ' ὅπλων ἀντιτετάχθαι.
διαλῦσαι οὖν πρῶτον χρῆναι ἀφ' ἑκατέρων ἐλθόντας τὰ στρα-
τόπεδα· καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης· καὶ πεισθέν-
τες ᾤχοντο· καὶ τοὺς ἀργείους ἀπήγαγον ἐκ τῆς ἐπιδαυρίας.
ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες, οὐδ' ὣς ἐδυνήθησαν ξυμ-
βῆναι· ἀλλ' οἱ ἀργεῖοι πάλιν ἐς τὴν ἐπιδαυρίαν ἐσέβαλον καὶ
ἐδῄουν· ἐξεστράτευσαν δὲ καὶ οἱ λακεδαιμόνιοι ἐς καρύας·
καὶ ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο, ἐπανεχώ-
ρησαν· ἀργεῖοι δὲ τεμόντες τῆς ἐπιδαυρίας ὡς τὸ τρίτον μέρος
ἀπῆλθον ἐπ' οἴκου· καὶ ἀθηναίων αὐτοῖς ἐβοήθησαν χίλιοι
ὁπλῖται· καὶ ἀλκιβιάδης στρατηγός· πυθόμενος δὲ τοὺς
λακεδαιμονίους ἐξεστρατεῦσθαι, καὶ ὡς οὐδὲν ἔτι αὐτῶν ἔ-
δει, ἀπῆλθον· καὶ τὸ θέρος οὕτω διῆλθε· τοῦ δὲ ἐπιγιγνο-
μένου χειμῶνος λακεδαιμόνιοι λαθόντες ἀθηναίους, φρου-
ρούς τε τριακοσίους καὶ ἀγησιππίδαν ἄρχοντα κατὰ θάλασ-
σαν ἐς ἐπίδαυρον ἐσέπεμψαν· ἀργεῖοι δὲ ἐλθόντες παρὰ ἀθη-
ναίους ἐπεκάλουν, ὅτι γεγραμμένον ἐν ταῖς σπονδαῖς διὰ
τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διιέναι, ἐάσειαν
κατὰ θάλασσαν παραπλεῦσαι· καὶ εἰ μὴ κἀκεῖνοι ἐς πύλον
κομιοῦσιν ἐπὶ λακεδαιμονίους τοὺς μεσσηνίους καὶ εἵλωτας,
ἀδικήσεσθαι αὐτοί· ἀθηναῖοι δὲ ἀλκιβιάδου πείσαντος, τῇ μὲν
λακωνικῇ στήλῃ ὑπέγραψαν, ὅτι οὐκ ἐνέμειναν οἱ λακεδαι-
μόνιοι τοῖς ὅρκοις· ἐς δὲ πύλον ἐκόμισαν τοὺς ἐκ κρανίων
εἵλωτας ληΐζεσθαι· τὰ δ' ἄλλα ἡσύχαζον· τὸν δὲ χειμῶνα τοῦτον
πολεμούντων ἀργείων καὶ ἐπιδαυρίων, μάχη μὲν οὐδεμία
ἐγένετο ἐκ παρασκευῆς· ἐνέδραι δὲ καὶ καταδρομαί· ἐν αἷς

ὡς τύχοι ἑκατέρων τινὲς διεφθείροντο. καὶ τελευτῶν-
τος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη, κλίμακας ἔχοντες οἱ Ἀργεῖοι
ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς ἐρήμου οὔσης διὰ τὸν πόλεμον
βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι ἀπῆλθον. καὶ ὁ χειμὼν
ἐτελεύτα· καὶ τρίτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύ-
τα. Τοῦ δ' ἐπιγιγνομένου θέρους μεσοῦντος, Λακεδαιμό-
νιοι ὡς αὐτοῖς οἵ τε Ἐπιδαύριοι ξύμμαχοι ὄντες ἐταλαιπώ-
ρουν, καὶ τἆλλα τῆς Πελοποννήσου, τὰ μὲν ἀφειστήκει, τὰ δ' οὐ
καλῶς εἶχε, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν τάχει, ἐπὶ
πλέον χωρήσεσθαι αὐτά, ἐστράτευον αὐτοὶ καὶ οἱ εἵλωτες
πανδημεὶ ἐπ' Ἄργος. ἡγεῖτο δὲ Ἆγις ὁ Ἀρχιδάμου βασιλεύς.
ξυνεστράτευον δ' αὐτοῖς Τεγεᾶταί τε καὶ ὅσοι ἄλλοι Ἀρκάδων
Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. οἱ δ' ἐκ τῆς ἄλλης Πελοπον-
νήσου ξύμμαχοι καὶ οἱ ἔξωθεν, ἐς Φλιοῦντα ξυνελέγοντο.
Βοιωτοὶ μὲν πεντακισχίλιοι ὁπλῖται. καὶ τοσοῦτοι ψιλοί. καὶ
ἱππῆς πεντακόσιοι. καὶ ἅμιπποι ἴσοι. Κορίνθιοι δὲ δισχί-
λιοι ὁπλῖται. οἱ δ' ἄλλοι ὡς ἕκαστοι. Φλιάσιοι δὲ πανστρατιᾷ,
ὅτι ἐν τῇ ἐκείνων ἦν τὸ στράτευμα. Ἀργεῖοι δὲ προαισθόμενοι
τό τε πρῶτον τὴν παρασκευὴν τῶν Λακεδαιμονίων, καὶ ἐπειδὴ
ἐς τὸν Φλιοῦντα βουλόμενοι τοῖς ἄλλοις προσμῖξαι ἐχώρουν, τότε
δὴ ἐξεστράτευσαν καὶ αὐτοί. ἐβοήθησαν δὲ αὐτοῖς καὶ Μαν-
τινῆς ἔχοντες τοὺς σφετέρους ξυμμάχους. καὶ Ἠλείων τρις-
χίλιοι ὁπλῖται. καὶ προϊόντες ἀπαντῶσι τοῖς Λακεδαιμο-
νίοις τῆς Ἀρκαδίας. καὶ καταλαμβάνουσιν ἑκάτεροι λό-
φον. καὶ οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμο-
νίοις παρεσκευάζοντο μάχεσθαι. ὁ δὲ Ἆγις τῆς νυκτὸς ἀ-
ναστήσας τὸν στρατὸν καὶ λαθὼν ἐπορεύετο ἐς Φλιοῦντα παρὰ
τοὺς ἄλλους ξυμμάχους. καὶ οἱ Ἀργεῖοι αἰσθόμενοι ἅμα ἕῳ ἐ-
χώρουν, πρῶτον μὲν ἐς Ἄργος. ἔπειτα δὲ ᾗ προσεδέχοντο

τοὺς λακεδαιμονίους μετὰ τῶν ξυμμάχων καταβήσεσθαι τὴν
νεμέαν ὁδόν· ἆγις δὲ ταύτην μὲν ἣν προσεδέχοντο οὐκ
ἐτράπετο· παραγγείλας δὲ τοῖς λακεδαιμονίοις καὶ ἀρ-
κάσι καὶ ἐπιδαυρίοις, ἄλλην ἐχώρησε χαλεπήν· καὶ κατέ-
βη ἐς τὸ ἀργείων πεδίον, κορίνθιοι καὶ πελληνῆς καὶ φλι-
άσιοι, ὄρθριον ἑτέραν ἐπορεύοντο· τοῖς βοιωτοῖς δὲ καὶ με-
γαρεῦσι καὶ σικυωνίοις εἴρητο· τὴν ἐπὶ νεμέας ὁδὸν κατα-
βαίνειν, ᾗ οἱ ἀργεῖοι ἐκάθηντο· ὅπως οἱ ἀργεῖοι ἐπὶ σφᾶς ἰ-
όντες ἐς τὸ πεδίον βοηθοῖεν, ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο.
καὶ ὁ μὲν, οὕτω διατάξας καὶ ἐσβαλὼν ἐς τὸ πεδίον, ἐδῄου σά-
μινθόν τε καὶ ἄλλα· οἱ δὲ ἀργεῖοι γνόντες ἐβοήθουν ἡμέρας
ἤδη ἐκ τῆς νεμέας· καὶ περιτυχόντες τῷ φλιασίων καὶ κο-
ρινθίων στρατοπέδῳ· τῶν μὲν φλιασίων ὀλίγους ἀπέκτει-
ναν· ὑπὸ δὲ τῶν κορινθίων αὐτοὶ οὐ πολλῷ πλείους διε-
φθάρησαν· καὶ οἱ βοιωτοὶ καὶ μεγαρῆς καὶ οἱ σικυώνιοι ἐχώ-
ρουν ὥσπερ εἴρητο αὐτοῖς ἐπὶ τῆς νεμέας· καὶ τοὺς ἀργείους οὐκ
ἔτι κατέλαβον· ἀλλὰ καταβάντες ὡς ἑώρων τὰ ἑαυτῶν δῃ-
ούμενα, ἐς μάχην παρετάσσοντο· ἀντιπαρεσκευάζοντο δὲ καὶ
οἱ λακεδαιμόνιοι· ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ ἀργεῖοι·
ἐκ μὲν γὰρ τοῦ πεδίου οἱ λακεδαιμόνιοι εἶργον τῆς πόλεως,
καὶ οἱ μετ' αὐτῶν· καθύπερθε δὲ κορίνθιοι καὶ φλιάσιοι καὶ
πελληνῆς· τὸ δὲ πρὸς νεμέας βοιωτοὶ καὶ σικυώνιοι καὶ με-
γαρῆς· ἵπποι δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω οἱ ἀθηναῖοι μόνοι
τῶν ξυμμάχων ἧκον· τὸ μὲν οὖν πλῆθος τῶν ἀργείων καὶ τῶν
ξυμμάχων οὐχ οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον· ἀλλ' ἐν καλῷ
ἐδόκει ἡ μάχη ἔσεσθαι· καὶ τοὺς λακεδαιμονίους ἀπειλη-
φέναι ἐν τῇ αὐτῶν τε καὶ πρὸς τῇ πόλει· τῶν δὲ ἀργείων δύο
ἄνδρες θράσυλλός τε τῶν πέντε στρατηγῶν εἷς ὢν καὶ ἀλ-
κίφρων πρόξενος λακεδαιμονίων, ἤδη τῶν στρατοπέδων

ὅσον οὐ ξυνιόντων, προσελθόντε ἄγιδι, διελεγέσθην μὴ ποιεῖν μάχην· ἑτοίμους γὰρ εἶναι ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας εἴ τι ἐπικαλοῦσιν ἀργείοις λακεδαιμόνιοι· καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν σπονδὰς ποιησαμένους· καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν ἀργείων ἀφ' ἑαυτῶν καὶ οὐ τοῦ πλήθους κελεύσαντος εἶπον· καὶ ὁ ἄγις δεξάμενος τοὺς λόγους αὐτὸς καὶ οὐ μετὰ τῶν πλεόνων βουλευσάμενος, ἀλλ' ἢ καὶ αὐτὸς ἑνὶ κοινώσας τῶν ἐν τέλει ξυστρατευομένων, σπένδεται τέσσαρας μῆνας, ἐν οἷς ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ῥηθέντα· καὶ ἀπήγαγε τὸν στρατὸν εὐθὺς οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων· οἱ δὲ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι εἵποντο μὲν ὡς ἡγεῖτο διὰ τὸν νόμον· ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν ἆγιν· νομίζοντες ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν· καὶ πανταχόθεν αὐτῶν ἀποκεκλῃμένων καὶ ὑπὸ ἱππέων καὶ πεζῶν οὐδὲν δράσαντες ἄξιον τῆς παρασκευῆς ἀπιέναι· στρατόπεδον γὰρ τοῦτο δὴ κάλλιστον ἑλληνικὸν τῶν μέχρι τοῦδε ξυνῆλθεν. ὤφθη δὲ μάλιστα ἕως ἔτι ἦν ἁθρόον ἐν νεμέᾳ, ἐν ᾧ λακεδαιμόνιοί τε ἦσαν πανστρατιᾷ καὶ ἀρκάδες καὶ βοιωτοὶ καὶ κορίνθιοι καὶ σικυώνιοι· καὶ πελληνῆς· καὶ φλειάσιοι καὶ μεγαρῆς, καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων ἀξιόμαχοι δοκοῦντες εἶναι, οὐ τῇ ἀργείων μόνον ξυμμαχίᾳ· ἀλλὰ κἂν ἄλλῃ ἔτι προσγενομένῃ· τὸ μὲν οὖν στρατόπεδον οὕτως ἐν αἰτίᾳ ἔχοντες τὸν ἆγιν, ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι· ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλέονι αἰτίᾳ εἶχον τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν λακεδαιμονίους διαπεφευγέναι· πρός τε γὰρ τῇ σφετέρᾳ πόλει, καὶ μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων, τὸν ἀγῶνα ἂν γίγνεσθαι· τόν τε θράσυλον ἀναχωρήσαντες ἐν τῷ χαράδρῳ οὗπερ τὰς ἀπὸ στρατείας δίκας πρὶν ἐσιέναι κρίνουσιν, ἤρξαντο λεύειν· ὁ δὲ, καταφυγὼν ἐπὶ

τὸν βωμὸν περιγίγνεται· τὰ μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.
μετὰ δὲ τοῦτο ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν καὶ τρι-
ακοσίων ἱππέων, ὧν ἐστρατήγουν λάχης καὶ νικόστρατος, οἱ
ἀργεῖοι ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς λακε-
δαιμονίους, ἀπιέναι ἐκέλευον αὐτούς· καὶ πρὸς τὸν δῆμον οὐ
προσῆγον βουλομένους χρηματίσαι, πρὶν δὴ μαντινῆς καὶ ἠ-
λεῖοι, ἔτι γὰρ παρῆσαν, κατηνάγκασαν δεόμενοι· καὶ ἔλεγον οἱ
ἀθηναῖοι ἀλκιβιάδου πρεσβευτοῦ παρόντος ἔν τε τοῖς ἀργείοις
καὶ ξυμμάχοις ταῦτα· ὅτι οὐκ ὀρθῶς αἱ σπονδαὶ ἄνευ τῶν ἄλλων
ξυμμάχων καὶ γένοιντο· καὶ νῦν ἐν καιρῷ γὰρ παρεῖναι σφεῖς
ἅπτεσθαι χρῆναι τοῦ πολέμου· καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς
ξυμμάχους, εὐθὺς ἐχώρουν ἐπὶ ὀρχομενὸν τὸν ἀρκαδικὸν πάν-
τες πλὴν ἀργείων· οὗτοι δὲ ὅμως καὶ πεισθέντες ὑπελείποντο
πρῶτον· ἔπειτα δ᾽ ὕστερον καὶ οὗτοι ἦλθον· καὶ προσκαθεζό-
μενοι τὸν ὀρχομενὸν πάντες ἐπολιόρκουν· καὶ προσβολὰς
ἐποιοῦντο βουλόμενοι ἄλλως τε προσγενέσθαι σφίσι· καὶ ὅμη-
ροι ἐκ τῆς ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ λακεδαιμονίων κείμενοι·
οἱ δὲ ὀρχομένιοι δείσαντες τήν τε τοῦ τείχους ἀσθένειαν καὶ τοῦ
στρατοῦ τὸ πλῆθος, καὶ ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, μὴ προα-
πόλωνται, ξυνέβησαν, ὥστε ξύμμαχοί τε αὐτῶν εἶναι· καὶ
ὁμήρους σφῶν τε αὐτῶν δοῦναι μαντινεῦσι· καὶ οὓς κατέ-
θεντο λακεδαιμόνιοι παραδοῦναι· μετὰ τοῦτο ἔχοντες ἤδη τὸν
ὀρχομενόν, ἐβουλεύοντο οἱ ξύμμαχοι ἐφ᾽ ὅ τι χρὴ πρῶτον ἰέναι
τῶν λοιπῶν· καὶ ἠλεῖοι μὲν ἐπὶ λέπρεον ἐκέλευον· μαντι-
νῆς δὲ ἐπὶ τεγέαν· καὶ προσέθεντο οἱ ἀργεῖοι καὶ ἀθηναῖοι
τοῖς μαντινεῦσι· καὶ οἱ μὲν ἠλεῖοι ὀργισθέντες ὅτι οὐκ ἐπὶ
λέπρεον ἐψηφίσαντο, ἀνεχώρησαν ἐπ᾽ οἴκου· οἱ δὲ ἄλλοι ξύμ-
μαχοι παρεσκευάζοντο ὡς ἐπὶ τεγέαν ἰόντες· καί τινες
αὐτοῖς καὶ αὐτῶν τῶν ἐν τῇ πόλει ἐνεδίδο
σαν

τὰ πράγματα· λακεδαιμόνιοι δὲ ἐπειδὴ ἀνεχώρησαν ἐξ ἄργους τὰς τετραμήνους σπονδὰς ποιησάμενοι, ἆγιν ἐν μεγάλῃ αἰτίᾳ εἶχον οὐ χειρωσάμενον σφίσι τὸ ἄργος· παρασχὸν καλῶς ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἀθρόους γὰρ τοσούτους ξυμμάχους καὶ τοιούτους, οὐ ῥᾴδιον εἶναι λαβεῖν· ἐπεὶ δὲ δὴ καὶ περὶ ὀρχομενοῦ ἠγγέλλετο ἑαλωκέναι, πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον· καὶ ἐβούλευον εὐθὺς ὑπὸ ὀργῆς παρὰ τὸν τρόπον τὸν ἑαυτῶν, ὡς χρὴ τήν τε οἰκίαν αὐτοῦ κατασκάψαι· καὶ δέκα μυριάσι δραχμῶν ζημιῶσαι· ὁ δὲ, παρῃτεῖτο μηδὲν τούτων δρᾶν· ἔργῳ γὰρ ἀγαθῷ ῥύσεσθαι τὰς αἰτίας στρατευσάμενος, ἢ τότε ποιεῖν αὐτοὺς ὅ,τι βούλονται· οἱ δὲ, τὴν μὲν ζημίαν καὶ τὴν κατασκαφὴν ἐπέσχον· νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο αὐτοῖς· δέκα γὰρ ἄνδρας σπαρτιατῶν προσείλοντο αὐτῷ ξυμβούλους· ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως· ἐν τούτῳ δ' ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν ἐπιτηδείων ἐκ τεγέας, ὅτι εἰ μὴ παρέσονται ἐν τάχει, ἀποστήσεται αὐτῶν τεγέα πρὸς ἀργείους καὶ ξυμμάχους καὶ ὅσον οὐ καθέστηκεν· ἐνταῦθα δὴ βοήθεια τῶν λακεδαιμονίων γίγνεται αὐτῶν τε καὶ τῶν εἱλώτων πανδημεὶ ὀξεῖα καὶ οἵα οὔπω πρότερον· ἐχώρουν δὲ ἐς ὀρέσθειον τῆς μαιναλίας· καὶ τοῖς μὲν ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις, προεῖπον ἀθροισθεῖσιν ἰέναι κατὰ πόδας αὐτῶν ἐς τεγέαν· αὐτοὶ δὲ μέχρι μὲν ὀρεσθείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἕκτον μέρος σφῶν ἀποπέμψαντες ἐπ' οἴκου, ἐν ᾧ τὸ πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥστε τὰ οἴκοι φρουρεῖν, τῷ λοιπῷ στρατεύματι ἀφικνοῦνται ἐς τεγέαν· καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ' ἀρκάδων παρῆσαν· πέμπουσι δὲ καὶ ἐς τὴν κόρινθον καὶ βοιωτοὺς καὶ φωκέας καὶ λοκρούς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς μαντινικήν· ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο· καὶ οὐ ῥᾴδιον ἦν μὴ ἀθρόοις καὶ ἀλλήλους

ἀλλήλοις περιμένουσι διελθεῖν τὴν πολεμίαν· ξυνέκληε γὰρ διὰ
μέσου· ὅμως δὲ ἠπείγοντο· λακεδαιμόνιοι δὲ λαβόντες τοὺς
παρόντας ξυμμάχους ἀρκάδων ἐσέβαλον ἐς τὴν μαντινικήν·
καὶ στρατοπεδευσάμενοι πρὸς τῷ ἡρακλείῳ, ἐδῄουν τὴν γῆν·
οἱ δ' ἀργεῖοι καὶ οἱ ξύμμαχοι ὡς εἶδον αὐτοὺς καταλαβόντες χω-
ρίον ἐρυμνὸν καὶ δυσπρόσοδον παρετάξαντο ὡς ἐς μάχην·
καὶ οἱ λακεδαιμόνιοι εὐθὺς αὐτοῖς ἐπῇσαν· καὶ μέχρι μὲν λί-
θου καὶ ἀκοντίου βολῆς ἐχώρησαν· ἔπειτα τῶν πρεσβυτέρων τις
ἄγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον καρτερὸν ἰόντας σφᾶς,
ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι· δηλῶν τῆς ἐξ ἄργους ἐπαι-
τίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν, ἀνά-
ληψιν βουλομένην εἶναι· ὁ δέ, εἴτε καὶ διὰ τὸ ἐπιβόημα, εἴτε
καὶ αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δόξαν, ἐξαίφνης πάλιν τὸ στρά-
τευμα κατὰ τάχος πρὶν ξυμμῖξαι ἀπῆγε· καὶ ἀφικόμενος
πρὸς τὴν τεγεᾶτιν, τὸ ὕδωρ ἐξέτρεπεν ἐς τὴν μαντινικήν· περὶ
οὗπερ ὡς τὰ πολλὰ βλάπτοντος ὁποτέρωσε ἂν ἐσπίπτοι, μαντινῆς
καὶ τεγεᾶται πολεμοῦσιν· ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου βο-
ηθοῦντας ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπήν, ἐπειδὰν πύθωνται,
καταβιβάσαι τοὺς ἀργείους καὶ τοὺς ξυμμάχους· καὶ ἐν τῷ ὁ-
μαλῷ τὴν μάχην ποιεῖσθαι· καὶ ὁ μὲν τὴν ἡμέραν ταύτην μεί-
νας αὐτοῦ περὶ τὸ ὕδωρ ἐξέτρεπεν· οἱ δ' ἀργεῖοι καὶ οἱ ξύμμα-
χοι τὸ μὲν πρῶτον τῇ ἐξ ὀλίγου αὐτῶν ἀναχωρήσει, οὐκ εἶχον ὅ,
τι ἂν εἰκάσωσιν· εἶτ' ἐπειδὴ ἀναχωροῦντές τε ἀπέκρυ-
ψαν· καὶ σφεῖς ἡσύχαζον καὶ οὐκ ἐπηκολούθουν, ἐνταῦθα
τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν αἰτίᾳ εἶχον τό τε πρότερον
καλῶς ληφθέντας πρὸς ἄργει λακεδαιμονίους ἀφεθῆναι
καὶ νῦν ὅτι ἀποδιδράσκοντας οὐδεὶς ἐπιδιώκει· ἀλλὰ καθ'
ἡσυχίαν οἱ μὲν σώζονται· σφεῖς δὲ προδίδονται· οἱ δὲ στρα-
τηγοὶ ἐθορυβήθησαν μὲν τὸ παραυτίκα, ὕστερον δὲ ἀπαγαγόντες

αὐτοῖς ἀπὸ τοῦ λόφου. καὶ προελθόντες ἐς τὸ ὁμαλὸν ἐστρατο-
πεδεύσαντο ὡς ἰόντες ἐπὶ τοὺς πολεμίους. τῇ δὲ ὑστεραίᾳ οἵ τε
Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο ὡς ἔμελλον μαχεῖσθαι, ἢν
περιτύχωσιν. οἵ τε Λακεδαιμόνιοι ἀπὸ τοῦ ὕδατος ἐς τὸ Ἡρά-
κλειον πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον ἰόντες ὁρῶσι δι' ὀλίγου τοὺς
ἐναντίους, ἐν τάξει τε ἤδη πάντας καὶ ἀπὸ τοῦ λόφου προελη-
λυθότας. μάλιστα δὲ δὴ Λακεδαιμόνιοι ἐς ὃ ἐμέμνηντο ἐν
τούτῳ τῷ καιρῷ ἐξεπλάγησαν. διὰ βραχείας γὰρ μελλήσεως
ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο. καὶ εὐθὺς ὑπὸ σπουδῆς καθίσταν-
το ἐς κόσμον τὸν ἑαυτῶν, Ἄγιδος τοῦ βασιλέως ἕκαστα ἐξηγου-
μένου κατὰ τὸν νόμον. βασιλέως γὰρ ἄρχοντος ἀπ' ἐκείνου πάντα
ἄρχεται. καὶ τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον. οἱ δὲ τοῖς
λοχαγοῖς. ἐκεῖνοι δὲ τοῖς πεντηκοντῆρσιν. αὖθις δ' οὗτοι τοῖς ἐνω-
μοτάρχαις. καὶ οὗτοι τῇ ἐνωμοτίᾳ. καὶ αἱ παραγγέλσεις ἤν τι
βούλωνται, κατὰ τὰ αὐτὰ χωροῦσι καὶ ταχεῖαι ἐπέρχονται. σχε-
δὸν γάρ τι πᾶν πλὴν ὀλίγου τὸ στρατόπεδον τῶν Λακεδαιμονίων
ἄρχοντες ἀρχόντων εἰσί. καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου πολ-
λοῖς προσήκει. τότε δὲ κέρας μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς
καθίσταντο, αἰεὶ τὴν τάξιν ταύτην μόνοι Λακεδαιμονίων ἐπὶ
σφῶν αὐτῶν ἔχοντες. παρὰ δ' αὐτοὺς οἱ ἀπὸ Θρᾴκης Βρασίδειοι
στρατιῶται, καὶ νεοδαμώδεις μετ' αὐτῶν. ἔπειτ' ἤδη Λακε-
δαιμόνιοι αὐτοὶ ἑξῆς καθίστασαν τοὺς λόχους, καὶ παρ' αὐτοὺς
Ἀρκάδων Ἡραιῆς. μετὰ δὲ τούτους Μαινάλιοι. καὶ ἐπὶ τῷ
δεξιῷ κέρᾳ Τεγεᾶται καὶ Λακεδαιμονίων ὀλίγοι τὸ ἔσχατον
ἔχοντες. καὶ οἱ ἱππῆς αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. Λακε-
δαιμόνιοι μὲν οὕτως ἐτάξαντο. οἱ δ' ἐναντίοι αὐτοῖς δεξιὸν μὲν
κέρας Μαντινῆς εἶχον. ὅτι ἐν τῇ ἐκείνων τὸ ἔργον ἐγίγνετο. παρ'
αὐτοὺς οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν. ἔπειτα Ἀργείων οἱ χίλιοι
λογάδες, οἷς ἡ πόλις ἐκ πολλοῦ ἄσκησιν τῶν ἐς τὸν πόλεμον

παρεῖχε δημοσίᾳ· καὶ ἐχόμενοι αὐτῶν οἱ ἄλλοι ἀργεῖοι· καὶ μετ'
αὐτοὺς οἱ ξύμμαχοι αὐτῶν κλεωναῖοι καὶ ὀρνεᾶται· ἔπειτα ἀ-
θηναῖοι ἔσχατοι τὸ εὐώνυμον κέρας ἔχοντες· καὶ ἱππῆς μετ'
αὐτῶν οἱ οἰκεῖοι· τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων
ἦν· τὸ δὲ στρατόπεδον τῶν λακεδαιμονίων μεῖζον ἐφάνη· ἀ-
ριθμὸν δὲ γράψαι ἢ καθ' ἑκάστους ἑκατέρων, ἢ ξύμπαντας,
οὐκ ἂν ἐδυνάμην ἀκριβῶς· τὸ μὲν γὰρ λακεδαιμονίων
πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο· τῶν δ' αὖ
διὰ τὸ ἀνθρώπειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο·
ἐκ μέντοι τοιοῦδε λογισμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ λακεδαιμο-
νίων τότε παραγενόμενον πλῆθος· λόχοι μὲν γὰρ ἐμάχοντο
ἑπτὰ ἄνευ σκιριτῶν ὄντων ἑξακοσίων· ἐν δὲ ἑκάστῳ λόχῳ
πεντηκοστύες ἦσαν τέσσαρες· καὶ ἐν τῇ πεντηκοστύι ἐνωμοτί-
αι τέσσαρες· τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ
τέσσαρες· ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως·
ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο· ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ
ὀκτώ· παρὰ δὲ ἅπαν πλὴν σκιριτῶν τετρακόσιοι καὶ δυοῖν
δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν· ἐπεὶ δὲ ξυ-
νιέναι ἔμελλον ἤδη, ἐνταῦθα καὶ παραινέσεις καθ' ἑκάστους
ὑπὸ τῶν οἰκείων στρατηγῶν τοιαίδε ἐγίγνοντο· μαντινεῦσι
μὲν, ὅτι ὑπέρ τε πατρίδος ἡ μάχη ἔσται· καὶ ὑπὲρ ἀρχῆς ἅμα
καὶ δουλείας· τὴν μὲν, μὴ πειρασαμένοις ἀφαιρεθῆναι· τῆς
δὲ μὴ αὖθις πειρᾶσθαι· ἀργείοις δὲ ὑπὲρ τῆς τε παλαιᾶς ἡ-
γεμονίας καὶ τῆς ἐν πελοποννήσῳ ποτὲ ἰσομοιρίας, μὴ διὰ
παντὸς στερισκομένους ἀνέχεσθαι· καὶ ἄνδρας ἅμα ἐχθροὺς
καὶ ἀστυγείτονας ὑπὲρ πολλῶν ἀδικημάτων ἀμύνασθαι· τοῖς
δὲ ἀθηναίοις καλὸν εἶναι μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων
ἀγωνιζομένους μηδενὸς λείπεσθαι· καὶ ὅτι ἐν πελοποννήσῳ
ἀθηναῖοι λακεδαιμονίους νικήσαντες, τήν τε ἀρχὴν βεβαιο-

ἀρχὴν καὶ μείζω ἕξουσι· καὶ οὐ μή ποτέ τις ἄλλος αὐτοῖς ἐς τὴν γῆν
ἔλθοι· τοῖς μὲν ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρῃνέθη· λα
κεδαιμόνιοι δὲ καθ' ἑκάστους· καὶ μετὰ τῶν πολεμικῶν νόμ
ων σφίσιν αὐτοῖς ὧν ἠπίσταντο, τὴν παρακέλευσιν τῆς μνήμης
ἀγαθοῖς οὖσιν ἐποιοῦντο· εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην
πλείω σώζουσαν, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραί
νεσιν· καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν· ἀργεῖοι μὲν καὶ οἱ ξύμ
μαχοι ἐντόνως καὶ ὀργῇ χωροῦντες· λακεδαιμόνιοι δὲ βρα
δέως καὶ ὑπὸ αὐλητῶν πολλῶν νόμου ἐγκαθεστώτων· οὐ τοῦ
θείου χάριν, ἀλλ' ἵνα ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες προσέλθοι·
καὶ μὴ διασπασθείη αὐτοῖς ἡ τάξις, ὅπερ φιλεῖ τὰ μεγάλα
στρατόπεδα ἐν ταῖς προσόδοις ποιεῖν· ξυνιόντων δ' ἔτι ἆγις
ὁ βασιλεύς, τοιόνδε ἐβουλεύσατο δρᾶσαι· τὰ στρατόπεδα
ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ τὰ δεξιὰ κέρατα αὐτῶν ἐν
ταῖς ξυνόδοις μᾶλλον ἐξωθεῖται· καὶ περιίσχουσι κατὰ τὸ τῶν
ἐναντίων εὐώνυμον ἀμφότεροι τῷ δεξιῷ· διὰ τὸ φοβουμέ
νους προστέλλειν τὰ γυμνὰ ἕκαστον ὡς μάλιστα τῇ τοῦ ἐν δε
ξιᾷ παρατεταγμένου ἀσπίδι· καὶ νομίζειν τὴν πυκνότητα τῆς
ξυγκλῄσεως, εὐσκεπαστότατον εἶναι· καὶ ἡγεῖται μὲν τῆς αἰ
τίας ταύτης ὁ πρωτοστάτης τοῦ δεξιοῦ κέρως· προθυμού
μενος ἐξαλλάσσειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν·
ἕπονται δὲ διὰ τὸν αὐτὸν φόβον καὶ οἱ ἄλλοι· καὶ τότε περιέσχον
μὲν οἱ μαντινῆς πολλῷ τῷ κέρᾳ τῶν σκιριτῶν· ἔτι δὲ
πλέον οἱ λακεδαιμόνιοι καὶ τεγεᾶται τῶν ἀθηναίων, ὅσῳ
μεῖζον τὸ στράτευμα εἶχον· δείσας δὲ ὁ ἆγις μὴ σφῶν κυκλω
θῇ τὸ εὐώνυμον· καὶ νομίσας ἄγαν περιέχειν τοὺς μαντινέ
τοῖς μὲν σκιρίταις καὶ βρασιδείοις ἐσήμαινεν ἐπεξαγα
γόντας ἀπὸ σφῶν ἐξισῶσαι τοῖς μαντινεῦσιν· ἐς δὲ τὸ διά
κενον τοῦτο παρήγγελλεν ἀπὸ τοῦ δεξιοῦ κέρως δύο λόχους

τῶν πολεμάρχων, ἱππονοΐδαν καὶ ἀριστοκλέα ἔχοντας παρελ
θεῖν· καὶ ἐσβαλόντας πληρῶσαι· νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ
ἔτι περιουσίαν ἔσεσθαι· καὶ τὸ κατὰ τοὺς μαντινέας βεβαιό
τερον τετάξεσθαι· ξυνέβη οὖν αὐτῷ ἅμα τε ἐν αὐτῇ τῇ ἐφόδῳ
καὶ ἐξ ὀλίγου παραγγέλλοντι, τόν τε ἀριστοκλέα καὶ τὸν ἱπ
πονοΐδαν μὴ θελῆσαι παρελθεῖν· ἀλλὰ καὶ διὰ τοῦτο τὸ αἰτίαμα
ὕστερον φεύγειν ἐκ σπάρτης, δόξαντας μαλακισθῆναι, καὶ
τοὺς πολεμίους φθάσαι τῇ προσμίξει· καὶ κελεύσαντος αὐτοῦ
ἐπὶ τοὺς σκιρίτας, ὡς οὐ παρῆλθον οἱ λόχοι, πάλιν αὖ σφίσι
προσμίξαι μὴ δυνηθῆναι ἔτι· μηδὲ τούτους ξυγκλῇσαι· ἀλλὰ
μάλιστα δὴ κατὰ πάντα τῇ ἐμπειρίᾳ λακεδαιμόνιοι ἐλασ
σωθέντες τότε, τῇ ἀνδρείᾳ ἔδειξαν οὐχ ἧσσον περιγενόμενοι·
ἐπειδὴ γὰρ ἐν χερσὶν ἐγίγνοντο τοῖς ἐναντίοις, τὸ μὲν τῶν μαντι
νέων δεξιὸν, τρέπει αὐτῶν τοὺς σκιρίτας καὶ τοὺς βρασιδείους
καὶ ἐσπεσόντες οἱ μαντινῆς καὶ οἱ ξύμμαχοι αὐτῶν καὶ τῶν
ἀργείων οἱ χίλιοι λογάδες κατὰ τὸ διάκενον καὶ οὐ ξυγκλῃ
σθὲν τοὺς λακεδαιμονίους διέφθειρον· καὶ κυκλωσάμενοι
ἔτρεψαν καὶ ἐξέωσαν ἐς τὰς ἁμάξας· καὶ τῶν πρεσβυτέρων
τῶν ἐπιτεταγμένων ἀπέκτειναν τινάς· καὶ ταύτῃ μὲν ἡσσῶν
το οἱ λακεδαιμόνιοι· τῷ δὲ ἄλλῳ στρατοπέδῳ καὶ μάλιστα τῷ
μέσῳ ᾗπερ ὁ βασιλεὺς ἦν ἆγις· καὶ περὶ αὐτὸν οἱ τριακόσιοι
ἱππῆς καλούμενοι, προσπεσόντες τῶν τε ἀργείων τοῖς πρεσβυ
τέροις· καὶ πεντελόχοις ὠνομασμένοις· καὶ κλεωναίοις καὶ
ὀρνεάταις, καὶ ἀθηναίων τοῖς παρατεταγμένοις, ἔτρεψαν·
οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείναντας· ἀλλ' ὡς ἐπῆσαν οἱ
λακεδαιμόνιοι εὐθὺς ἐνδόντας· καὶ ἔστιν οὓς καὶ κατα πα
τηθέντας· τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν· ὡς δὲ ταύτῃ ἐνε
δεδώκει τὸ τῶν ἀργείων καὶ τῶν ξυμμάχων στράτευμα παρερ
ρήγνυντο δὲ ἅμα καὶ ἐφ' ἑκάτερα· καὶ ἅμα τὸ δεξιὸν τῶν

λακεδαιμονίων καὶ τεγεατῶν, ἐκυκλοῦντο τῷ περιέχοντι σφῶν
τοὺς ἀθηναίους· καὶ ἀμφοτέρωθεν αὐτοὺς κίνδυνος περιειστή
κει· τῇ μὲν, κυκλουμένους· τῇ δὲ, ἤδη ἡσσημένους· καὶ μά
λιστ' ἂν τοῦ στρατεύματος ἐταλαιπώρησαν, εἰ μὴ οἱ ἱππῆς παρόν
τες αὐτοῖς ὠφέλιμοι ἦσαν· καὶ ξυνέβη τὸν ἆγιν ὡς ᾔσθετο τὸ
εὐώνυμον σφῶν πονοῦν τὸ κατὰ τοὺς μαντινέας καὶ τοὺς χιλί
ους τῶν ἀργείων, παραγγεῖλαι παντὶ τῷ στρατεύματι χωρῆσαι ἐ
πὶ τὸ νικώμενον· καὶ γιγνομένου τούτου, οἱ μὲν ἀθηναῖοι ὡς πα
ρῆλθε· καὶ ἐξέκλινεν ἀπὸ σφῶν τὸ στράτευμα, καθ' ἡσυχί
αν ἐσώθησαν· καὶ τῶν ἀργείων μετ' αὐτῶν τὸ ἡσσηθέν· οἱ δὲ μαν
τινῆς καὶ οἱ ξύμμαχοι καὶ τῶν ἀργείων οἱ λογάδες, οὐκέτι πρὸς τὸ
ἐγκεῖσθαι τοῖς ἐναντίοις τὴν γνώμην εἶχον· ἀλλ' ὁρῶντες τούς τε σφε
τέρους νενικημένους, καὶ τοὺς λακεδαιμονίους ἐπιφερομένους,
ἐς φυγὴν ἐτράποντο· καὶ τῶν μὲν μαντινέων οἱ πλείους διεφ
θάρησαν· τῶν δὲ ἀργείων λογάδων τὸ πολὺ ἐσώθη· ἡ μέντοι φυ
γὴ καὶ ἀποχώρησις, οὐ βίαιος οὐδὲ μακρὰ ἦν· οἱ γὰρ λακε
δαιμόνιοι μέχρι μὲν τοῦ τρέψαι χρονίους τὰς μάχας καὶ βεβαί
ους τῷ μένειν ποιοῦνται· τρέψαντες δὲ, βραχείας καὶ οὐκ ἐ
πὶ πολὺ τὰς διώξεις· καὶ ἡ μὲν μάχη τοιαύτη καὶ ὅτι ἐγγύτα
τα τούτων ἐγένετο· πλείστου δὴ χρόνου μεγίστη δὴ τῶν ἑλληνικῶν
καὶ ὑπὸ ἀξιολογωτάτων πόλεων ξυνελθοῦσα· οἱ δὲ λακεδαι
μόνιοι προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ ὅπλα, τροπαῖον
εὐθὺς ἔστησαν· καὶ τοὺς νεκροὺς ἐσκύλευσαν· καὶ τοὺς αὐτῶν
ἀνείλοντο· καὶ ἀπήγαγον ἐς τεγέαν οὗπερ ἐτάφησαν· καὶ τοὺς
τῶν πολεμίων ὑποσπόνδους ἀπέδοσαν· ἀπέθανον δὲ ἀργεί
ων μὲν καὶ ὀρνεατῶν καὶ κλεωναίων ἑπτακόσιοι· μαντινέων
δὲ διακόσιοι· καὶ ἀθηναίων ξὺν αἰγινήταις διακόσιοι· καὶ
οἱ στρατηγοὶ ἀμφότεροι· λακεδαιμονίων δὲ οἱ μὲν ξύμμα
χοι οὐκ ἐταλαιπώρησαν· ὥστε ἀξιόλογόν τι ἀπογενέσθαι· αὐτῶν

δὲ χαλεπὸν μὲν ἦν τὴν ἀλήθειαν πυθέσθαι· ἐλέγοντο δὲ περὶ τρια-
κοσίους ἀποθανεῖν. τῆς δὲ μάχης μελλούσης ἔσεσθαι καὶ πλει-
στοάναξ ὁ ἕτερος βασιλεύς, ἔχων τούς τε πρεσβυτέρους καὶ νε-
ωτέρους ἐβοήθει· καὶ μέχρι μὲν τεγέας ἀφίκετο· πυθόμενος
δὲ τὴν νίκην ἀπεχώρησε· καὶ τοὺς ἀπὸ κορίνθου καὶ ἔξω ἰσθμοῦ
ξυμμάχους ἀπέτρεψαν πέμψαντες οἱ λακεδαιμόνιοι· καὶ αὐ-
τοὶ ἀναχωρήσαντες καὶ τοὺς ξυμμάχους ἀφέντες, κάρνεια γὰρ
αὐτοῖς ἐτύγχανον ὄντα, τὴν ἑορτὴν ἦγον· καὶ τὴν ὑπὸ τῶν ἑλ-
λήνων τότε ἐπιφερομένην αἰτίαν, ἔς τε μαλακίαν διὰ τὴν ἐν
τῇ νήσῳ ξυμφορὰν καὶ ἐς τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυ-
τῆτα, ἑνὶ ἔργῳ τούτῳ ἀπελύσαντο· τύχῃ μὲν ὡς ἐδόκουν κα-
κιζόμενοι, γνώμῃ δὲ οἱ αὐτοὶ ἔτι ὄντες. τῇ δὲ προτεραίᾳ ἡμέρᾳ
ξυνέβη ταύτης τῆς μάχης· καὶ τοὺς ἐπιδαυρίους πανδημεὶ ἐσ-
βαλεῖν ἐς τὴν ἀργείαν ὡς ἔρημον οὖσαν· καὶ τοὺς ὑπολοίπους
φύλακας τῶν ἀργείων ἐξελθόντων αὐτῶν διαφθεῖραι πολλούς·
καὶ ἠλείων τρισχιλίων ὁπλιτῶν βοηθησάντων, μαντινεῦσιν ὕ-
στερον τῆς μάχης καὶ ἀθηναίων χιλίων πρὸς τοῖς προτέροις,
ἐστράτευσαν ἅπαντες οὗτοι οἱ ξύμμαχοι εὐθὺς ἐπὶ ἐπίδαυρον·
ἕως οἱ λακεδαιμόνιοι κάρνεια ἦγον· καὶ διελόμενοι τὴν πόλιν
περιετείχιζον· καὶ οἱ μὲν ἄλλοι ἐξεπαύσαντο· ἀθηναῖοι δὲ ὥσπερ
προσετάχθησαν τὴν ἄκραν τὸ ἡραῖον εὐθὺς ἐξειργάσαντο· καὶ
ἐν τούτῳ ξυγκαταλιπόντες ἅπαντες τῷ τειχίσματι φρουράν, ἀ-
νεχώρησαν κατὰ πόλεις ἕκαστοι· καὶ τὸ θέρος ἐτελεύτα. τοῦ δ'
ἐπιγιγνομένου χειμῶνος ἀρχομένου, εὐθὺς οἱ λακεδαιμόνιοι
ἐπειδὴ τὰ κάρνεια ἤγαγον ἐξεστράτευσαν· καὶ ἀφικόμενοι
ἐς τεγέαν λόγους προὔπεμπον ἐς τὸ ἄργος ξυμβατηρίους·
ἦσαν δὲ αὐτοῖς πρότερόν τε ἄνδρες ἐπιτήδειοι· καὶ βουλόμενοι
τὸν δῆμον τὸν ἐν ἄργει καταλῦσαι· καὶ ἐπειδὴ ἡ μάχη ἐγεγέ-
νητο, πολλῷ μᾶλλον ἐδύναντο πείθειν τοὺς πολλοὺς ἐς τὴν ὁμο-

λογίαν. ἐβούλοντο δὲ πρῶτον σπονδὰς ποιήσαντες πρὸς τοὺς λακε-
δαιμονίους, αὖθις ὕστερον καὶ ξυμμαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ
ἐπιτίθεσθαι. καὶ ἀφικνεῖται πρόξενος ὢν λίχας ὁ ἀρκεσιλάου
παρὰ τῶν λακεδαιμονίων, δύο λόγω φέρων ἐς τὸ ἄργος. τὸν
μέν, καθότι εἰ βούλονται πολεμεῖν. τὸν δ' ὡς εἰρήνην ἄγειν. καὶ γενο-
μένης πολλῆς ἀντιλογίας, ἔτυχε γὰρ ὁ ἀλκιβιάδης παρών, οἱ ἄνδρες
οἱ τοῖς λακεδαιμονίοις πράσσοντες ἤδη καὶ ἐκ τοῦ φανεροῦ τολ-
μῶντες, ἔπεισαν τοὺς ἀργείους προσδέξασθαι τὸν ξυμβατήριον λόγον.
καττάδε δοκεῖ τᾷ ἐκκλησίᾳ τῶν λακεδαιμονίων ξυμβάλλεσθαι
ποττὼς ἀργείως. ἀποδιδόντας τὼς παῖδας τοῖς ὀρχομενίοις καὶ
τὼς ἄνδρας τοῖς μαιναλίοις. καὶ τὼς ἄνδρας τὼς ἐν μαντινείᾳ
τοῖς λακεδαιμονίοις ἀποδιδόντας. καὶ ἐξ ἐπιδαύρου ἐκβαίνοντας
καὶ τὸ τεῖχος ἀναιροῦντας. αἰ δέ κα μὴ ἕκοντι τοὶ ἀθηναῖοι ἐξ ἐπι-
δαύρου, πολεμίους ἦμεν τοῖς ἀργείοις καὶ τοῖς λακεδαιμονίοις.
καὶ τοῖς τῶν λακεδαιμονίων ξυμμάχοις καὶ τοῖς τῶν ἀργείων
ξυμμάχοις. καὶ αἴ τινα τοὶ λακεδαιμόνιοι παῖδα ἔχοντι ἀπο-
δόμεν ταῖς πολίεσσι πάσαις. περὶ δὲ τῶ σιῶ σύματος αἰ μὲν
λῆν τοῖς ἐπιδαυρίοις ὅρκον. δόμεν δὲ αὐτοῖς ὀμόσαι. τὰς δὲ
πόλιας τὰς ἐν πελοποννήσῳ καὶ μικρὰς καὶ μεγάλας, αὐ-
τονόμους ἦμεν πάσας κατὰ πάτρια. αἰ δέ κα τῶν ἐκτὸς πε-
λοποννάσου τις ἐπὶ τὰν πελοπόννασον γᾶν ἴῃ ἐπὶ κακῷ, ἀλε-
ξέμεν ἁμόθι βουλευσαμένους, ὅπα καὶ δικαιότατα δοκῇ τοῖς
πελοποννασίοις. ὅσσοι δὲ ἐκτὸς πελοποννάσου τῶν λακεδαι-
μονίων ξύμμαχοι ἐντί, ἐν τῷ αὐτῷ ἐσσοῦνται, ἐν τῷπερ καὶ τοὶ τῶν
λακεδαιμονίων καὶ τοὶ τῶν ἀργείων ξύμμαχοι ἐντί. τὰν αὑτῶν
ἔχοντες. ἐπιδείξαντας δὲ τοῖς ξυμμάχοις ξυμβαλέσθαι, αἴ
κα αὐτοῖς δοκῇ. αἰ δέ τι καὶ ἄλλο δοκῇ τοῖς ξυμμάχοις, οἴκαδε
ἀπιάλλειν. τοῦτον μὲν τὸν λόγον προσεδέξαντο πρῶτον οἱ
ἀργεῖοι. καὶ τῶν λακεδαιμονίων τὸ στράτευμα ἀνεχώρησεν

ἐκ τῆς τεγέας ἐποίουν· μετὰ δὲ τοῦτο ἐπιμιξίας οὔσης ἤδη παρ'
ἀλλήλους οὐ πολλῷ ὕστερον, ἔπραξαν αὖθις οἱ αὐτοὶ ἄνδρες
ὥστε τὴν μαντινέων καὶ τὴν ἀθηναίων καὶ ἠλείων ξυμμαχίαν
ἀργείους ἀφέντας, σπονδὰς καὶ ξυμμαχίαν ποιήσασθαι τοῖς λα
κεδαιμονίοις· καὶ ἐγένοντο αἵδε· κατὰ τάδε ἔδοξε τοῖς λακε
δαιμονίοις καὶ ἀργείοις σπονδὰς καὶ ξυμμαχίαν εἶμεν πεντή
κοντα ἔτη ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, δίκας διδόντας κατὰ τὰ
πάτρια· ταὶ δὲ ἄλλαι πόλιες ταὶ ἐν πελοποννάσῳ, κοινανεόν
των τᾶν σπονδᾶν καὶ τᾶς ξυμμαχίας, αὐτόνομοι καὶ αὐτοπό
λιες· τὰν αὐτῶν ἔχοντες κατὰ τὰ πάτρια· δίκας διδόντας τὰς ἴ
σας καὶ ὁμοίας· ὅσοι δὲ ἔξω πελοποννάσου λακεδαιμονίοις
ξύμμαχοί ἐντι, ἐν τοῖς αὐτοῖς ἐσσοῦνται τοῖσπερ καὶ τοὶ λακεδαι
μόνιοι· καὶ τοὶ τῶν ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ ἐσσοῦνται τῷπερ
καὶ τοὶ ἀργεῖοι τὰν αὐτῶν ἔχοντες· αἰ δέ ποι στρατείας δέοι κοινᾶς
βουλεύεσθαι λακεδαιμονίους καὶ ἀργείους ὅπα κα δικαιό
τατα κρίναντας τοῖς ξυμμάχοις· αἰ δέ τινι τᾶν πολίων ᾖ ἀμ
φίλογα, ἢ τᾶν ἐντὸς ἢ τᾶν ἐκτὸς πελοποννάσου, αἴτε περὶ ὅρων
αἴτε περὶ ἄλλου τινός, διακριθῆμεν· αἰ δέ τις τῶν ξυμμάχων
πόλις πόλει ἐρίζοι ἐς πόλιν ἐλθεῖν ἅντινα ἴσαν ἀμφοῖν ταῖς
πόλεσι δοκοῖ· τοὺς δὲ ἔτας, κατὰ τὰ πάτρια δικάζεσθαι· αἱ μὲν
σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο· καὶ ὁπόσα ἀλλήλων
πολέμῳ ἢ εἴ τι ἄλλο εἶχον, διελύσαντο· κοινῇ δὲ ἤδη τὰ πράγ
ματα τιθέμενοι ἐψηφίσαντο κήρυκα καὶ πρεσβείαν παρ'
ἀθηναίων μὴ προσδέχεσθαι, ἢν μὴ ἐκ πελοποννήσου ἐξί
ωσι τὰ τείχη ἐκλιπόντες· καὶ μὴ ξυμβαίνειν τῳ μηδὲ πολε
μεῖν, ἀλλ' ἢ ἅμα· καὶ τά τε ἄλλα θυμῷ ἔφερον· καὶ ἐς τὰ ἐπὶ
θρᾴκης χωρία· καὶ ὡς περδίκκαν ἔπεμψαν ἀμφότεροι
πρέσβεις· καὶ ἀνέπεισαν περδίκκαν ξυνομόσαι σφίσιν·
οὐ μέντοι εὐθύς γε ἀπέστη τῶν ἀθηναίων· ἀλλὰ διενοεῖτο· ὅτι

καὶ τοὺς ἀργείους ἑώρα. ἦν δὲ καὶ αὐτὸς τὸ ἀρχαῖον ἐξ ἄργους.
καὶ τοῖς χαλκιδεῦσι τούς τε παλαιοὺς ὅρκους ἀνενεώσαντο· καὶ
ἄλλους ὤμοσαν. ἔπεμψαν δὲ καὶ παρὰ τοὺς ἀθηναίους οἱ ἀργεῖοι
πρέσβεις, τὸ ἐξ ἐπιδαύρου τεῖχος κελεύοντες ἐκλιπεῖν. οἱ δ᾽
ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντας τοὺς ξυμφύλακας, ἔπεμ-
ψαν δημοσθένην τοὺς σφετέρους ἐξάξοντα. ὁ δὲ ἀφικόμενος
καὶ ἀγῶνά τινα πρόφασιν γυμνικὸν ἔξω τοῦ φρουρίου ποι-
ήσας, ὡς ἐξῆλθε τὸ ἄλλο φρουρικόν, ἀπέκλῃσε τὰς πύλ(ας)·
καὶ ὕστερον ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς σπονδὰς αὐτοὶ
οἱ ἀθηναῖοι, ἀπέδοσαν τὸ τείχισμα. μετὰ δὲ τὴν τῶν ἀργείων
ἀπόστασιν ἐκ τῆς ξυμμαχίας, καὶ οἱ μαντινῆς τὸ μὲν πρῶτον
ἀντέχοντες, ἔπειτα οὐ δυνάμενοι ἄνευ τῶν ἀργείων, ξυνέβη-
σαν καὶ αὐτοὶ τοῖς λακεδαιμονίοις· καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν
πόλεων· καὶ λακεδαιμόνιοι καὶ ἀργεῖοι χίλιοι ἑκάτεροι ξυ-
στρατεύσαντες τά τε ἐν σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν,
αὐτοὶ οἱ λακεδαιμόνιοι ἐλθόντες καὶ μετ᾽ ἐκεῖνα ξυναμφότεροι
ἤδη καὶ τὸν ἐν ἄργει δῆμον κατέλυσαν· καὶ ὀλιγαρχία ἐπι-
τηδεία τοῖς λακεδαιμονίοις κατέστη· καὶ πρὸς ἔαρ ἤδη ἦν
ταῦτα τοῦ χειμῶνος λήγοντος· καὶ τέταρτον καὶ δέκατον ἔτος
τῷ πολέμῳ ἐτελεύτα. Τοῦ δ᾽ ἐπιγιγνομένου θέρους δικτυδ-
ιῆς τε οἱ ἐν ἄθῳ ἀπέστησαν ἀθηναίων πρὸς χαλκιδέας· καὶ λα-
κεδαιμόνιοι τὰ ἐν ἀχαΐᾳ οὐκ ἐπιτηδείως πρότερον ἔχοντα
καθίσταντο· καὶ ἀργείων ὁ δῆμος κατ᾽ ὀλίγον ξυνιστάμενός
τε καὶ ἀναθαρσήσας, ἐπέθεντο τοῖς ὀλίγοις, τηρήσαντες αὐ-
τὰς τὰς γυμνοπαιδίας τῶν λακεδαιμονίων· καὶ μάχης γι-
νομένης ἐν τῇ πόλει, ἐπεκράτησεν ὁ δῆμος· καὶ τοὺς μὲν ἀ-
πέκτεινε, τοὺς δὲ ἐξήλασεν. οἱ δὲ λακεδαιμόνιοι ἕως μὲν
αὐτοὺς μετεπέμποντο οἱ φίλοι οὐκ ἦλθον ἐκ πλείονος ἀναβαλ-
λόμενοι δὲ τὰς γυμνοπαιδίας ἐβοήθουν· καὶ ἐν τεγέᾳ πυθόμ(ενοι)

ὅτι νενίκηνται οἱ ὀλίγοι, προελθεῖν μὲν οὐκέτι ἠθέλησαν δεομένων τῶν διαπεφευγότων· ἀναχωρήσαντες δὲ ἐπ' οἴκου τὰς γυμνοπαιδίας ἦγον· καὶ ὕστερον ἐλθόντων πρέσβεων ἀπό τε τῶν ἐν τῇ πόλει ἀγγέλων καὶ τῶν ἔξω ἀργείων, παρόντων τε τῶν ξυμμάχων καὶ ῥηθέντων πολλῶν ἀφ' ἑκατέρων, ἔγνωσαν μὲν ἀδικεῖν τοὺς ἐν τῇ πόλει· καὶ ἔδοξεν αὐτοῖς στρατεύειν ἐς ἄργος· διατριβαὶ δὲ καὶ μελλήσεις ἐγίγνοντο· ὁ δὲ δῆμος τῶν ἀργείων ἐν τούτῳ φοβούμενος τοὺς λακεδαιμονίους καὶ τὴν τῶν ἀθηναίων ξυμμαχίαν πάλιν προσαγόμενός τε καὶ νομίζων μέγιστον ἂν σφᾶς ὠφελήσειν, τειχίζει μακρὰ τείχη ἐς θάλασσαν· ὅπως ἢν τῆς γῆς εἴργωνται· ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν ἀθηναίων ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ· ξυνῄδεσαν δὲ τὸν τειχισμὸν καὶ τῶν ἐν πελοποννήσῳ τινὲς πόλεων· καὶ οἱ μὲν ἀργεῖοι πανδημεὶ καὶ αὐτοὶ καὶ γυναῖκες καὶ οἰκέται ἐτείχιζον· καὶ ἐκ τῶν ἀθηνῶν αὐτοῖς ἦλθον τέκτονες καὶ λιθουργοί· καὶ τὸ θέρος ἐτελεύτα· Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος λακεδαιμόνιοι ὡς ᾔσθοντο τειχιζόντων, ἐστράτευσαν ἐς τὸ ἄργος αὐτοί τε καὶ οἱ ξύμμαχοι πλὴν κορινθίων· ὑπῆρχε δέ τι αὐτοῖς καὶ ἐκ τοῦ ἄργους πρασσόμενον αὐτόθεν· ἡγεῖτο δὲ τῆς στρατιᾶς ἆγις ὁ ἀρχιδάμου λακεδαιμονίων βασιλεύς· καὶ τὰ μὲν ἐκ τῆς πόλεως δοκοῦντα προϋπάρχειν, οὐ προυχώρησεν ἔτι· τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ κατασκάψαντες, καὶ ὑσιὰς χωρίον τῆς ἀργείας λαβόντες, καὶ τοὺς ἐλευθέρους ἅπαντας οὓς ἔλαβον ἀποκτείναντες, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις· ἐστράτευσαν δὲ μετὰ τοῦτο καὶ ἀργεῖοι ἐς τὴν φλιασίαν· καὶ δῃώσαντες ἀπῆλθον, ὅτι σφῶν τοὺς φυγάδας ὑπεδέχοντο· οἱ γὰρ πολλοὶ αὐτῶν ἐνταῦθα κατῴκηντο· κατέκλῃσαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ μακεδονίας ἀθηναῖοι περδίκκαν· ἐπικαλοῦντες τήν τε πρὸς ἀργείους καὶ λακεδαι-

γινομένην ξυμμαχίαν ξυνωμοσίαν· καὶ ὅτι παρασκευασαμένων
αὐτῶν στρατιὰν ἄγειν ἐπὶ χαλκιδέας τοὺς ἐπὶ θρᾴκης καὶ ἀμ-
φίπολιν, νικίου τοῦ νικηράτου στρατηγοῦντος, ἔψευστο τὴν ξυμ-
μαχίαν· καὶ ἡ στρατιὰ μάλιστα διελύθη ἐκείνου ἀπάραντος· πο-
λέμιος οὖν ἦν. καὶ ὁ χειμὼν ἐτελεύτα οὕτως· καὶ πέμπτον καὶ
δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα. τοῦ δὲ ἐπιγιγνομένου
θέρους ἀλκιβιάδης τε πλεύσας ἐς ἄργος ναυσὶν εἴκοσιν ἀργείων
τοὺς δοκοῦντας ἔτι ὑπόπτους εἶναι καὶ τὰ λακεδαιμονίων φρο-
νεῖν, ἔλαβε τριακοσίους ἄνδρας· καὶ κατέθεντο αὐτοὺς ἀ-
θηναῖοι ἐς τὰς ἐγγὺς νήσους ὧν ἦρχον. καὶ ἐπὶ μῆλον τὴν νῆ-
σον ἀθηναῖοι ἐστράτευσαν· ναυσὶν ἑαυτῶν μὲν τριάκοντα, χίαις
δὲ ἕξ· λεσβίαις δὲ δυοῖν· καὶ ὁπλίταις ἑαυτῶν μὲν διακο-
σίοις καὶ χιλίοις· καὶ τοξόταις τριακοσίοις· καὶ ἱπποτοξόταις
εἴκοσι· τῶν δὲ ξυμμάχων καὶ νησιωτῶν ὁπλίταις μάλιστα πεν-
τακοσίοις καὶ χιλίοις. οἱ δὲ μήλιοι λακεδαιμονίων μέν εἰσιν
ἄποικοι. τῶν δὲ ἀθηναίων οὐκ ἤθελον ὑπακούειν ὥσπερ οἱ ἄλλοι
νησιῶται. ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες ἡσύχαζον· ἔ-
πειτα ὡς αὐτοὺς ἠνάγκαζον οἱ ἀθηναῖοι δῃοῦντες τὴν γῆν, ἐς πό-
λεμον φανερὸν κατέστησαν. στρατοπεδευσάμενοι οὖν αὐτόθι
ἐς τὴν γῆν τῇ παρασκευῇ ταύτῃ οἱ στρατηγοί, κλεομήδης τε ὁ λυ-
κομήδους, καὶ τισίας ὁ τισιμάχου, πρὶν ἀδικεῖν τι τῆς γῆς λόγους
πρῶτον ποιησομένους, ἔπεμψαν πρέσβεις. οὓς οἱ μήλιοι πρὸς
μὲν τὸ πλῆθος, οὐκ ἤγαγον· ἐν δὲ ταῖς ἀρχαῖς καὶ τοῖς ὀλίγοις
λέγειν ἐκέλευον περὶ ὧν ἥκουσιν. οἱ δὲ τῶν ἀθηναίων πρέσ-
βεις ἔλεγον τοιάδε: ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, πρέσβεις ἀθηναίων
ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα
ἐσάπαξ ἀκούσαντες ἡμῶν ἀπατηθῶσι· γιγνώσκομεν γὰρ ὅτι
τοῦτο φρονεῖ ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγή, ὑμεῖς οἱ καθήμενοι
ἔτι ἀσφαλέστερον ποιήσατε. καθ᾽ ἕκαστον γὰρ καὶ μηδ᾽ ὑμεῖς

ἐν ὀλίγῳ· ἀλλὰ μὴ πρὸς τὸ δοκοῦν ἐπιτηδείως λέγεσθαι· εὐθὺς ὑπολαμβάνοντες κρίνετε· καὶ πρῶτον εἰ ἀρέσκει ὡς λέγομεν, εἴπατε.

μήλιοι· οἱ δὲ τῶν μηλίων ξύνεδροι ἀπεκρίναντο· ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ᾽ ἡσυχίαν ἀλλήλους οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα, διαφέροντα αὐτοῦ φαίνεται· ὁρῶμεν γὰρ αὐτούς τε κριτὰς ἥκοντας ὑμᾶς τῶν λεχθησομένων καὶ τὴν τελευτὴν ἐξ αὐτοῦ κατὰ τὸ εἰκός· περιγενομένοις μὲν τῷ δικαίῳ καὶ δι᾽ αὐτὸ μὴ ἐνδοῦσι, πόλεμον ἡμῖν φέρουσαν· πεισθεῖσι δὲ δουλείαν.

ἀθηναῖοι· εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων λογιούμενοι, ἢ ἄλλο τι ξυνήκετε ἢ ἐκ τῶν παρόντων καὶ ὧν ὁρᾶτε περὶ σωτηρίας βουλεύσοντες τῇ πόλει, παυοίμεθ᾽ ἄν· εἰ δ᾽ ἐπὶ τοῦτο, λέγοιμεν ἄν.

μήλιοι· εἰκὸς μὲν καὶ συγγνώμη ἐν τῷ τοιῷδε καθεστῶτας ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι· ἡ μέντοι ξύνοδος καὶ περὶ σωτηρίας ἥδε πάρεστι· καὶ ὁ λόγος ᾧ προκαλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.

ἀθηναῖοι· ἡμεῖς τοίνυν οὔτ᾽ αὐτοὶ μετ᾽ ὀνομάτων καλῶν ὡς ἢ δικαίως τὸν μῆδον καταλύσαντες ἄρχομεν, ἢ ἀδικούμενοι νῦν ἐπεξερχόμεθα λόγων μῆκος ἄπιστον παρέξομεν· οὔθ᾽ ὑμᾶς ἀξιοῦμεν ὅτι λακεδαιμονίων ἄποικοι ὄντες οὐ ξυνεστρατεύσατε, ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε λέγοντας οἴεσθαι πείσειν· τὰ δυνατὰ δ᾽ ἐξ ὧν ἑκάτεροι φρονοῦμεν ἀληθῶς διαπράσσεσθαι ἐπισταμένους πρὸς εἰδότας ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται· δυνατὰ δὲ οἱ προύχοντες πράσσουσι· καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.

μήλιοι· ἧ μὲν δὴ νομίζομέν γε χρήσιμον· ἀνάγκη γὰρ ἐπειδὴ ὑμεῖς οὕτω παρὰ τὸ δίκαιον ξυμφέρον λέγειν ὑπέθεσθε, μὴ καταλύειν ὑμᾶς τὸ κοινὸν ἀγαθόν· ἀλλὰ τῷ αἰεὶ ἐν κινδύνῳ γιγνομένῳ τὰ εἰκότα εἶναι καὶ δίκαια· καί τι καὶ ἐντὸς τοῦ ἀκριβοῦς πείσαντά τινα ὠφεληθῆναι· καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσον καὶ ἐπὶ με

γίστῃ τιμωρίᾳ σφαλέντες ἂν τοῖς ἄλλοις παράδειγμα γένοισθε· ἡ- αθηναῖ.
μεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς ἢν καὶ παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν
τελευτήν· οὐ γὰρ οἱ ἄρχοντες ἄλλων ὥσπερ καὶ λακεδαιμόνιοι, οὗτοι
δεινοὶ τοῖς νικηθεῖσιν· ἔστι δὲ οὐ πρὸς λακεδαιμονίους ἡμῖν ὁ
ἀγὼν ἀλλ' ἢν οἱ ὑπήκοοί που τῶν ἀρξάντων αὐτοὶ ἐπιθέμενοι κρα-
τήσωσι· καὶ περὶ μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι· ὡς
δὲ ἐπ' ὠφελίᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς, καὶ ἐπὶ
σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως, ταῦτα
δηλώσομεν· βουλόμενοι ἀπόνως μὲν ἄρξαι ὑμῶν· χρησίμως δ'
ὑμᾶς ἀμφοτέροις σωθῆναι: καὶ πῶς χρήσιμον ἂν ξυμβαίη μήλι.
ἡμῖν δουλεῦσαι ὥσπερ καὶ ὑμῖν ἄρξαι: ὅτι ὑμῖν μὲν πρὸ τοῦ ἀθηναῖ.
τὰ δεινότατα παθεῖν, ὑπακοῦσαι ἂν γένοιτο· ἡμεῖς δὲ μὴ διαφ-
θείραντες ὑμᾶς κερδαίνοιμεν ἄν: ὥστε δὲ ἡσυχίαν ἄγοντας μήλιοι.
ἡμᾶς· φίλους μὲν εἶναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ οὐδετέρ-
ων οὐκ ἂν δέξαισθε; οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν ἀθηναῖ.
ὅσον ἡ φιλία μὲν ἀσθενείας· τὸ δὲ μῖσος δυνάμεως παράδειγ-
μα τοῖς ἀρχομένοις δηλούμενον: σκοποῦσι δ' ὑμῶν οἱ ὑπή- μήλιοι
κοοι οὕτως τὸ εἰκός, ὥστε τούς τε μὴ προσήκοντας καὶ ὅσοι ἄποικοι
ὄντες οἱ πολλοὶ καὶ ἀποστάντες τινὲς κεχείρωνται ἐς τὸ αὐτὸ τιθέ-
ασι:; δικαιώματι γὰρ οὐδετέρους ἡγοῦνται ἐλλείπειν· κατὰ ἀθηναῖ.
δύναμιν δὲ τοὺς μὲν περιγίγνεσθαι· ἡμᾶς δὲ φόβῳ οὐκ ἐπιέναι·
ὥστε ἔξω καὶ τοῦ πλεόνων ἄρξαι καὶ τὸ ἀσφαλὲς ἡμῖν διὰ τὸ
καταστραφῆναι ἂν παράσχοιτε· ἄλλως τε καὶ νησιῶται ναυ-
κρατόρων· καὶ ἀσθενέστεροι ἑτέρων ὄντες εἰ μὴ περιγένοισθε:
ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν; δεῖ γὰρ αὖ καὶ ἐνταῦθα μήλιοι.
ὥσπερ ὑμεῖς τῶν δικαίων λόγων ἡμᾶς ἐκβιβάσαντες τῷ ὑμετέρῳ
ξυμφόρῳ ὑπακούειν πείθετε· καὶ ἡμᾶς τὸ ἡμῖν χρήσιμον
διδάσκοντας, εἰ τυγχάνει τὸ αὐτὸ καὶ ὑμῖν ξυμβαῖνον, πειρᾶσθαι
πείθειν· ὅσοι γὰρ νῦν μηδετέροις ξυμμαχοῦσι, πῶς οὐ πολεμώ-

κλ

σεσθε αὐτούς, ὅταν ἐς τάδε βλέψαντες ἡγήσωνται ποτὲ καὶ
ἐπὶ σφᾶς ἥξειν· καὶ ἐν τούτῳ τί ἄλλο ἢ τοὺς μὲν ὑπάρχοντας πολε-
μίους μεγαλύνετε· τοὺς δὲ μηδὲ μελλήσοντας γενέσθαι ἀ-
ἀθηναῖοι κοντας ἐπάγεσθε: οὐ γὰρ νομίζομεν ἡμῖν τούτους δεινο-
τέρους, ὅσοι ἠπειρῶταί που ὄντες τῷ ἐλευθέρῳ πολλὴν τὴν
διαμέλλησιν τῆς πρὸς ἡμᾶς φυλακῆς ποιήσονται· ἀλλὰ τοὺς νη-
σιώτας τέ που ἀνάρκτους ὥσπερ ὑμᾶς καὶ τοὺς ἤδη τῆς ἀρχῆς
τῷ ἀναγκαίῳ παροξυνομένους· οὗτοι γὰρ πλεῖστ᾽ ἂν τῷ ἀλογίστῳ
ἐπιτρέψαντες σφᾶς τε αὐτοὺς καὶ ἡμᾶς ἐς προὖπτον κίνδυ-
μήλιοι νον καταστήσειαν: ἦ που ἄρα εἰ τοσαύτην γε ὑμεῖς τε μὴ
παυθῆναι ἀρχῆς καὶ οἱ δουλεύοντες ἤδη ἀπαλλαγῆναι τὴν
παρακινδύνευσιν ποιοῦνται, ἡμῖν γε τοῖς ἔτι ἐλευθέροις
πολλὴ κακότης καὶ δειλία, μὴ πᾶν πρὸ τοῦ δουλεῦσαι ἐπε-
ἀθηναῖοι ξελθεῖν: οὔκ ἤν γε σωφρόνως βουλεύησθε· οὐ γὰρ περὶ
ἀνδραγαθίας ὁ ἀγὼν ἀπὸ τοῦ ἴσου ὑμῖν, μὴ αἰσχύνην ὀφλεῖν·
περὶ δὲ σωτηρίας μᾶλλον ἡ βουλὴ πρὸς τοὺς κρείσσονας πολ-
μήλιοι λῷ μὴ ἀνθίστασθαι: ἀλλ᾽ ἐπιστάμεθα τὰ τῶν πολέμων ἔστιν
ὅτε κοινοτέρας τὰς τύχας λαμβάνοντα, ἢ κατὰ τὸ διαφέρον ἑ-
κατέρων πλῆθος· καὶ ἡμῖν τὸ μὲν εἶξαι εὐθὺς ἀνέλπιστον· με-
ἀθηναῖοι τὰ δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς: ἐλπὶς
δὲ κινδύνῳ παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ περιουσίας χρω-
μένους αὐτῇ κἂν βλάψῃ, οὐ καθεῖλε· τοῖς δὲ ἐς ἅπαν τὸ
ὑπάρχον ἀναρριπτοῦσι. δάπανος γὰρ φύσει ἅμα τε γιγνώ-
σκεται σφαλέντων, καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν
γνωρισθεῖσαν οὐκ ἐλλείπει· ὃ ὑμεῖς ἀσθενεῖς τε καὶ ἐπὶ μιᾶς
ῥοπῆς ὄντες μὴ βούλεσθε παθεῖν· μηδὲ ὁμοιωθῆναι τοῖς πολ-
λοῖς· οἷς παρὸν ἀνθρωπείως ἔτι σῴζεσθαι, ἐπειδὰν πιεζομένους
αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς
καθίστανται μαντικήν τε καὶ χρησμοὺς· καὶ ὅσα τοιαῦτα μετ᾽

ἐλπίδων λυμαίνεται. χαλεπὸν μὲν καὶ ἡμεῖς εὖ ἴστε νομί- μήλιοι
ζομεν, πρὸς δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀ-
πὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι. ὅμως δὲ πιστεύομεν, τῇ μὲν τύ-
χῃ ἐκ τοῦ θείου μὴ ἐλασσώσεσθαι, ὅτι ὅσιοι πρὸς οὐ δικαίους
ἱστάμεθα. τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι, τὴν λακεδαιμο-
νίων ξυμμαχίαν προσέσεσθαι, ἀνάγκην ἔχουσαν. καὶ εἰ μή του
ἄλλου, τῆς γε ξυγγενείας ἕνεκα καὶ αἰσχύνῃ βοηθεῖν. καὶ οὐ παν-
τάπασιν οὕτως ἀλόγως θρασυνόμεθα. τῆς μὲν τοίνυν πρὸς τὸ ἀθηναῖοι
θεῖον εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι. οὐδὲν γὰρ
ἔξω τῆς ἀνθρωπείας, τῶν μὲν ἐς τὸ θεῖον νομίσεως. τῶν δ' ἐς
σφᾶς αὐτοὺς βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν. ἡγούμεθα
γὰρ τό τε θεῖον δόξῃ τὸ ἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύ-
σεως ἀναγκαίας, οὗ ἂν κρατῇ ἄρχειν. καὶ ἡμεῖς οὔτε θέντες
τὸν νόμον οὔτε πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ
ἐσόμενον ἐς αἰεὶ καταλείψοντες χρώμεθα αὐτῷ εἰδότες καὶ
ὑμᾶς ἂν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους, δρῶν-
τας ἂν ταὐτό. καὶ πρὸς μὲν τὸ θεῖον οὕτως ἐκ τοῦ εἰκότος οὐ φο-
βούμεθα ἐλασσώσεσθαι. τῆς δὲ ἐς λακεδαιμονίους δόξης
ἣν διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτούς, μακα-
ρίσαντες ὑμῶν τὸ ἀπειρόκακον οὐ ζηλοῦμεν τὸ ἄφρον. λακεδαι-
μόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐπιχώρια νόμιμα
πλεῖστα ἀρετῇ χρῶνται. πρὸς δὲ ἄλλους πολλὰ ἄν τις ἔχων εἰπεῖν
ὡς προσφέρονται ξυνελὼν μάλιστ' ἂν δηλώσειεν ὅτι ἐπιφα-
νέστατα ὧν ἴσμεν, τὰ μὲν ἡδέα καλὰ νομίζουσι. τὰ δὲ ξυμ-
φέροντα δίκαια. καίτοι οὐ πρὸς τῆς ὑμετέρας νῦν ἀλόγου
σωτηρίας ἡ τοιαύτη διάνοια. ἡμεῖς δὲ κατ' αὐτὸ τοῦτο ἤδη καὶ μήλιοι
μάλιστα πιστεύομεν τῷ ξυμφέροντι αὐτῶν μηλίους ἀποίκους
ὄντας μὴ βουλήσεσθαι προδόντας, τοῖς μὲν εὔνοις τῶν ἑλλήνων
ἀπίστους καταστῆναι. τοῖς δὲ πολεμίοις ὠφελίμους. οὐκοῦν ἀθηναῖοι

ὅτι ἐσθ' ὅτι τὸ ξυμφέρον μὲν μετὰ ἀσφαλείας εἶναι· τὸ δὲ δίκαιον
καὶ καλὸν μετὰ κινδύνου δρᾶσθαι· ὃ λακεδαιμόνιοι ἥκιστα ὡς ἐπὶ τὸ πολὺ
τολμῶσιν:

μήλιοι: ἀλλὰ καὶ τοὺς κινδύνους τε ἡμῶν ἕνεκα μᾶλλον ἡ-
γούμεθ' ἂν ἐγχειρίσασθαι αὐτούς· καὶ βεβαιοτέρους ἢ ἐς ἄλλους
νομιεῖν· ὅσῳ πρὸς μὲν τὰ ἔργα τῆς πελοποννήσου ἐγγὺς κεί-
μεθα· τῆς δὲ γνώμης τῷ ξυγγενεῖ πιστότεροι ἑτέρων ἐσμέν.

ἀθηναῖοι: τὸ δ' ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις· οὐ τὸ εὔνουν τῶν ἐπι-
καλεσαμένων φαίνεται· ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ πρού-
χῃ· ὃ λακεδαιμόνιοι καὶ πλέον τι τῶν ἄλλων σκοποῦσι· τῆς γοῦν
οἰκείας παρασκευῆς ἀπιστίᾳ καὶ μετὰ ξυμμάχων πολλῶν τοῖς
πέλας ἐπέρχονται· ὥστε οὐκ εἰκὸς ἐς νῆσόν γε αὐτοὺς ἡμῶν
ναυκρατόρων ὄντων περαιωθῆναι.

μήλιοι: οἱ δὲ καὶ ἄλλους ἂν ἔ-
χοιεν πέμψαι· πολὺ δὲ τὸ κρητικὸν πέλαγος· δι' οὗ τῶν κρα-
τούντων ἀπορώτερος ἡ λῆψις ἢ τῶν λαθεῖν βουλομένων ἡ
σωτηρία· καὶ εἰ τοῦδε σφάλλοιντο, τράποιντ' ἂν καὶ ἐς τὴν
γῆν ὑμῶν· καὶ ἐπὶ τοὺς λοιποὺς τῶν ξυμμάχων· ὅσους μὴ βρα-
σίδας ἐπῆλθε· καὶ οὐ περὶ τῆς μὴ προσηκούσης μᾶλλον ἢ τῆς
οἰκειοτέρας ξυμμαχίδος τε καὶ γῆς ὁ πόνος ὑμῖν ἔσται:

ἀθηναῖοι: τού-
των μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ ὑμῖν καὶ οὐκ ἀνεπιστή-
μοσιν· ὅτι οὐδ' ἀπὸ μιᾶς πώποτε πολιορκίας ἀθηναῖοι δι'
ἄλλων φόβον ἀπεχώρησαν· ἐνθυμούμεθα δὲ ὅτι φήσαντες
περὶ σωτηρίας βουλεύσειν, οὐδὲν ἐν τοσούτῳ λόγῳ εἰρήκατε, ᾧ
ἄνθρωποι ἂν πιστεύσαντες νομίσειαν σωθήσεσθαι· ἀλλ' ὑμῶν τὰ
μὲν ἰσχυρότατα ἐλπιζόμενα μέλλεται· τὰ δ' ὑπάρχοντα
βραχέα πρὸς τὰ ἤδη ἀντιτεταγμένα περιγίγνεσθαι· πολλήν
τε ἀλογίαν τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι
ἔτι ἡμᾶς, ἄλλο τι τῶνδε σωφρονέστερον γνώσεσθε· οὐ γὰρ
δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προύπτοις κινδύνοις πλεῖ-
στα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε· πολλοῖς

γὰρ προορωμένοις ἔτι ἐς οἷα φέρονται, τὸ αἰσχρὸν καλού-
μενον ὀνόματος ἐπαγωγοῦ δυνάμει ἐπεσπάσατο, ἡσση-
θεῖσι τοῦ ῥήματος ἔργῳ ξυμφοραῖς ἀνηκέστοις ἑκόντας
περιπεσεῖν· καὶ αἰσχύνην αἰσχίω μετὰ ἀνοίας ἢ τύχης
προσλαβεῖν· ὃ ὑμεῖς ἢν εὖ βουλεύησθε φυλάξεσθε· καὶ
οὐκ ἀπρεπὲς νομιεῖτε πόλεώς τε μεγίστης ἡσσᾶσθαι, μέτρια
προκαλουμένης, ξυμμάχους γενέσθαι ἔχοντας τὴν ὑμε-
τέραν αὐτῶν ὑποτελεῖς· καὶ δοθείσης αἱρέσεως πολέμου πέ-
ρι καὶ ἀσφαλείας, μὴ τὰ χείρω φιλονεικῆσαι· ὡς οἵτινες τοῖς
μὲν ἴσοις μὴ εἴκουσι τοῖς δὲ κρείσσοσι καλῶς προσφέρονται
πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ᾽ ἂν ὀρθοῖντο. σκοπεῖτε πατρίς
οὖν καὶ μεταστάντων ἡμῶν· καὶ ἐνθυμεῖσθε πολλάκις ὅτι περὶ
πατρίδος βουλεύεσθε· ἣν μιᾶς πέρι καὶ ἐς μίαν βουλὴν, τυ-
χοῦσάν τε καὶ μὴ κατορθώσασαν ἔσται· καὶ οἱ μὲν ἀθηναῖοι
μετεχώρησαν ἐκ τῶν λόγων· οἱ δὲ μήλιοι κατὰ σφᾶς αὐτοὺς
γενόμενοι, ὡς ἐδόκει αὐτοῖς παραπλήσια καὶ ἀντέλεγον,
ἀπεκρίναντο τάδε: οὔτε ἄλλα δοκεῖ ἡμῖν ἢ ἅπερ πρῶτον μήλιοι.
ὦ ἀθηναῖοι, οὔτ᾽ ἐν ὀλίγῳ χρόνῳ πόλεως ἑπτακόσια ἔτη ἤδη
οἰκουμένης τὴν ἐλευθερίαν ἀφαιρησόμεθα· ἀλλὰ τῇ τε μέχρι
τοῦδε σῳζούσῃ τύχῃ ἐκ τοῦ θεοῦ αὐτὴν καὶ τῇ ἀπὸ τῶν ἀνθρώπων καὶ
λακεδαιμονίων τιμωρίᾳ πιστεύοντες, πειρασόμεθα σώζεσθαι.
προκαλούμεθα δὲ ὑμᾶς φίλοι μὲν εἶναι, πολέμιοι δὲ μη-
δετέροις καὶ ἐκ τῆς γῆς ἡμῶν ἀναχωρῆσαι σπονδὰς ποιησαμένους
αἵτινες δοκοῦσιν ἐπιτήδειοι εἶναι ἀμφοτέροις. οἱ μὲν δὴ
μήλιοι τοσαῦτα ἀπεκρίναντο· οἱ δὲ ἀθηναῖοι διαλυόμενοι
ἤδη ἐκ τῶν λόγων, ἔφασαν· ἀλλ᾽ οὖν μόνοι γε ἀπὸ τούτων τῶν ἀθηναῖοι.
βουλευμάτων ὡς ἡμῖν δοκεῖτε, τὰ μὲν μέλλοντα τῶν ὁρω-
μένων σαφέστερα κρίνετε· τὰ δὲ ἀφανῆ τῷ βούλεσθαι ὡς
γιγνόμενα ἤδη θεᾶσθε· καὶ λακεδαιμονίοις καὶ τύχῃ

καὶ ἐλπίσι, πλεῖστον δὴ παραβεβλημένοι· καὶ πιστεύσαντες
πλεῖστον καὶ σφαλήσεσθε. καὶ οἱ μὲν ἀθηναῖοι πρέσβεις ἀ
νεχώρησαν ἐς τὸ στράτευμα· οἱ δὲ στρατηγοὶ αὐτῶν ὡς οὐδὲν
ὑπήκουον οἱ μήλιοι, πρὸς πόλεμον εὐθὺς ἐτράποντο· καὶ
διελόμενοι κατὰ πόλεις περιετείχισαν κύκλῳ τοὺς μηλίους·
καὶ ὕστερον φυλακήν τε σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων κα-
ταλιπόντες οἱ ἀθηναῖοι καὶ κατὰ γῆν καὶ θάλασσαν, ἀνεχώ
ρησαν τῷ πλέονι τοῦ στρατοῦ· οἱ δὲ λειπόμενοι παραμένοντες
ἐπολιόρκουν τὸ χωρίον· καὶ ἀργεῖοι κατὰ τὸν χρόνον τοῦ
τον ἐσβαλόντες ἐς τὴν φλιασίαν καὶ λοχισθέντες ὑπό τε φλι
ασίων καὶ τῶν σφετέρων ξυμμάχων, ἐφθάρησαν ὡς ὀγ
δοήκοντα· καὶ οἱ ἐκ τῆς πύλου ἀθηναῖοι λακεδαιμονίων πολ
λὴν λείαν ἔλαβον· καὶ λακεδαιμόνιοι τὰς μὲν σπονδὰς οὐ
δ᾽ ὣς ἀφέντες, ἐπολέμουν αὐτοῖς· ἐκήρυξαν δὲ εἴ τις βούλοιτο
τὸ παρὰ σφῶν ἀθηναίους λῄζεσθαι· καὶ κορίνθιοι ἐπο
λέμησαν ἰδίων τινῶν διαφορῶν ἕνεκα τοῖς ἀθηναίοις· οἱ
δ᾽ ἄλλοι πελοποννήσιοι ἡσύχαζον· εἷλον δὲ καὶ οἱ μήλιοι τῶν
ἀθηναίων τοῦ περιτειχίσματος, τὸ κατὰ τὴν ἀγορὰν προσ-
βαλόντες νυκτός· καὶ ἄνδρας τε ἀπέκτειναν· καὶ ἐσε-
νεγκάμενοι σῖτόν τε καὶ ὅσα πλεῖστα ἐδύναντο χρήσιμα, ἀ
ναχωρήσαντες ἡσύχαζον· καὶ οἱ ἀθηναῖοι ἄμεινον τὸ ἔπειτα
τὴν φυλακὴν παρεσκευάζοντο· καὶ τὸ θέρος ἐτελεύτα. τοῦ
δ᾽ ἐπιγιγνομένου χειμῶνος λακεδαιμόνιοι, μελλήσαντες ἐς
τὴν ἀργείαν στρατεύειν, ὡς αὐτοῖς τὰ διαβατήρια ἱερὰ ἐν
τοῖς ὁρίοις οὐκ ἐγίγνετο, ἀνεχώρησαν· καὶ οἱ ἀργεῖοι διὰ τὴν
ἐκείνων μέλλησιν, τῶν ἐν τῇ πόλει τινὰς ὑποτοπήσαντες· τοὺς μὲν
ξυνέλαβον· οἱ δ᾽ αὐτοὺς καὶ διέφυγον· καὶ οἱ μήλιοι περὶ τοὺς
αὐτοὺς χρόνους αὖθις καθ᾽ ἕτερόν τι τοῦ περιτειχίσματος,
εἷλον τῶν ἀθηναίων παρόντων οὐ πολλῶν τῶν φυλάκων· καὶ

5

ἐλθούσης στρατιᾶς ὕστερον ἐκ τῶν ἀθηνῶν ἄλλης ὡς ταῦτα ἐγίγνετο, ἧς ἦρχε φιλοκράτης ὁ δημέου, καὶ κατὰ κράτος ἤδη πολιορκούμενοι, γενομένης καὶ προδοσίας τινὸς ἀφ' ἑαυτῶν, ξυνεχώρησαν τοῖς ἀθηναίοις ὥστε ἐκείνους περὶ αὐτῶν βουλεῦσαι. οἱ δὲ ἀπέκτειναν μηλίων ὅσους ἡβῶντας ἔλαβον· παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν· τὸ δὲ χωρίον αὐτοὶ ᾤκισαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες.

## θουκυδίδου ξυγγραφῆς ς

ς τοῦ δ' αὐτοῦ χειμῶνος οἱ ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι παρασκευῇ τῆς μετὰ λάχητος καὶ εὐρυμέδοντος ἐπὶ σικελίαν πλεύσαντες, εἰ δύναιντο, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ ἑλλήνων καὶ βαρβάρων, καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς πελοποννησίους. σικελίας γὰρ περίπλους μέν ἐστιν ὁλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν· καὶ τοσαύτη οὖσα ἐν εἰκοσισταδίῳ μάλιστα, μέτρῳ τῆς θαλάσσης διείργεται τὸ μὴ ἤπειρος εἶναι. ᾠκίσθη δὲ ὧδε τὸ ἀρχαῖον· καὶ τοσάδε ἔθνη ἔσχε τὰ ξύμπαντα. παλαίτατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας, κύκλωπες καὶ λαιστρυγόνες οἰκῆσαι· ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν οὔτε ὁπόθεν ἐσῆλθον ἢ ὅποι ἀπεχώρησαν· καὶ ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται καὶ ὡς ἕκαστός πῃ γιγνώσκει περὶ αὐτῶν. σικανοὶ δὲ μετ' αὐτοὺς πρῶτοι φαίνονται ἐνοικισάμενοι· ὡς μὲν αὐτοί φασι καὶ πρότεροι διὰ τὸ αὐτόχθονες εἶναι· ὡς δὲ ἡ ἀλήθεια εὑρίσκεται, ἴβηρες ὄντες· καὶ ἀπὸ τοῦ σικανοῦ ποταμοῦ τοῦ ἐν ἰβηρίᾳ ὑπὸ λιγύων ἀναστάντες· καὶ ἀπ' αὐτῶν σικανία ποτὲ ἡ νῆσος ἐκαλεῖτο· πρότερον τρινακρία καλουμένη· οἰκοῦσι δὲ ἔτι καὶ νῦν τὰ πρὸς ἑσπέραν τὴν σικελίαν. ἰλίου δὲ ἁλισκομένου τῶν τρώων τινὲς διαφυγόντες ἀχαιούς, πλοίοις ἀφικνοῦνται

ἐς τὴν σικελίαν· καὶ ὅμοροι τοῖς σικανοῖς οἰκήσαντες, ξύμ-
παντες μὲν ἔλυμοι ἐκλήθησαν· πόλεις δ' αὐτῶν ἔρυξ τέ καὶ
ἔγεστα· προσξυνῴκησαν δὲ αὐτοῖς καὶ φωκέων τινὲς τῶν ἀπὸ
τροίας τότε χειμῶνι ἐς λιβύην πρῶτον, ἔπειτα ἐς σικελίαν ἀπ'
αὐτῆς κατενεχθέντες· σικελοὶ δὲ ἐξ ἰταλίας, ἐνταῦθα γὰρ ᾤκουν,
διέβησαν ἐς σικελίαν, φεύγοντες ὀπικούς· ὡς μὲν εἰκὸς καὶ
λέγεται ἐπὶ σχεδιῶν, τηρήσαντες τὸν πορθμόν, κατιόντος
τοῦ ἀνέμου· τάχα δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες· εἰσὶ δὲ καὶ
νῦν ἔτι ἐν τῇ ἰταλίᾳ σικελοί· καὶ ἡ χώρα ἀπὸ βασιλέως τινὸς σι-
κελῶν ἰταλοῦ τοὔνομα τοῦτο ἔχοντος, οὕτως ἰταλία ἐπωνομά-
σθη· ἐλθόντες δὲ ἐς τὴν σικελίαν στρατὸς πολύς, τούς τε σικα-
νοὺς κρατοῦντες μάχῃ ἀπέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ
ἑσπέρια αὐτῆς· καὶ ἀντὶ σικανίας σικελίαν τὴν νῆσον ἐποί-
ησαν καλεῖσθαι· καὶ τὰ κράτιστα τῆς γῆς ᾤκησαν ἔχοντες· ἐπεὶ
διέβησαν ἔτη ἐγγὺς τριακόσια πρὶν ἕλληνας ἐς σικελίαν
ἐλθεῖν· ἔτι δὲ καὶ νῦν τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου
ἔχουσιν· ᾤκουν δὲ καὶ φοίνικες περὶ πᾶσαν μὲν τὴν σικελίαν·
ἄκρας τε ἐπὶ τῇ θαλάσσῃ ἀπολαβόντες, καὶ τὰ ἐπικείμενα νη-
σίδια ἐμπορίας ἕνεκα τῆς πρὸς τοὺς σικελούς· ἐπειδὴ δὲ οἱ
ἕλληνες πολλοὶ κατὰ θάλατταν ἐπεσέπλεον, ἐκλιπόντες τὰ
πλείω μοτύην καὶ σολόεντα καὶ πάνορμον ἐγγὺς τῶν ἐλύμων·
καὶ ὅτι ἐντεῦθεν ἐλάχιστον πλοῦν καρχηδὼν σικελίας ἀπέχει·
βάρβαροι μὲν οὖν τοσοίδε σικελίαν καὶ οὕτως ᾤκησαν· ἑλλή-
νων δὲ πρῶτοι χαλκιδῆς ἐξ εὐβοίας πλεύσαντες μετὰ θουκλέους
οἰκιστοῦ· νάξον ᾤκισαν· καὶ ἀπόλλωνος ἀρχηγέτου βωμόν,
ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο· ἐφ' ᾧ ὅταν ἐκ σι-
κελίας θεωροὶ πλέωσι, πρῶτον θύουσι· συρακούσας δὲ τοῦ
ἐχομένου ἔτους, ἀρχίας τῶν ἡρακλειδῶν ἐκ κορίνθου ᾤ-
κισε· σικελοὺς ἐξελάσας πρῶτον ἐκ τῆς νήσου· ἐν ᾗ νῦν

ἐστὶ περικλυζομένη ἡ πόλις ἡ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ
ἔξω προστειχισθεῖσα, πολυάνθρωπος ἐγένετο. θουκλῆς δὲ καὶ οἱ
χαλκιδῆς ἐκ νάξου ὁρμηθέντες, ἔτει πέμπτῳ μετὰ συρακούσας
οἰκισθείσας, λεοντίνους τε πολέμῳ τοὺς σικελοὺς ἐξελάσαντες,
οἰκίζουσι· καὶ μετ᾽ αὐτοὺς κατάνην· οἰκιστὴν δὲ αὐτοὶ καταναῖοι
ἐποιήσαντο εὔαρχον· κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ λάμις ἐκ με-
γάρων, ἀποικίαν ἄγων ἐς σικελίαν ἀφίκετο· καὶ ὑπὲρ παντα-
κύου τε ποταμοῦ, τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας, καὶ ὕστερον
αὐτόθεν τοῖς χαλκιδεῦσιν ὀλίγον ἐς λεοντίνους χρόνον ξυμπο-
λιτεύσας, καὶ ὑπ᾽ αὐτῶν ἐκπεσὼν, καὶ θάψον οἰκίσας, αὐτὸς
μὲν ἀποθνήσκει· οἱ δ᾽ ἄλλοι ἐκ τῆς θάψου ἀναστάντες, ὕβλωνος
βασιλέως σικελοῦ προδόντος τὴν χώραν καὶ καθηγησαμένου,
μεγαρέας ᾤκισαν τοὺς ὑβλαίους κληθέντας· καὶ ἔτη οἰκήσαν-
τες πέντε καὶ τεσσαράκοντα καὶ διακόσια ὑπὸ γέλωνος συ-
ρακοσίων τυράννου, ἀνέστησαν ἐκ τῆς πόλεως καὶ χώρας· πρὶν
δὲ ἀναστῆναι, ἔτεσιν ὕστερον ἑκατὸν ἢ αὐτοὺς οἰκῆσαι, πάμ-
μιλον πέμψαντες σελινοῦντα, κτίζουσι καὶ ἐκ μεγάρων
τῆς μητροπόλεως οὔσης αὐτοῖς, ἐπελθὼν ξυγκατῴκισε· γέ-
λαν δὲ ἀντίφημος ἐκ ῥόδου, καὶ ἔντιμος ἐκ κρήτης κοινῇ ἔκτι-
σαν πέμπτῳ ἔτει καὶ τεσσαρακοστῷ μετὰ συρακουσῶν οἴκησιν· καὶ
τῇ μὲν πόλει ἀπὸ τοῦ γέλα ποταμοῦ τοὔνομα ἐγένετο· τὸ δὲ χωρίον
οὗ νῦν ἡ πόλις ἐστὶ, καὶ ὃ πρῶτον ἐτειχίσθη, λίνδιοι καλεῖται· νό-
μιμα δὲ δωρικὰ ἐτέθη αὐτοῖς· ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκα-
τὸν μετὰ τὴν σφετέραν οἴκησιν γελῷοι, ἀκράγαντα ᾤκισαν·
τὴν μὲν πόλιν ἀπὸ τοῦ ἀκράγαντος ποταμοῦ ὀνομάσαντες· οἰκι-
στὰς δὲ ποιήσαντες ἀριστόνουν καὶ πυστίλον· νόμιμα δὲ τὰ γε-
λῴων δόντες· ζάγκλη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ κύμης τῆς ἐν ὀπικίᾳ
χαλκιδικῆς πόλεως ληστῶν ἀφικομένων ᾠκίσθη· ὕστερον δὲ ἀπὸ
χαλκίδος καὶ τῆς ἄλλης εὐβοίας πλῆθος ἐλθὸν, ξυγκατενείμαντο

τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς· ὁ μὲν ἀπὸ Κύμης· ὁ δὲ ἀπὸ Χαλκίδος· ὄνομα δὲ τὸ μὲν πρῶτον Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα· ὅτι δρεπανοειδὲς τὸ χωρίον ἐστί· τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσι· ὕστερον δ' αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων ἐκπίπτουσιν· οἳ μήδους φεύγοντες προσέβαλον Σικελίᾳ· τοὺς δὲ Σαμίους Ἀναξίλας Ῥηγίνων τύραννος οὐ πολλῷ ὕστερον ἐκβαλών, καὶ τὴν πόλιν αὐτοῖς ξυμμίκτων ἀνθρώπων οἰκίσας, Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ πατρίδος τὸ ἀρχαῖον ἀντωνόμασεν· καὶ Ἱμέρα ἀπὸ Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου καὶ Σίμου καὶ Σάκωνος· καὶ Χαλκιδῆς μὲν οἱ πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν· ξυνῴκισαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγάδες στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι· καὶ φωνὴ μὲν μεταξὺ τῆς Χαλκιδέων καὶ Δωρίδος ἐκράθη· νόμιμα δὲ τὰ Χαλκιδικὰ ἐκράτησεν· Ἄκραι δὲ καὶ Κασμέναι ὑπὸ Συρακοσίων ᾠκίσθησαν· Ἄκραι μὲν ἑβδομήκοντα ἔτη μετὰ Συρακούσας· Κασμέναι δὲ ἐγγὺς εἴκοσι μετὰ Ἄκρας· καὶ Καμάρινα τὸ πρῶτον ὑπὸ Συρακοσίων ᾠκίσθη· ἔτεσιν ἐγγύτατα πέντε καὶ τεσσαράκοντα καὶ ἑκατὸν, μετὰ Συρακουσῶν κτίσιν· οἰκισταὶ ἐγένοντο αὐτῆς Δάσκων καὶ Μενέκωλος· ἀναστάτων δὲ καὶ Καμαριναίων γενομένων πολέμῳ Συρακοσίων δι' ἀπόστασιν, χρόνῳ Ἱπποκράτης τύραννος Γέλας, λύτρα ἀνδρῶν Συρακουσίων αἰχμαλώτων, λαβὼν τὴν γῆν τῶν Καμαριναίων αὐτὸς οἰκιστὴς γενόμενος, κατῴκισε Καμάριναν· καὶ αὖθις ὑπὸ Γέλωνος ἀνάστατος γενομένη, τὸ τρίτον κατῳκίσθη ὑπὸ Γέλωνος· τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει· καὶ ἐπὶ τοσήνδε οὖσαν αὐτὴν, οἱ Ἀθηναῖοι στρατεύειν ὥρμηντο· ἐφιέμενοι τῇ ἀληθεστάτῃ προφάσει τῆς πάσης ἄρξαι· βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς ἑαυτῶν ξυγγενέσι καὶ τοῖς προσγεγενημένοις ξυμμάχοις· μάλιστα δ' αὐτοὺς ἐξώρμησαν

ἐγεσταίων πρέσβεις παρόντες τε προθυμότερον ἐπικαλούμενοι. ὅμοροι γὰρ ὄντες τοῖς σελινουντίοις, ἐς πόλεμον καθέστασαν περί τε γαμικῶν τινῶν καὶ περὶ γῆς ἀμφισβητήτου· καὶ οἱ σελινούντιοι συρακουσίους ἐπαγόμενοι ξυμμάχους, κατεῖργον αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὥστε τὴν γενομένην ἐπὶ λάχητος τῷ προτέρῳ πολέμῳ λεοντίνων, οἱ ἐγεσταῖοι ξυμμαχίαν ἀναμιμνήσκοντες τοὺς ἀθηναίους, ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι· λέγοντες ἄλλα τε πολλὰ καὶ κεφάλαιον, εἰ συρακούσιοι λεοντίνους τε ἀναστήσαντες ἀτιμώρητοι γενήσονται, καὶ τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείροντες, αὐτοὶ τὴν ἅπασαν δύναμιν τῆς σικελίας σχήσουσι, κίνδυνον εἶναι μή ποτε μεγάλῃ παρασκευῇ δωριεῖς τε δωριεῦσι κατὰ τὸ ξυγγενές, καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι πελοποννησίοις βοηθήσαντες, καὶ τὴν ἐκείνων δύναμιν ξυγκαθέλωσι· σῶφρον δ' εἶναι μετὰ τῶν ὑπολοίπων ἔτι ξυμμάχων ἀντέχειν τοῖς συρακουσίοις· ἄλλως τε καὶ χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά. ὧν ἀκούσαντες οἱ ἀθηναῖοι ἐν ταῖς ἐκκλησίαις, τῶν τε ἐγεσταίων πολλάκις λεγόντων, καὶ τῶν ξυναγορευόντων, ἐψηφίσαντο πρέσβεις πέμψαντες πρῶτον ἐς τὴν ἔγεσταν περί τε τῶν χρημάτων σκεψομένους εἰ ὑπάρχει ὥσπερ φασὶν ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς· καὶ τὰ τοῦ πολέμου ἅμα πρὸς τοὺς σελινουντίους ἐν ὅτῳ ἐστὶν εἰσομένους. καὶ οἱ μὲν πρέσβεις τῶν ἀθηναίων ἀπεστάλησαν ἐς τὴν σικελίαν· λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ οἱ ξύμμαχοι πλὴν κορινθίων στρατεύσαντες ἐς τὴν ἀργείαν, τῆς τε γῆς ἔτεμον οὐ πολλήν· καὶ σῖτον ἀνεκομίσαντό τινα ζεύγη κομίσαντες· καὶ τῆς ἄλλης στρατιᾶς παρακαταλιπόντες αὐτοῖς ὀλίγους· καὶ σπεισάμενοί τινα χρόνον ὥστε μὴ ἀδικεῖν ὀρνεάτας τε καὶ ἀργείους τὴν ἀλλήλων ἀπεχώρησαν τῷ στρατῷ ἐπ' οἴκου. ἐλθόντων

δὲ ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ ἑξήκοντα καὶ ἑξακοσίοις
ὁπλίταις, οἱ ἀργεῖοι μετὰ τῶν ἀθηναίων πανστρατιᾷ ἐξελθόντες,
τοὺς μὲν ἐν ὀρνεαῖς, μίαν ἡμέραν ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα
αὐλισαμένου τοῦ στρατεύματος ἄπωθεν, ἐκδιδράσκουσιν οἱ ἐκ
τῶν ὀρνεῶν· καὶ τῇ ὑστεραίᾳ οἱ ἀργεῖοι ὡς ᾔσθοντο, κατασκά-
ψαντες τὰς ὀρνεὰς, ἀνεχώρησαν· καὶ οἱ ἀθηναῖοι ταῖς ναυσὶν
ὕστερον ἐπ᾽ οἴκου· καὶ ἐς μεθώνην τὴν ὅμορον, μακεδονίων
ἱππέας κατὰ θάλασσαν κομίσαντες ἀθηναῖοι, σφῶν τε αὐτῶν
καὶ μακεδόνων τοὺς παρὰ σφίσι φυγάδας, ἐκακούργουν τὴν
περδίκκου· λακεδαιμόνιοι δὲ πέμψαντες παρὰ χαλκιδέας
τοὺς ἐπὶ θρᾴκης, ἄγοντας πρὸς ἀθηναίους δεχημέρους σπον-
δάς, ξυμπολεμεῖν ἐκέλευον περδίκκᾳ· οἱ δ᾽ οὐκ ἤθελον· καὶ
ὁ χειμὼν ἐτελεύτα· καὶ ἕκτον καὶ δέκατον ἔτος τῷ πολέμῳ
ἐτελεύτα τῷδε ὃν θουκυδίδης ξυνέγραψε· τοῦ δ᾽ ἐπιγιγνο-
μένου θέρους ἅμα ἦρι οἱ τῶν ἀθηναίων πρέσβεις ἧκον ἐκ τῆς
σικελίας· καὶ οἱ ἐγεσταῖοι μετ᾽ αὐτῶν· ἄγοντες ἑξήκοντα τάλαντα
τάλαντα ξ.
ἀσήμου ἀργυρίου, ὡς ἑξήκοντα ναυσὶ μηνὸς μισθὸν ἃς ἔμελλον
δεήσεσθαι πέμπειν· καὶ οἱ ἀθηναῖοι ἐκκλησίαν ποιήσαντες,
καὶ ἀκούσαντες τῶν τε ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων,
τά τε ἄλλα ἐπαγωγὰ, καὶ οὐκ ἀληθῆ, καὶ περὶ τῶν χρημάτων ὡς
εἴη ἑτοῖμα, ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τοῖς κοινοῖς, ἐψηφί-
σαντο ναῦς ἑξήκοντα πέμπειν ἐς σικελίαν, καὶ στρατηγοὺς
αὐτοκράτορας, ἀλκιβιάδην τε τὸν κλεινίου καὶ νικίαν τὸν νι-
κηράτου· καὶ λάμαχον τὸν ξενοφάνους· βοηθοὺς μὲν ἐ-
γεσταίοις πρὸς σελινουντίους· ξυγκατοικίσαι δὲ λεοντίνους
ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου· καὶ τἆλλα τὰ ἐν σικε-
λίᾳ πρᾶξαι ὅπῃ ἂν γιγνώσκωσιν ἄριστα ἀθηναίοις· μετὰ δὲ
τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλησία αὖθις ἐγίγνετο· καθ᾽ ὅτι χρὴ
τὴν παρασκευὴν ταῖς ναυσὶ τάχιστα γίγνεσθαι· καὶ τοῖς στρα-

ηγοῖς, εἴ του προσδέοιντο, ψηφισθῆναι ἐς τὸν ἔκπλουν· καὶ Νι-
κίας ἀκούσιος μὲν ᾑρημένος ἄρχειν· νομίζων δὲ τὴν πόλιν
οὐκ ὀρθῶς βεβουλεῦσθαι· ἀλλὰ προφάσει βραχείᾳ καὶ
εὐπρεπεῖ τῆς Σικελίας ἁπάσης μεγάλου ἔργου ἐφίεσθαι, πα-
ρελθὼν ἀποτρέψαι ἐβούλετο· καὶ παρῄνει τοῖς Ἀθηναίοις τοι-
άδε· Ἡ μὲν ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμετέρας
ἥδε ξυνελέγη· καθ' ὅ τι χρὴ ἐς Σικελίαν ἀπελθεῖν· ἐμοὶ μέντοι  ἐκπλεῖν
δοκεῖ καὶ περὶ αὐτοῦ τούτου χρῆναι ἔτι σκέψασθαι· εἰ ἄμεινον
ἐστὶν ἐκπέμπειν τὰς ναῦς· καὶ μὴ οὕτω βραχείᾳ βουλῇ περὶ με-
γάλων οὕτω πραγμάτων ἀνδράσιν ἀλλοφύλοις πειθομένους, πό-
λεμον οὐ προσήκοντα ἄρασθαι· καίτοι ἔγωγε καὶ τιμῶμαι
ἐκ τούτου· καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀρρω-
δῶ· νομίζων ὁμοίως ἀγαθὸν πολίτην εἶναι ὃς ἂν τοῦ σώματός
τι καὶ τῆς οὐσίας προνοῆται· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ
τῆς πόλεως δι' ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι· ὅμως δὲ οὔτε ἐν
τῷ πρότερον χρόνῳ διὰ τὸ προτιμᾶσθαι εἶπον παρὰ γνώμην,
οὔτε νῦν· ἀλλ' ᾗ ἂν γιγνώσκω βέλτιστα, ἐρῶ· καὶ πρὸς μὲν
τοὺς τρόπους τοὺς ὑμετέρους, ἀσθενὴς ἄν μου ὁ λόγος εἴη· εἰ τά τε
ὑπάρχοντα σώζειν παραινοίην· καὶ μὴ τοῖς ἑτοίμοις περὶ
τῶν ἀφανῶν καὶ μελλόντων κινδυνεύειν· ὡς δὲ οὔτε ἐν καιρῷ
σπεύδετε, οὔτε ῥᾴδιά ἐστι κατασχεῖν ἐφ' ἃ ὥρμησθε, ταῦτα
διδάξω· φημὶ γὰρ ὑμᾶς πολεμίους πολλοὺς ἐνθάδε ὑπολι-
πόντας καὶ ἑτέρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας δεῦρο
ἐπαγαγέσθαι· καὶ οἴεσθε ἴσως τὰς γενομένας σπονδὰς ὑμῖν
ἕξειν βέβαιον· αἳ ἡσυχαζόντων μὲν ὑμῶν, ὀνόματι σπον-
δαὶ ἔσονται· οὕτω γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτάς,
καὶ ἐκ τῶν ἐναντίων· σφαλέντων δέ που ἀξιόχρεῳ δυνάμει
ταχεῖαν τὴν ἐπιχείρησιν ὑμῖν οἱ ἐχθροὶ ποιήσονται· οἷς πρῶτον
μὲν διὰ ξυμφορῶν ἡ ξύμβασις καὶ ἐκ τοῦ αἰσχίονος ἢ ἡμῖν

κατ' ἀνάγκην ἐγένετο· ἔπειτα ἐν αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα ἔχομεν· ἔτι δ' οὐδὲ ταύτην πω τὴν ὁμολογίαν ἐδέξαντο· καὶ οὐχ οἱ ἀσθενέστατοι· ἀλλ' οἱ μὲν ἄντικρυς πολεμοῦσιν· οἱ δὲ, διὰ τὸ Λακεδαιμονίους ἔτι ἡσυχάζειν δεχημέροις σπονδαῖς καὶ αὐτοὶ κατέχονται· τάχα δ' ἂν ἴσως εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν ὅπερ νῦν σπεύδομεν, καὶ πάνυ ἂν ξυνεπιθοῖντο μετὰ Σικελιωτῶν· οὓς πρὸ πολλῶν ἂν ἐτιμήσαντο ξυμμάχους γενέσθαι ἐν τῷ πρὶν χρόνῳ· ὥστε χρὴ σκοπεῖν τινὰ αὐτὰ καὶ μὴ μετεώρῳ τε πόλει ἀξιοῦν κινδυνεύειν καὶ ἀρχῆς ἄλλης ὀρέγεσθαι πρὶν ἣν ἔχομεν βεβαιωσώμεθα· εἰ Χαλκιδῆς γε οἱ ἐπὶ Θρᾴκης ἔτη τοσαῦτα ἀφεστῶτες ἡμῶν, ἔτι ἀχείρωτοι εἰσί· καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται, ἡμεῖς δὲ Ἐγεσταίοις δὴ οὖσι ξυμμάχοις, ὡς ἀδικουμένοις ὀξέως βοηθοῦμεν· ὑφ' ὧν δ' αὐτοὶ πάλαι ἀφεστώτων ἀδικούμεθα, ἔτι μέλλομεν ἀμύνεσθαι· καίτοι τοὺς μὲν, κατεργασάμενοι κἂν κατάσχοιμεν· τῶν δ' εἰ καὶ κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν ὄντων, χαλεπῶς ἂν ἄρχειν δυναίμεθα· ἀνόητον δ' ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις· καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται· Σικελιῶται δ' ἄν μοι δοκοῦσιν ὥς γε νῦν ἔχουσι καὶ ἔτι ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι εἰ ἄρξειαν αὐτῶν Συρακούσιοι, ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα ἡμᾶς ἐκφοβοῦσι· νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακεδαιμονίων ἕκαστοι χάριτι· ἐκείνως δ' οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι· ᾧ γὰρ ἂν τρόπῳ τὴν ἡμετέραν μετὰ Πελοποννησίων ἀφέλωνται, εἰκὸς ὑπὸ τῶν αὐτῶν καὶ τὴν σφετέραν διὰ τοῦ αὐτοῦ καθαιρεθῆναι· ἡμᾶς δ' ἂν οἱ ἐκεῖ Ἕλληνες μάλιστα μὲν ἐκπεπληγμένοι εἶεν εἰ μὴ ἀφικοίμεθα, ἔπειτα δὲ καὶ εἰ δείξαντες τὴν δύναμιν δι' ὀλίγου ἀπέλθοιμεν· εἰ δὲ σφαλείημέν τι, τάχιστ' ἂν ὑπεριδόντες μετὰ τῶν

ἐνθάδε ἐπιθοῖντο· τὰ γὰρ διὰ πλείστου πάντες ἴσμεν θαυμα-
ζόμενα· καὶ τὰ πεῖραν ἥκιστα τῆς δόξης δόντα· ὅπερ νῦν
ὑμεῖς ὦ Ἀθηναῖοι ἐς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πε-
πόνθατε, διὰ τὸ παρὰ γνώμην αὐτῶν πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶτον
περιγεγενῆσθαι, καταφρονήσαντες ἤδη καὶ Σικελίας ἐφίεσθε·
χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ
τὰς διανοίας κρατήσαντας θαρσεῖν· μηδὲ Λακεδαιμονίους
ἄλλο τι ἡγήσασθαι ἢ διὰ τὸ αἰσχρὸν σκοπεῖν ὅτῳ τρόπῳ ἔτι καὶ
νῦν ἢν δύνωνται σφήλαντες ἡμᾶς τὸ σφέτερον ἀπρεπὲς εὖ
θήσονται· ὅσῳ καὶ περὶ πλεῖστον καὶ διὰ πλείστου δόξαν ἀρε-
τῆς μελετῶσιν· ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ Ἐγεσταίων ἡμῖν
ἀνδρῶν βαρβάρων ὁ ἀγών, εἰ σωφρονοῦμεν· ἀλλ᾽ ὅπως πόλιν
δι᾽ ὀλιγαρχίας ἐπιβουλεύουσαν ὀξέως φυλαξόμεθα· καὶ
μεμνῆσθαι χρὴ ἡμᾶς ὅτι καὶ νεωστὶ ἀπὸ νόσου μεγάλης, καὶ
πολέμου βραχύ τι λελωφήκαμεν, ὥστε καὶ χρήμασι καὶ
τοῖς σώμασιν ηὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐν-
θάδε ἀναλοῦν· καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων τῶνδ᾽ ἐπικουρίας
δεομένων· οἷς τό τε ψεύσασθαι καλῶς χρήσιμον, καὶ τῷ τοῦ
πέλας κινδύνῳ αὐτοὺς λόγους μόνον παρασχομένους ἢ κατορ-
θώσαντας χάριν μὴ ἀξίαν εἰδέναι· ἢ πταίσαντάς που τοὺς φίλους
ξυναπολέσθαι· εἴ τέ τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑ-
μῖν ἐκπλεῖν τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος
ὢν ἐς τὸ ἄρχειν· ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ
δὲ πολυτέλειαν καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς· μηδὲ τούτῳ
ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι·
νομίσατε δὲ τοὺς τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν· τὰ δὲ ἴδια
ἀναλοῦν· καὶ τὸ πρᾶγμα μέγα εἶναι· καὶ μὴ οἷον νεωτέρῳ
βουλεύσασθαί τε καὶ ὀξέως μεταχειρίσαι· οὓς ἐγὼ ὁρῶν νῦν
ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ παρακελευστοὺς καθημένους, φοβοῦμαι·

καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι, μὴ καταισχυνθῆ-
ναι. εἴ τῳ τις παρακάθηται τῶνδε, ὅπως μὴ δόξῃ, ἂν μὴ ψηφί-
ζηται πολεμεῖν, μαλακὸς εἶναι· μηδ' ὅπερ ἂν αὐτοὶ πάθοιεν,
δυσέρωτας εἶναι τῶν ἀπόντων· γνόντας ὅτι ἐπιθυμίᾳ μὲν ἐ-
λάχιστα κατορθοῦνται· προνοίᾳ δὲ πλεῖστα· ἀλλ' ὑπὲρ τῆς πατρί-
δος ὡς μέγιστον δὴ κίνδυνον τῶν πρὶν ἀναρριπτούσης ἀντιχειρο-
τονεῖν· καὶ ψηφίζεσθαι τοὺς μὲν σικελιώτας οἷσπερ νῦν ὅροις
χρωμένους πρὸς ἡμᾶς οὐ μεμπτοῖς· τῷ τε ἰονίῳ κόλπῳ παρὰ
γῆν ἤν τις πλέῃ καὶ τῷ σικελικῷ διὰ πελάγους τὰ αὑτῶν νεμο-
μένους, καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι· τοῖς δὲ ἐγεσταίοις ἰδίᾳ
εἰπεῖν. ἐπειδὴ ἄνευ ἀθηναίων καὶ ξυνῆψαν πρὸς σελινουντί-
ους τὸ πρῶτον πόλεμον, μετὰ σφῶν αὐτῶν καὶ καταλύεσθαι. καὶ
τὸ λοιπὸν ξυμμάχους μὴ ποιεῖσθαι ὥσπερ εἰώθαμεν· οἷς κακῶς μὲν
πράξασιν ἀμυνοῦμεν· ὠφελίας δ' αὐτοὶ δεηθέντες οὐ τευξόμεθα.
καὶ σὺ ὦ πρύτανι ταῦτα εἴπερ ἡγῇ σοι προσήκειν κήδεσθαι
τῆς πόλεως, καὶ βούλει γενέσθαι πολίτης ἀγαθὸς, ἐπιψήφιζε·
καὶ γνώμας προτίθει αὖθις ἀθηναίοις· νομίσας εἰ ὀρρωδεῖς τὸ
ἀναψηφίσαι· τὸ μὲν λύειν τοὺς νόμους, μὴ μετὰ τοσῶνδε ἂν μαρ-
τύρων αἰτίαν σχεῖν· τῆς δὲ πόλεως κακῶς βουλευσαμένης, ἰα-
τρὸς ἂν γενέσθαι· καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι· ὃς ἂν τὴν
πατρίδα ὠφελήσῃ ὡς πλεῖστα· ἢ ἑκὼν εἶναι μηδὲν βλάψῃ.
ὁ μὲν νικίας τοιαῦτα εἶπε· τῶν δὲ ἀθηναίων παριόντες οἱ μὲν πλεῖ-
στοι στρατεύειν παρῄνουν· καὶ τὰ ἐψηφισμένα μὴ λύειν· οἱ δέ
τινες καὶ ἀντέλεγον· ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν
ἀλκιβιάδης ὁ κλεινίου· βουλόμενος τῷ τε νικίᾳ ἐναντιοῦ-
σθαι, ὢν καὶ ἐς τἆλλα διάφορος τὰ πολιτικά· καὶ ὅτι αὐτοῦ
διαβόλως ἐμνήσθη· καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν·
καὶ ἐλπίζων σικελίαν τε δι' αὐτοῦ καὶ καρχηδόνα λήψεσθαι.
καὶ τὰ ἴδια ἅμα εὐτυχήσας, χρήμασί τε καὶ δόξῃ ὠφελήσειν.

κα

ὢν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν
ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο· ἔς τε τὰς ἱπποτροφίας
καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν ὕστερον τὴν τῶν ἀ-
θηναίων πόλιν οὐχ ἥκιστα· φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ
τὸ μέγεθος τῆς τε κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν
δίαιταν καὶ τῆς διανοίας, ὧν καθ' ἓν ἕκαστον ἐν ὅτῳ γίγνοιτο ἔ-
πρασσεν, ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν·
καὶ δημοσίᾳ κράτιστα διαθέντα τὰ τοῦ πολέμου, ἰδίᾳ ἕκα-
στοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθεσθέντες καὶ ἄλλοις ἐπι-
τρέψαντες, οὐ διὰ μακροῦ ἔσφηλαν τὴν πόλιν· τότε δ' οὖν
παρελθὼν τοῖς ἀθηναίοις παρῄνει τοιάδε· ἀλκιβιάδου δημηγορία

Καὶ προσήκει μοι μᾶλλον ἑτέρων ὦ ἀθηναῖοι ἄρχειν, ἀνάγκη γὰρ
ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου νικίας καθήψατο· καὶ ἄξιος
ἅμα νομίζω εἶναι· ὧν γὰρ πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προ-
γόνοις μου καὶ ἐμοί, δόξαν φέρει ταῦτα· τῇ δὲ πατρίδι καὶ ὠ-
φέλειαν· οἱ γὰρ ἕλληνες καὶ ὑπὲρ δύναμιν μείζω τὴν πόλιν
ἡμῶν ἐνόμισαν, τῷ ἐμῷ διαπρεπεῖ τῆς ὀλυμπίαζε θεωρίας·
πρότερον ἐλπίζοντες αὐτὴν καταπεπολεμῆσθαι· διότι ἅρ-
ματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω πρότερον ἰδιώτης· ἐ-
νίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην· καὶ τἆλλα
ἀξίως τῆς νίκης παρεσκευασάμην· νόμῳ μὲν γὰρ τιμὴ τὰ
τοιαῦτα· ἐκ δὲ τοῦ δρωμένου καὶ δύναμις ἅμα ὑπονο-
εῖται· καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις, ἢ ἄλλῳ τῳ λαμπρύνο-
μαι, τοῖς μὲν ἀστοῖς φθονεῖται φύσει· πρὸς δὲ τοὺς ξένους
καὶ αὕτη ἰσχὺς φαίνεται· καὶ οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια· ὃς ἂν
τοῖς ἰδίοις τέλεσι μὴ ἑαυτὸν μόνον· ἀλλὰ καὶ τὴν πόλιν ὠφε-
λῇ· οὐδέ γε ἄδικον ἐφ' ἑαυτῷ μέγα φρονοῦντα, μὴ ἴσον εἶναι·
ἐπεὶ καὶ ὁ κακῶς πράσσων, πρὸς οὐδένα τῆς συμφορᾶς
ἰσομοιρεῖ· ἀλλ' ὥσπερ δυσπραγοῦντες οὐ προσαγορευόμεθα

ἐν τῷ ὁμοίῳ τις ἀνεχέσθω, καὶ ὑπὸ τῶν εὐπραγούντων ὑπερφρο-
νούμενος· ἢ τὰ ἴσα νέμων, τὰ ὅμοια ἀνταξιούτω· οἶδα δὲ
τοὺς τοιούτους καὶ ὅσοι ἔν τινος λαμπρότητι προέσχον, ἐν μὲν
τῷ κατ' αὐτοὺς βίῳ λυπηροὺς ὄντας, τοῖς ὁμοίοις μὲν μάλιστα,
ἔπειτα δὲ καὶ τοῖς ἄλλοις ξυνόντας· τῶν δὲ ἔπειτα ἀνθρώπων προσ-
ποίησίν τε ξυγγενείας τισὶ καὶ μὴ οὖσαν καταλιπόντας· καὶ ἧς
ἂν ὦσι πατρίδος, ταύτῃ αὔχησιν· ὡς οὐ περὶ ἀλλοτρίων οὐδὲ ἁμαρ-
τόντων, ἀλλ' ὡς περὶ σφετέρων τε καὶ καλὰ πραξάντων.
ὧν ἐγὼ ὀρεγόμενος καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμενος,
τὰ δημόσια σκοπεῖτε εἴ του χεῖρον μεταχειρίζω· Πελοποννή-
σου γὰρ τὰ δυνατώτατα ξυστήσας ἄνευ μεγάλου ὑμῖν κινδύνου καὶ
δαπάνης, Λακεδαιμονίους ἐς μίαν ἡμέραν κατέστησα ἐν Μαν-
τινείᾳ περὶ τῶν ἁπάντων ἀγωνίσασθαι· ἐξ οὗ καὶ περιγενόμενοι
τῇ μάχῃ, οὐδέπω καὶ νῦν βεβαίως θαρσοῦσι· καὶ ταῦτα ἡ
ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν δοκοῦσα εἶναι ἐς τὴν Πελο-
ποννησίων δύναμιν λόγοις τε πρέπουσιν ὡμίλησε· καὶ ὀργῇ
πίστιν παρασχομένη ἔπεισε· καὶ νῦν μὴ πεφόβησθε αὐτήν· ἀλλ'
ὡς ἐγώ τε ἀκμάζω μετ' αὐτῆς καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ εἶναι,
ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν ὠφελίᾳ, καὶ τὸν ἐς τὴν Σι-
κελίαν πλοῦν μὴ μεταγιγνώσκετε ὡς ἐπὶ μεγάλην δύνα-
μιν ἐσόμενον· ὄχλοις τε γὰρ ξυμμίκτοις πολυανδροῦσιν αἱ
πόλεις· καὶ ῥᾳδίας ἔχουσι τῶν πολιτῶν τὰς μεταβολὰς καὶ
ἐπιδοχάς· καὶ οὐδεὶς δι' αὐτὸ ὡς περὶ οἰκείας πατρίδος, οὔτε τὰ
περὶ τὸ σῶμα ὅπλοις ἐξήρτυται· οὔτε τὰ ἐν τῇ χώρᾳ νομίμοις
κατασκευαῖς· ὅτι δὲ ἕκαστος ἢ ἐκ τοῦ λέγων πείθειν οἴεται, ἢ στα-
σιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν ἄλλην γῆν μὴ κατορθώσας οἰκή-
σειν, ταῦτα ἑτοιμάζεται· καὶ οὐκ εἰκὸς τὸν τοιοῦτον ὅμιλον
οὔτε λόγου μιᾷ γνώμῃ ἀκροᾶσθαι, οὔτε ἐς τὰ ἔργα κοινῶς
τρέπεσθαι· ταχὺ δ' ἂν ὡς ἕκαστοι, εἴ τι καθ' ἡδονὴν λέγοιτο

προσχωροῖεν· ἄλλως τε καὶ εἰ στασιάζουσιν ὥσπερ πυνθανόμεθα·
καὶ μὴν οὐδ᾽ ὁπλῖται οὔτ᾽ ἐκείνοις ὅσοι περικομποῦνται· οὔτε οἱ περικομποῦνται
ἄλλοι Ἕλληνες διεφάνησαν τοσοῦτοι ὄντες ὅσοι ἕκαστοι σφᾶς
αὐτοὺς ἠρίθμουν· ἀλλὰ μέγιστον δὴ αὐτοὺς ἐψευσμένη ἡ Ἑλ-
λάς, μόλις ἐν τῷδε τῷ πολέμῳ ἱκανῶς ὡπλίσθη· τά τε οὖν ἐκεῖ
ἐξ ὧν ἀκοῇ ἐγὼ αἰσθάνομαι, τοιαῦτα· καὶ ἔτι εὐπορώτερα ἔσται·
βαρβάρους τε γὰρ πολλοὺς ἕξομεν· οἳ Συρακοσίων μίσει ξυνε-
πιθήσονται αὐτοῖς· καὶ τὰ ἐνθάδε οὐκ ἐπικωλύσει ἢν ὑμεῖς ὀρθῶς
βουλεύησθε· οἱ γὰρ πατέρες ἡμῶν τοὺς αὐτοὺς τούτους οὕς φασι πο-
λεμίους ὑπολείποντας ἂν ἡμᾶς πλεῖν· καὶ προσέτι τὸν Μῆδον ἐχθρὸν
ἔχοντες, τὴν ἀρχὴν ἐκτήσαντο· οὐκ ἄλλῳ τινὶ ἢ τῇ περιουσίᾳ τοῦ ναυ-
τικοῦ ἰσχύοντες· καὶ νῦν οὔτε ἀνέλπιστοί πω μᾶλλον Πελοπον-
νήσιοι ἐς ἡμᾶς ἐγένοντο, εἴ τε καὶ πάνυ ἔρρωνται, τὸ μὲν ἐς τὴν
γῆν ἡμῶν ἐσβάλλειν, κἂν μὴ ἐκπλεύσωμεν ἱκανοί εἰσι· τῷ δὲ
ναυτικῷ οὐκ ἂν δύναιντο βλάπτειν· ὑπόλοιπον γὰρ ἡμῖν ἐστὶν
ἀντίπαλον ναυτικόν· ὥστε τί ἂν λέγοντες εἰκὸς ἢ αὐτοὶ ἀποκνοῖ-
μεν, ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι μὴ βοηθοῖμεν·
οἷς χρεὼν ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν· καὶ μὴ ἀντι-
τιθέναι ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν· οὐ γὰρ ἵνα δεῦρο ἀντιβοηθῶσι
προσεθέμεθα αὐτούς· ἀλλ᾽ ἵνα τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ
ὄντες δεῦρο κωλύωσιν ἐπιέναι αὐτούς· τήν τε ἀρχὴν οὕτως ἐ-
κτησάμεθα καὶ ἡμεῖς καὶ ὅσοι δὴ ἄλλοι ἦρξαν παραγιγνόμενοι
προθύμως τοῖς ἀεὶ ἢ βαρβάροις ἢ Ἕλλησιν ἐπικαλουμένοις·
ἐπεὶ εἴ γε ἡσυχάζοιεν πάντες ἢ φυλοκρινοῖεν οἷς χρεὼν βοη-
θεῖν, βραχὺ ἄν τι προσκτώμενοι αὐτῇ περὶ αὐτῆς ἂν ταύτης μᾶλ-
λον κινδυνεύοιμεν· τὸν γὰρ προύχοντα οὐ μόνον ἐπιόντα τις
ἀμύνεται· ἀλλὰ καὶ ὅπως μὴ ἔπεισι προκαταλαμβάνει· καὶ
οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βουλόμεθα ἄρχειν· ἀλλ᾽
ἀνάγκη ἐπειδήπερ ἐν τῷδε καθέσταμεν, τοῖς μὲν ἐπιβουλεύειν·

τούς δέ, μή ἀνιέναι διὰ τὸ ἄρχεσθαι ἂν ὑφ' ἑτέρων αὐτοῖς κί-
δυνον εἶναι εἰ μὴ αὐτοὶ ἄλλων ἄρχοιμεν. καὶ οὐκ ἐκ τοῦ αὐτοῦ
ἐπισκεπτέον ὑμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ καὶ τὰ ἐπιτηδεύ-
ματα ἐς τὸ ὁμοῖον μεταλήψεσθε. λογισάμενοι οὖν τάδε μᾶλλον
αὐξήσειν, ἐπ' ἐκεῖνα ἢν ἴωμεν, ποιώμεθα τὸν πλοῦν. ἵνα πελο-
ποννησίων στορέσωμεν τὸ φρόνημα, εἰ δόξομεν ὑπεριδόντες
τὴν ἐν τῷ παρόντι ἡσυχίαν καὶ οὐκ ἀγαπῶντες· καὶ ἐπὶ σικε-
λίαν πλεύσαντες· καὶ ἅμα ἢ τῆς ἑλλάδος τῶν ἐκεῖ προσγενομένων
πάσης τῷ εἰκότι ἄρξομεν· ἢ κακώσομέν γε συρακουσίους, ἐν
ᾧ καὶ αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφελησόμεθα. τὸ δὲ ἀσφαλὲς
καὶ μένειν ἤν τι προχωρῇ καὶ ἀπελθεῖν, αἱ νῆες παρέξουσι.
αὐτοκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων σικελιωτῶν. καὶ
μὴ ὑμᾶς ἡ νικίου τῶν λόγων ἀπραγμοσύνη καὶ διάστασις τοῖς
νέοις ἐς τοὺς πρεσβυτέρους ἀποτρέψῃ. τῷ δὲ εἰωθότι κόσμῳ
ὥσπερ καὶ οἱ πατέρες ἡμῶν, ἅμα νέοι γεραιτέροις βουλεύοντες,
ἐς τάδε ἦραν αὐτά. καὶ νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε προαγα-
γεῖν τὴν πόλιν. καὶ νομίσατε νεότητα μὲν καὶ γῆρας ἄνευ ἀλλή-
λων μηδὲν δύνασθαι. ὁμοῦ δὲ τό τε φαῦλον καὶ τὸ μέσον,
καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκραθὲν μάλιστ' ἂν ἰσχύειν. καὶ τὴν
πόλιν ἂν μὲν ἡσυχάζῃ, τρίψεσθαί τε αὐτήν, ὥσπερ καὶ ἄλλο τι. (περὶ αὑτήν)
καὶ πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι. ἀγωνιζομένην δὲ
αἰεὶ προσλήψεσθαι τὴν ἐμπειρίαν. καὶ τὸ ἀμύνεσθαι οὐ λόγῳ
ἀλλ' ἔργῳ μᾶλλον ξύνηθες ἕξειν. παράπαν τε γιγνώσκω πόλιν
μὴ ἀπράγμονα, τάχιστ' ἄν μοι δοκεῖν ἀπραγμοσύνης μετα-
βολῇ διαφθαρῆναι. καὶ τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους
οἰκεῖν οἳ ἂν τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις ἢν καὶ χείρω ᾖ, ἥκι-
στα διαφόρως πολιτεύωσιν. Τοιαῦτα μὲν ὁ ἀλκιβιάδης
εἶπεν. οἱ δ' ἀθηναῖοι ἀκούσαντες ἐκείνου τε καὶ τῶν ἐγεσταίων
καὶ λεοντίνων φυγάδων, οἳ παρελθόντες ἐδέοντό τε καὶ

τῶν ὁρκίων ὑπομιμνήσκοντες ἱκέτευον βοηθῆσαι σφίσι,
πολλῷ μᾶλλον ἢ πρότερον ὥρμηντο στρατεύειν· καὶ ὁ νικίας γνοὺς
ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἀποτρέψειεν ἔτι· παρα-
σκευῆς δὲ πλήθει ἢν πολλὴν ἐπιτάξειε, τάχ' ἂν μεταστήσειεν
αὐτούς, παρελθὼν αὐτοῖς, αὖθις ἔλεγε τοιάδε· Δημηγορία αὖθις νικίου

ἐπειδὴ πάντως ὁρῶ ὑμᾶς ὦ ἀθηναῖοι ὡρμημένους στρατεύειν,
ξυνενέγκοι μὲν ταῦτα ὡς βουλόμεθα· ἐπὶ δὲ τῷ παρόντι
ἃ γιγνώσκω σημανῶ· ἐπὶ γὰρ πόλεις ὡς ἐγὼ ἀκοῇ αἰσθάνο-
μαι, μέλλομεν ἰέναι μεγάλας· καὶ οὔθ' ὑπηκόους ἀλλήλων,
οὔτε δεομένας μεταβολῆς, ᾗ ἂν ἐκ βιαίου τις δουλείας, ἄσμενος
ἐς ῥᾴω μετάστασιν χωροίη· οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν
εἰκότως ἀντ' ἐλευθερίας προσδεξαμένας· τό τε πλῆθος ὡς ἐν
μιᾷ νήσῳ πολλὰς τὰς ἑλληνίδας· πλὴν γὰρ νάξου καὶ κατά-
νης ἃς ἐλπίζω ἡμῖν προσέσεσθαι κατὰ τὸ λεοντίνων ξυγγενές,
ἄλλαι εἰσὶν ἑπτά· καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρό-
πως μάλιστα τῇ ἡμετέρᾳ δυνάμει· καὶ οὐχ ἥκιστα ἐπὶ ἃς πλέ-
ομεν σελινοῦς καὶ συρακοῦσαι· πολλοὶ μὲν γὰρ τοξόται ἔνεισι
καὶ ὁπλῖται καὶ ἀκοντισταί· πολλαὶ δὲ τριήρεις καὶ ὄχλος ὁ
πληρώσων αὐτάς, χρήματά τε ἔχουσι τὰ μὲν ἴδια· τὰ δὲ ἐν
αὐτοῖς ἱεροῖς ἐστὶ σελινουσίοις· συρακοσίοις δὲ καὶ ἀπὸ βαρ-
βάρων τινῶν ἀπαρχῆς φέρεται· ᾧ δὲ μάλιστα ἡμῶν προέ-
χουσιν, ἵππους τε πολλοὺς κέκτηνται· καὶ σίτῳ οἰκείῳ, καὶ οὐκ
ἐπακτῷ χρῶνται· πρὸς οὖν τὴν τοιαύτην δύναμιν, οὐ ναυτι-
κῆς καὶ οὐ φαύλου στρατιᾶς μόνον δεῖ· ἀλλὰ καὶ πεζὸν πολὺν
ξυμπλεῖν, εἴπερ βουλόμεθα ἄξιον τῆς διανοίας δρᾶν, καὶ
μὴ ὑπὸ ἱππέων πολλῶν εἴργεσθαι τῆς γῆς· ἄλλως τε καὶ ἢν ξυ-
στῶσιν αἱ πόλεις φοβηθεῖσαι· καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φί-
λοι τινὲς γενόμενοι ἄλλοι ἢ ἐγεσταῖοι· ᾧ ἀμυνούμεθα ἱππικῷ·
αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν· ἢ ὕστερον ἐπιμεταπέμπεσθαι

ὃ πρῶτον ἀσκέπτως βουλευσαμένους· αὐτόθεν δὲ παρασκευῇ ἀ
ξιοχρέῳ ἐπιέναι· γνόντας ὅτι πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν
μέλλομεν πλεῖν, καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι· καὶ ὅτ' ἐν
τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἤλθετε ἐπί τινα· ὅθεν ῥᾴδιαι αἱ
κομιδαὶ ἐκ τῆς φιλίας ὧν προσέδει· ἀλλ' ἐς ἀλλοτρίαν πᾶσαν ἀπαρ
τήσοντες· ἐξ ἧς μηνῶν οὐδὲ τεσσάρων τῶν χειμερινῶν ἄγγελον
ῥᾴδιον ἐλθεῖν· ὁπλίτας τε οὖν μοι δοκεῖ χρῆναι ἄγειν πολλοὺς ἡ
μᾶς καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων· τῶν τε ὑπηκόων καὶ ἤν
τινα ἐκ πελοποννήσου δυνώμεθα ἢ πεῖσαι ἢ μισθῷ προσαγαγέ
σθαι· καὶ τοξότας πολλοὺς καὶ σφενδονήτας ὅπως πρὸς τὸ ἐκεί
νων ἱππικὸν ἀντέχωσι· ναυσί τε καὶ πολὺ περιεῖναι. ἵνα καὶ τὰ
ἐπιτήδεια ῥᾷον ἐσκομιζώμεθα· τὸν δὲ καὶ αὐτόθεν σῖτον ἐν ὁλ
κάσι πυροὺς καὶ πεφρυγμένας κριθὰς ἄγειν· καὶ σιτοποιοὺς ἐκ τῶν
μυλώνων πρὸς μέρος ἠναγκασμένους ἐμμίσθους· ἵνα ἤν που
ὑπὸ ἀπλοίας ἀπολαμβανώμεθα, ἔχῃ ἡ στρατιὰ τὰ ἐπιτήδεια·
πολλὴ γὰρ οὖσα οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι· τά τε ἄλλα
ὅσον δυνατὸν ἑτοιμάσασθαι, καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι· μά
λιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν· τὰ δὲ παρ' ἐγεσταίων
ἃ λέγεται ἐκεῖ ἑτοῖμα, νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἑτοῖμα εἶναι·
ἢν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευα
σάμενοι, πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικόν, ἀλλὰ
καὶ ὑπερβαλόντες τοῖς πᾶσι, μόλις οὕτως οἷοί τε ἐσόμεθα τῶν
μὲν κρατεῖν· τὰ δὲ καὶ διασῶσαι· πόλιν τε νομίσαι χρὴ ἐν
ἀλλοφύλοις καὶ πολεμίοις οἰκιοῦντας ἰέναι· οὓς πρέπει τῇ
πρώτῃ ἡμέρᾳ ᾗ ἂν κατάσχωσιν, εὐθὺς κρατεῖν τῆς γῆς· ἢ εἰ
δέναι ὅτι ἢν σφάλλωνται, πάντα πολέμια ἕξουσιν· ὅπερ ἐγὼ
φοβούμενος καὶ εἰδώς· πολλὰ μὲν ἡμᾶς δέον εὖ βουλεύσασθαι,
πλῶ ἔτι δὲ πλείω εὐτυχῆσαι· χαλεπὸν δὲ ἀνθρώπους ὄντας ὅτι ἐλάχιστα
τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βούλομαι ἐκπλεῖν· παρασκευῇ

ἀπὸ τῶν εἰκότων ἀσφαλὴς ἐκπλεῦσαι. ταῦτα γὰρ τῇ τε ξυμπάσῃ
πόλει βεβαιότατα ἡγοῦμαι· καὶ ἡμῖν τοῖς στρατευσομένοις
σωτήρια. εἰ δέ τῳ ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν. ὁ μὲν
νικίας τοσαῦτα εἶπε νομίζων τοὺς ἀθηναίους τῷ πλήθει τῶν
πραγμάτων ἀποτρέψειν, ἢ εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστ'
ἂν οὕτως ἀσφαλῶς ἐκπλεῦσαι. οἱ δὲ τὸ μὲν ἐπιθυμοῦν τοῦ
πλοῦ οὐκ ἐξῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς· πο-
λὺ δὲ μᾶλλον ὥρμηντο· καὶ τοὐναντίον περιέστη αὐτῷ. εὖ τε
γὰρ παραινέσαι ἔδοξε· καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσε-
σθαι· καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι. τοῖς μὲν
γὰρ πρεσβυτέροις ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον, ἢ
οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν. τοῖς δ' ἐν τῇ ἡλικίᾳ
τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας· καὶ εὐέλπιδες ὄντες
σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης, ἔν τε τῷ πα-
ρόντι ἀργύριον οἴσειν καὶ προσκτήσεσθαι δύναμιν· ὅθεν καὶ
ἀΐδιον μισθοφορὰν ὑπάρξειν. ὥστε διὰ τὴν ἄγαν τῶν πλεόνων
ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μὴ ἀντιχειρο-
τονῶν κακόνους δόξειεν εἶναι τῇ πόλει, ἡσυχίαν ἦγε. καὶ τέλος
παρελθών τις τῶν ἀθηναίων καὶ παρακαλέσας τὸν νικίαν, οὐκ
ἔφη χρῆναι προφασίζεσθαι. οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον
ἁπάντων λέγειν ἥντινα αὐτῷ παρασκευὴν οἱ ἀθηναῖοι ψηφί-
σωνται. ὁ δὲ ἄκων μὲν εἶπεν ὅτι καὶ μετὰ τῶν ξυναρχόντων
καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο. ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ,
τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι. αὐτῶν δ' ἀ-
θηναίων ἔσεσθαι ὁπλιταγωγούς, ὅσαι ἂν δοκῶσι· καὶ ἄλ-
λας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι. ὁπλίταις δὲ τοῖς
ξύμπασιν ἀθηναίων καὶ τῶν ξυμμάχων πεντακισχιλίων
μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται καὶ πλέοσι. τὴν δὲ ἄλ-
λην παρασκευὴν ὡς κατὰ λόγον· καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ

καὶ σφενδονητῶν· καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι,
ἑτοιμασάμενοι ἄξειν· ἀκούσαντες δ' οἱ ἀθηναῖοι, ἐψηφίσαντο
εὐθὺς αὐτοκράτορας εἶναι· καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ
πλοῦ τοῦ παντὸς τοὺς στρατηγοὺς πράσσειν ᾗ ἂν αὐτοῖς δοκῇ ἄ
ριστα εἶναι ἀθηναίοις· καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο.
καὶ ἔς τε τοὺς ξυμμάχους ἔπεμπον· καὶ αὐτόθεν καταλόγους
ἐποιοῦντο· ἄρτι δ' ἀνειλήφει ἑαυτὴν ἡ πόλις ἀπὸ τῆς νόσου· καὶ
τοῦ ξυνεχοῦς πολέμου· ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημέ
νης, καὶ ἐς χρημάτων ἄθροισιν διὰ τὴν ἐκεχειρίαν· ὥστε
ῥᾷον πάντα ἐπορίζετο· καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν· ἐν δὲ
τούτῳ ὅσοι ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ ἀθηναίων, εἰσὶ δὲ
κατὰ τὸ ἐπιχώριον ἡ τετράγωνος ἐργασία πολλοὶ καὶ ἐν προ
θύροις καὶ ἐν ἱεροῖς, μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ
πρόσωπα· καὶ τοὺς δράσαντας ᾔδει οὐδείς· ἀλλὰ μεγάλοις
μηνύτροις δημοσίᾳ, οὗτοί τε ἐζητοῦντο· καὶ προσέτι ἐψηφί
σαντο· καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον· μηνύειν
ἀδεῶς τὸν βουλόμενον· καὶ ἀστῶν καὶ ξένων καὶ δούλων· καὶ
τὸ πρᾶγμα μειζόνως ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου οἰωνὸς
ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων
καὶ δήμου καταλύσεως γεγενῆσθαι· μηνύεται γὰρ ἀπὸ μετοί
κων τέ τινων καὶ ἀκολούθων περὶ τῶν ἑρμῶν οὐδέν· ἄλλων δὲ
ἀγαλμάτων περικοπαί τινες ὑπὸ νεωτέρων πρότερον μετὰ παι
διᾶς καὶ οἴνου γεγενημέναι· καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται
ἐν οἰκίαις ἐφ' ὕβρει· ὧν καὶ τὸν ἀλκιβιάδην ἐπῃτιῶντο· καὶ
αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ ἀλκιβιάδῃ ἀχθόμενοι
ἐμποδὼν ὄντι σφίσι, μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προε
στάναι· καὶ νομίσαντες εἰ αὐτὸν ἐξελάσειαν πρῶτοι ἂν εἶναι,
ἐμεγάλυνον καὶ ἐβόων ὡς ἐπὶ δήμου καταλύσει τά τε μυ
στικὰ καὶ ἡ τῶν ἑρμῶν περικοπὴ γένοιτο· καὶ οὐδὲν εἴη αὐτῶν

ὅτι μὴ μετ' ἐκείνου ἐπράχθη· ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην
αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα παρανομίαν· ὁ δ' ἔν τε τῷ παρόντι πρὸς
τὰ μηνύματα ἀπελογεῖτο· καὶ ἑτοῖμος ἦν πρὶν ἐκπλεῖν κρί-
νεσθαι· εἴ τι τούτων εἰργασμένος ἦν· ἤδη γὰρ καὶ τὰ τῆς παρα-
σκευῆς ἐπεπόριστο· καὶ εἰ μὲν τούτων τι εἴργαστο δίκην δοῦναι· εἰ δ'
ἀπολυθείη, ἄρχειν· καὶ ἐπεμαρτύρετο μὴ ἀπόντος πέρι αὐ-
τοῦ διαβολὰς ἀποδέχεσθαι· ἀλλ' ἤδη ἀποκτείνειν εἰ ἀδικεῖ· καὶ
ὅτι σωφρονέστερον εἴη, μὴ μετὰ τοιαύτης αἰτίας πρὶν διαγνῶσι
πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι· οἱ δ' ἐχθροὶ δεδιό-
τες τό τε στράτευμα μὴ εὔνουν ἔχῃ ἢν ἤδη ἀγωνίζηται, ὅ τε δῆ-
μος μὴ μαλακίζηται θεραπεύων, ὅτι δι' ἐκεῖνον οἵ τ' Ἀργεῖοι ξυ-
νεστράτευον, καὶ τῶν Μαντινέων τινές, ἀπέτρεπον καὶ ἀπέ-
σπευδον ἄλλους ῥήτορας ἐνιέντες· οἳ ἔλεγον νῦν μὲν πλεῖν αὐτόν·
καὶ μὴ κατασχεῖν τὴν ἀναγωγήν· ἐλθόντα δὲ κρίνεσθαι ἐν ἡμέ-
ραις ῥηταῖς· βουλόμενοι ἐκ μείζονος διαβολῆς ἣν ἔμελλον
αὐτοῦ ἀπόντος ῥᾷον ποριεῖν, μεταπεμπτὸν κομισθέντα αὐτὸν
ἀγωνίσασθαι· καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην· μετὰ δὲ ταῦτα
θέρους μεσοῦντος ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν· τῶν μὲν
οὖν ξυμμάχων τοῖς πλείστοις καὶ ταῖς σιταγωγοῖς ὁλκάσι καὶ
τοῖς πλοίοις καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρη-
το ἐς Κέρκυραν ξυλλέγεσθαι· ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν
Ἰαπυγίαν τὸν Ἰόνιον κόλπον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι καὶ
εἴ τινες τῶν ξυμμάχων παρῆσαν ἐς τὸν Πειραιᾶ καταβάντες,
ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς ὡς ἀναξόμενοι· ξυγ-
κατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας ὡς εἰπεῖν ὁ ἐν τῇ πόλει καὶ
ἀστῶν καὶ ξένων· οἱ μὲν ἐπιχώριοι τοὺς σφετέρους αὐτῶν ἕκαστοι
προπέμποντες· οἱ μέν, ἑταίρους· οἱ δέ, ξυγγενεῖς· οἱ δέ, υἱεῖς·
καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν· τὰ μέν, ὡς
κτήσοιντο· τοὺς δ' εἴ ποτε ὄψοιντο· ἐνθυμούμενοι ὅσον πλοῦν

ἐκ τῆς σφετέρας ἀπεστέλλοντο· καὶ ἐν τῷ παρόντι καιρῷ ὡς ἤδη ἔ
μελλον μετὰ κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄ
τὰ δεινά, ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ διὰ
τὸ πλῆθος ἑκάστων ὧν ἑώρων τῇ ὄψει ἀνεθάρσουν· οἱ δὲ ξένοι καὶ
ὁ ἄλλος ὄχλος, κατὰ θέαν ἧκεν ὡς ἐπὶ ἀξιόχρεων καὶ ἄπιστον
διάνοιαν· παρασκευὴ γὰρ αὕτη πρώτη ἐκπλεύσασα ἐκ πόλεως μι-
ᾶς δυνάμει ἑλληνικῇ, πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν
ἐς ἐκεῖνον τὸν χρόνον ἐγένετο· ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν καὶ
ἡ ἐπὶ δαυρον μετὰ περικλέους· καὶ ἡ αὐτὴ ἐς ποτίδαιαν μετὰ
ἅγνωνος· οὐκ ἐλάσσων ἦν· τετράκις γὰρ χίλιοι αὐτῶν ἀθηναίων
καὶ τετρακόσιοι ἱππῆς καὶ τριήρεις ἑκατόν· καὶ λεσβίων καὶ χί
πεντήκοντα· καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν· ἀλλὰ ἐπί
τε βραχεῖ πλῷ ὡρμήθησαν· καὶ παρασκευῇ φαύλῃ· οὗτος δὲ ὁ
στόλος ὡς χρόνιός τε ἐσόμενος· καὶ κατ᾽ ἀμφότερα οὗ ἂν δέῃ,
καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθείς· τὸ μὲν ναυτικὸν μεγάλαις
δαπάναις τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ μὲν
δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος· καὶ
ναῦς παρασχόντος κενάς, ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα
δὲ ὁπλιταγωγούς· καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας· τῶν τρι-
ηράρχων ἐπιφοράς τε πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς
θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις· καὶ τἆλλα σημείοις
καὶ κατασκευαῖς πολυτελέσι χρησαμένων· καὶ ἐς τὰ μακρό-
τατα προθυμηθέντος ἑνὸς ἑκάστου, ὅπως αὐτῷ τινὶ εὐπρεπεί-
ᾳ ἡ ναῦς μάλιστα προέξει, καὶ τῷ ταχυναυτεῖν· τὸ δὲ πεζὸν
καταλόγοις τε χρηστοῖς ἐκκριθὲν καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶ-
μα σκευῶν, μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν· ξυ-
νέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ τις ἕκαστος
προσετάχθη· καὶ ἐς τοὺς ἄλλους ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκα-
σθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας, ἢ ἐπὶ πολεμίους παρασκευήν·

ἢ γὰρ εἴ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν καὶ τὴν
στρατευομένων τὴν ἰδίαν· τῆς μὲν πόλεως ὅσα τε ἤδη προυτετελέ
κει καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέστελλε· τῶν δὲ ἰδιωτῶν
ἅ τε περὶ τὸ σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀνηλώκει· καὶ
ὅσα ἔτι ἔμελλεν ἀναλώσειν, χωρὶς δ' ἃ εἰκὸς ἦν καὶ ἄνευ τοῦ ἐκ
δημοσίου μισθοῦ πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον ὡς
ἐπὶ χρόνιον στρατείαν· καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμ
πορος ἔχων ἔπλει, πολλὰ ἂν τάλαντα ηὑρέθη ἐκ τῆς πόλεως τὰ
πάντα ἐξαγόμενα· καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει
καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο· ἢ στρατιᾶς πρὸς οὓς
ἐποιήσαντο ὑπερβολῇ· καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκεί
ας καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπε
χειρήθη· ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν· καὶ ἐπέκειτο πάντα
ἤδη ὅσα ἔμελλον ἔχοντες ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ ὑ
πεσημάνθη· εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς οὐ
κατὰ ναῦν ἑκάστην· ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο· κρα
τῆράς τε κεράσαντες παρ' ἅπαν τὸ στράτευμα καὶ ἐκπώμασι χρυ
σοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες·
ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ἀπὸ τῆς γῆς τῶν τε πολιτῶν
καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσι· παιανίσαντες δὲ καὶ τελε
ώσαντες τὰς σπονδάς, ἀνήγοντο· καὶ ἐπὶ κέρως τὸ πρῶτον
ἐκπλεύσαντες, ἅμιλλαν ἤδη μέχρι αἰγίνης ἐποιοῦντο· καὶ οἱ
μὲν ἐς τὴν κέρκυραν ἔνθαπερ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμ
μάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι· ἐς δὲ τὰς συρα
κούσας ἠγγέλλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου· οὐ
μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν· ἀλλὰ καὶ γενομένης
ἐκκλησίας, ἐλέχθησαν τοιοίδε λόγοι ἀπό τε ἄλλων· τῶν μὲν πιστεύ
όντων, τὰ περὶ τῆς στρατιᾶς τῶν ἀθηναίων· τῶν δέ, τὰ ἐναν
τία λεγόντων· καὶ ἑρμοκράτης ὁ ἕρμωνος παρελθὼν αὐτοῖς

ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεξε καὶ παρῄνει
τοιάδε:

## δημηγορία ἑρμοκράτους

α ἄπιστα μὲν ἴσως ὥσπερ καὶ ἄλλοι δόξω ὑμῖν περὶ τοῦ ἐπίπλου
τῆς ἀληθείας λέγειν· καὶ γιγνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα
εἶναι ἢ λέγοντες ἢ ἀπαγγέλλοντες, οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ
καὶ ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπι-
σχήσω τῆς πόλεως κινδυνευούσης· πείθων γε ἐμαυτὸν σαφέστε-
ρόν τι ἑτέρου εἰδὼς λέγειν· ἀθηναῖοι γὰρ ἐφ' ὑμᾶς ὃ πάνυ θαυ-
μάζετε, πολλῇ στρατιᾷ ὥρμηνται· καὶ ναυτικῇ καὶ πεζικῇ· πρό-
φασιν μὲν ἐγεσταίων ξυμμαχίᾳ καὶ λεοντίνων ξυνοικίσει· τὸ δ'
ἀληθὲς σικελίας ἐπιθυμίᾳ· μάλιστα δὲ τῆς ἡμετέρας πόλεως·
ἡγούμενοι εἰ ταύτην σχοῖεν, καὶ τἆλλα ῥαδίως ἕξειν· ὡς οὖν ἐν
τάχει παρεσομένων ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων ὅτῳ τρόπῳ κάλλι-
στα ἀμυνεῖσθε αὐτούς· καὶ μήτε καταφρονήσαντες ἄφρακτοι
ληφθήσεσθε, μήτε ἀπιστήσαντες τοῦ ξύμπαντος ἀμελήσετε·
εἰ δέ τῳ καὶ πιστά· τὴν τόλμαν καὶ δύναμιν αὐτῶν μὴ ἐκπλαγῇ· οὔ-
τε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τε ἔσονται ἢ πάσχειν· οὔθ' ὅτι με-
γάλῳ στόλῳ ἐπέρχονται ἀνωφελεῖς· ἀλλὰ πρός τε τοὺς ἄλλους σικε-
λιώτας πολὺ ἄμεινον· μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες
ἡμῖν ξυμμαχεῖν· καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς ἢ ἀ-
πράκτους ὧν ἐφίενται ἀπωσώμεθα, οὐ γὰρ δὴ μὴ τύχωσί γε ὧν
προσδέχονται φοβοῦμαι, κάλλιστον δὴ ἔργον ἡμῖν ξυμβή-
σεται· καὶ οὐκ ἀνέλπιστον ἔμοιγε· ὀλίγοι γὰρ δὴ στόλοι μεγά-
λοι ἢ ἑλλήνων ἢ βαρβάρων, πολὺ τῆς ἑαυτῶν ἀπάραντες κα-
τώρθωσαν· οὔτε γὰρ πλείους τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων
ἔρχονται, πάντα γὰρ ὑπὸ δέους ξυνίσταται, ἤν τε δι' ἀπορίαν
τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι· τοῖς ἐπιβουλευθεῖ-
μεγα σιν ὄνομα κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίσωσιν, ὅμως κατα-
λείπουσιν· ὅπερ καὶ ἀθηναῖοι αὐτοὶ οὗτοι τοῦ μήδου παρὰ λόγον

πολλὰ σφαλέντος ἐπὶ τῷ ὀνόματι ὡς ἐπ' ἀθηναίους ηὐξή-
θησαν· καὶ ἡμῖν οὐκ ἀνέλπιστον τὸ τοιοῦτο ξυμβῆναι. θαρσοῦντες
οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα· καὶ ἐς τοὺς σικελοὺς πέμπον-
τες, τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ φιλίαν καὶ ξυμ-
μαχίαν πειρώμεθα ποιεῖσθαι· ἔς τε τὴν ἄλλην σικελίαν πέμπω-
μεν πρέσβεις· δηλοῦντες ὡς κοινὸς ὁ κίνδυνος· καὶ ἐς τὴν ἰταλί-
αν, ὅπως ἢ ξυμμαχίαν ποιώμεθα ἡμῖν· ἢ μὴ δέχωνται ἀθηναίους·
δοκεῖ δέ μοι καὶ ἐς καρχηδόνα ἄμεινον εἶναι πέμψαι· οὐ γὰρ ἀνέλ-
πιστον αὐτοῖς· ἀλλ' αἰεὶ διὰ φόβου εἰσὶ μή ποτε ἀθηναῖοι αὐτοῖς ἐπὶ
τὴν πόλιν ἔλθωσιν· ὥστε τάχ' ἂν ἴσως νομίσαντες εἰ τάδε προήσονται προ
κἂν σφᾶς ἐν πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν, ἤτοι κρυφῇ γε ἢ φανερῶς,
ἢ ἐξ ἑνός γέ του τρόπου ἀμῦναι. δυνατοὶ δὲ εἰσὶ μάλιστα τῶν νῦν
βουληθέντες· χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν
ὅ τε πόλεμος καὶ τἆλλα εὐπορεῖ. πέμπωμεν δὲ καὶ ἐς λακεδαί-
μονα δεόμενοι κατὰ τάχος βοηθεῖν δεῦρο· καὶ τὸν ἐκεῖ πόλεμον
κινεῖν. ὃ δὲ μάλιστα ἐγώ τε νομίζω ἐπίκαιρον· ὑμεῖς τε διὰ τὸ
ξύνηθες ἥσυχον, ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως εἰρήσεται.
σικελιῶται γὰρ εἰ ἐθέλοιμεν ξύμπαντες, εἰ δὲ μή, ὅτι πλεῖστοι
μεθ' ἡμῶν καθελκύσαντες ἅπαν τὸ ὑπάρχον ναυτικὸν μετὰ δυοῖν
μηνοῖν τροφῆς ἀπαντῆσαι ἀθηναίοις ἐς τάραντα καὶ ἄκραν ἰα-
πυγίαν καὶ δῆλον ποιῆσαι αὐτοῖς ὅτι οὐ περὶ τῆς σικελίας πρότερον
ἔσται ὁ ἀγὼν ἢ τοῦ ἐκείνους περαιωθῆναι τὸν ἰόνιον, μάλιστ' ἂν
αὐτοὺς ἐκπλήξαιμεν καὶ ἐς λογισμὸν καταστήσαιμεν, ὅτι ὁρ-
μώμεθα μὲν ἐκ φιλίας χώρας φύλακες· ὑποδέχεται γὰρ ἡ-
μᾶς τάρας. τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι μετὰ
πάσης τῆς παρασκευῆς· χαλεπὸν δὲ διὰ πλοῦ μῆκος ἐν τάξει μεῖ-
ναι· καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη, βραδεῖά τε καὶ κατ' ὀλί-
γον προσπίπτουσα. εἰ δ' αὖ τῷ ταχυναυτοῦντι ἀθροωτέρῳ κουφί-
σαντες προσβάλοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιθοίμεθ' ἂν

κεκινδυνεύκασιν· εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ἀποχωρῆσαι ἡμῖν ἐς τά
ραντα· οἱ δὲ, μετ' ὀλίγων ἐφοδίων ὡς ἐπὶ ναυμαχίαν περαι
ωθέντες, ἀποροῖεν ἂν κατὰ χωρία ἐρῆμα· καὶ ἢ μένοντες
πολιορκοῖντο ἄν, ἢ πειρώμενοι παραπλεῖν, τήν τε ἄλλην πα
ρασκευὴν ἀπολείποιεν ἄν, καὶ τὰ τῶν πόλεων οὐκ ἂν βέβαια,
ἔχοντες εἰ ὑποδέξοιντο, ἀθυμοῖεν. ὥστ' ἔγωγε τούτῳ τῷ λογισ
μῷ ἡγοῦμαι ἀποκλῃομένους αὐτούς, οὐδ' ἂν ἀπᾶραι ἀπὸ κερ
κύρας· ἀλλ' ἢ διαβουλευσαμένους καὶ κατασκοπαῖς χρωμέ
νους ὁπόσοι τέ ἐσμεν καὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς
χειμῶνα· ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ, καταλῦσαι ἂν τὸν
πλοῦν· ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν, ὡς ἐ
γὼ ἀκούω, ἄκοντος ἡγουμένου, καὶ ἀσμένου ἂν πρόφασιν
λαβόντος εἴ τι ἀξιόχρεων ἀφ' ἡμῶν ὀφθείη· ἀγγελλοίμεθα ἂν εὖ
οἶδα ὅτι ἐπὶ τὸ πλέον· τῶν δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ
γνῶμαι ἵστανται· καὶ τοὺς προεπιχειροῦντας ἢ τοῖς γε ἐπιχειροῦσι
προδηλοῦντας ὅτι ἀμυνοῦνται· μᾶλλον πεφόβηνται ἰσοκινδύ
νους ἡγούμενοι· ὅπερ ἂν νῦν ἀθηναῖοι πάθοιεν ἄν· ἐπέρχονται
γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις δικαίως κατεγνωκότες, ὅτι
αὐτοὺς οὐ μετὰ λακεδαιμονίων ἐφθείραμεν· εἰ δ' ἴδοιεν παρὰ γνώ
μην τολμήσαντας· τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν, ἢ τῇ
ἀπὸ τοῦ ἀληθοῦς δυνάμει· πείθεσθε οὖν μάλιστα ταῦτα τολ
μήσαντες· εἰ δὲ μή, ὅτι τάχιστα τἆλλα ἐς τὸν πόλεμον ἑτοιμά
ζειν· καὶ παραστῆναι παντί, τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας,
ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι· τὸ δ' ἤδη τὰς μετὰ φόβου πα
ρασκευὰς ἀσφαλεστάτας νομίσαντας ὡς ἐπὶ κινδύνου πράσ
σειν, χρησιμώτατον ἂν ξυμβῆναι· οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται
καὶ ἐν πλῷ εὖ οἶδ' ὅτι εἰσὶν ἤδη· καὶ ὅσον οὔπω πάρεισιν:
καὶ ὁ μὲν ἑρμοκράτης τοσαῦτα εἶπε· τῶν δὲ συρακοσίων ὁ
δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν· οἱ μὲν, ὡς οὐδενὶ

ἂν τρόπῳ ἔλθοιεν ἀθηναῖοι· οὐδ᾽ ἀληθῆ ἐστὶν ἃ λέγει· τοῖς δὲ, εἰ
καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς ὅτι οὐκ ἂν μεῖζον ἀντι
πάθοιεν· ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες, ἐς γέλωτα ἔ
τρεπον τὸ πρᾶγμα. ὀλίγον δ᾽ ἦν τὸ πιστεῦον τῷ ἑρμοκράτει καὶ
φοβούμενον τὸ μέλλον· παρελθὼν δ᾽ αὐτοῖς ἀθηναγόρας,
ὃς δήμου τε προστάτης ἦν, καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς
πολλοῖς, ἔλεγε τοιάδε·

## Δημηγορία ἀθηναγόρου

Τοὺς μὲν ἀθηναίους ὅστις μὴ βούλεται οὕτω κακῶς φρονῆσαι,
καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε ἐλθόντας, ἢ δειλός ἐ
στιν ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δὲ ἀγγέλλοντας τὰ τοιαῦτα καὶ
περιφόβους ὑμᾶς ποιοῦντας, τῆς μὲν τόλμης οὐ θαυμάζω· τῆς
δὲ ἀξυνεσίας, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι· οἱ γὰρ δεδιότες ἰδίᾳ τι
βούλονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι, ὅπως τῷ κοι
νῷ φόβῳ, τὸ σφέτερον ἐπηλυγάζωνται· καὶ νῦν αὗται αἱ ἀγ
γελίαι τοῦτο δύνανται, οὐκ ἀπὸ ταὐτομάτου· ἐκ δὲ ἀνδρῶν
οἵπερ αἰεὶ τάδε κινοῦσι, ξύγκεινται· ὑμεῖς δὲ ἢν εὖ βουλεύ
ησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι σκοποῦντες λογιεῖσθε τὰ εἰκό
τα· ἀλλ᾽ ἐξ ὧν ἂν ἄνθρωποι δεινοὶ καὶ πολλῶν ἔμπειροι ὥσπερ ἐγὼ
ἀθηναίους ἀξιῶ, δράσειαν· οὐ γὰρ αὐτοὺς εἰκὸς πελοποννη
σίους τε ὑπολιπόντας, καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως
καταλελυμένους, ἐπ᾽ ἄλλον πόλεμον οὐκ ἐλάσσω ἑκόντας
ἐπελθεῖν· ἐπεὶ ἔγωγε ἀγαπᾶν οἴομαι αὐτοὺς, ὅτι οὐχ ἡμεῖς ἐπ᾽
ἐκείνους ἐρχόμεθα, πόλεις τοσαῦται καὶ οὕτω μεγάλαι· εἰ δὲ δὴ
ὥσπερ λέγονται ἔλθοιεν, ἱκανωτέραν ἡγοῦμαι σικελίαν πε
λοποννήσου διαπολεμῆσαι· ὅσῳ κατὰ πάντα ἄμεινον ἐ
ξήρτυται· τὴν δὲ ἡμετέραν πόλιν αὐτὴν τῆς νῦν στρατιᾶς ὥς
φασιν ἐπιούσης, καὶ εἰ δὶς τοσαύτη ἔλθοι, πολὺ κρείσσω εἶναι·
οἷς γ᾽ ἐπίσταμαι οὔθ᾽ ἵππους ἀκολουθήσοντας, οὐδ᾽ αὐτόθεν πορι
σθησομένους εἰ μὴ ὀλίγους τινὰς παρ᾽ ἐγεσταίων· οὔθ᾽ ὁπλίτας

ἰσοπληθεῖς τοῖς ἡμετέροις ἐπὶ νεῶν γε ἐλθόντας. μέγα γὰρ τὸ καὶ αὐταῖς ταῖς ναυσὶ κούφαις, τοσοῦτον πλοῦν κομισθῆναι δεῦρο. τήν τε ἄλλην παρασκευὴν ὅσην δεῖ ἐπὶ πόλιν τοσήνδε πορισθῆναι οὐκ ὀλίγην οὖσαν. ὥστε παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν, εἰ πόλιν ἑτέραν τοσαύτην ὅσαι Συράκουσαί εἰσιν ἔλθοιεν, καὶ ὅμορον οἰκήσαντες τὸν πόλεμον ποιοῖντο, οὐκ ἂν παντάπασι διαφθαρῆναι, ἦ πού γε δὴ ἐν πάσῃ Σικελίᾳ πολεμίᾳ. ξυστήσεται γὰρ στρατοπέδῳ τε ἐκ νεῶν ἱδρυθέντι. καὶ ἐκ σκηνιδίων καὶ ἀναγκαίας παρασκευῆς. οὐκ ἐπὶ πολὺ ἀπὸ τῶν ἡμετέρων ἱππέων ἐξιόντες. τό τε ξύμπαν οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι. τοσούτῳ τὴν ἡμετέραν παρασκευὴν κρείσσω νομίζω. ἀλλὰ ταῦτα ὥσπερ ἐγὼ λέγω οἵ τε ἀθηναῖοι γιγνώσκοντες τὰ σφέτερα αὐτῶν οἶδ' ὅτι σώζουσι. καὶ ἐνθένδε ἄνδρες οὔτε ὄντα οὔτε ἂν γενόμενα λογοποιοῦσιν. οὓς ἐγὼ οὐ νῦν πρῶτον. ἀλλ' ἀεὶ ἐπίσταμαι. ἤτοι λόγοις γε τοιοῖσδε. καὶ ἔτι τούτων κακουργοτέροις ἢ ἔργοις βουλομένους καταπλήξαντας, τὸ ὑμέτερον πλῆθος αὐτοὺς τῆς πόλεως ἄρχειν. καὶ δέδοικα μέντοι μή ποτε πολλὰ πειρῶντες καὶ κατορθώσωσιν. ἡμεῖς δὲ κακοὶ πρὶν ἐν τῷ παθεῖν ὦμεν, προφυλάξασθαί τε καὶ αἰσθόμενοι ἐπεξελθεῖν. τοιγάρτοι δι' αὐτὰ ἡ πόλις ἡμῶν ὀλιγάκις μὲν ἡσυχάζει. στάσεις δὲ πολλὰς καὶ ἀγῶνας, οὐ πρὸς τοὺς πολεμίους πλέονας, ἢ πρὸς αὑτὴν ἀναιρεῖται. τυραννίδας δὲ ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους, ὧν ἐγὼ πειράσομαι ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, μήποτε ἐφ' ἡμῶν τι περιιδεῖν γενέσθαι, ὑμᾶς μὲν τοὺς πολλοὺς πείθων, τοὺς δὲ τὰ τοιαῦτα μηχανωμένους κολάζων, μὴ μόνον αὐτοφώρους, χαλεπὸν γὰρ ἐπιτυγχάνειν, ἀλλὰ καὶ ὧν βούλονται μέν, δύνανται δ' οὔ. τὸν γὰρ ἐχθρὸν, οὐχ ὧν δρᾷ μόνον. ἀλλὰ καὶ τῆς διανοί-

προαισθέσθαι χρὴ ἢ περὶ καὶ μὴ προφυλαξάμενός τις πεί- προλησθ..
σεσθαι. τοὺς δ' αὖ ὀλίγους τὰ μὲν, ἐλέγχων· τὰ δὲ, φυλάσσων·
τὰ δὲ, καὶ διδάσκων. μάλιστα γὰρ δοκῶ ἂν μοι οὕτως ἀποτρέ-
πειν τῆς κακουργίας. καὶ δῆτα ὃ πολλάκις ἐσκεψάμην τί καὶ
βούλεσθε ὦ νεώτεροι. πότερον ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔννομον.
ὁ δὲ νόμος ἐκ τοῦ μὴ δύνασθαι ὑμᾶς μᾶλλον ἢ δυναμέ-
νους ἐτέθη ἀτιμάζειν. ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι,
καὶ πῶς δίκαιον τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι. φήσει τις
δημοκρατίαν οὔτε ξυνετὸν οὔτ' ἴσον εἶναι. τοὺς δὲ ἔχοντας
τὰ χρήματα καὶ ἄρχειν ἄριστα βελτίστους. ἐγὼ δέ φημι πρῶτα
δῆμον ξύμπαν ὠνομάσθαι. ὀλιγαρχίαν δὲ μέρος. ἔπειτα
φύλακας μὲν ἀρίστους εἶναι χρημάτων, τοὺς πλουσίους. βουλεῦ-
σαι δ' ἂν βέλτιστα τοὺς ξυνετούς. κρῖναι δ' ἂν ἀκούσαντας ἄ-
ριστα τοὺς πολλούς. καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ ξύμ-
παντα, ἐν δημοκρατίᾳ ἰσομοιρεῖν. ὀλιγαρχία δὲ τοῖς μὲν
πολλοῖς μεταδίδωσι τῶν κινδύνων. τῶν δ' ὠφελίμων οὐ
πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαντα ἀφελομένη ἔχει. ἃ
ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι προθυμοῦνται ἀδύνατα ἐν
μεγάλῃ πόλει κατασχεῖν. ἀλλ' ἔτι καὶ νῦν ὦ πάντων ἀξυνε-
τώτατοι εἰ μὴ μανθάνετε κακὰ σπεύδοντες, ἢ ἀμαθέστατοί
ἐστε ὧν ἐγὼ οἶδα Ἑλλήνων, ἢ ἀδικώτατοι εἰ εἰδότες τολμᾶτε.
ἀλλ' ἤτοι μαθόντες γε ἢ μεταγνόντες, τὸ τῆς πόλεως ξύμπασι κοι-
νὸν αὔξετε. ἡγησάμενοι τοῦτο μὲν ἂν καὶ ἴσον καὶ πλέον οἱ
ἀγαθοὶ ὑμῶν ἤπερ τὸ τῆς πόλεως πλῆθος μετασχεῖν. εἰ δ' ἄλλα
βουλήσεσθε, καὶ τοῦ παντὸς κινδυνεῦσαι στερηθῆναι. καὶ
τῶν τοιῶνδε ἀγγελιῶν ὡς πρὸς αἰσθανομένους, καὶ μὴ ἐ-
πιτρέψοντας ἀπαλλάγητε. ἡ γὰρ πόλις ἥδε καὶ εἰ ἔρχονται Ἀ-
θηναῖοι ἀμυνεῖται αὐτοὺς ἀξίως αὑτῆς. καὶ στρατηγοί εἰσιν
ἡμῖν οἳ σκέψονται αὐτά. καὶ εἰ μή τι αὐτῶν ἀληθές ἐστιν ὥσπερ

οὐχ ὑπομένουσα πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα καὶ
ἑλομένη ὑμᾶς ἄρχοντας αὐθαίρετον δουλείαν ἐπιβαλέσθαι.
αὐτὴ δὲ ἐφ' αὑτῆς σκοποῦσα τοὺς λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυ-
ναμένους κρινεῖ· καὶ τὴν παροῦσαν ἐλευθερίαν οὐχὶ ἐκ
τοῦ ἀκούειν ἀφαιρεθήσεται· ἐκ δὲ τοῦ ἔργῳ φυλασσομένη
μὴ ἐπιτρέπειν πειράσεται σώζειν: Τοιαῦτα δὲ Ἀθηναγόρας
εἶπε. Τῶν δὲ στρατηγῶν εἷς ἀναστὰς ἄλλον μὲν οὐδένα ἔασε πα-
ρελθεῖν· αὐτὸς δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε: Διαβο-
λὰς μὲν οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους, οὔτε τοὺς
ἀκούοντας ἀποδέχεσθαι· πρὸς δὲ τὰ ἐσαγγελλόμενα μᾶλλον
ὁρᾶν, ὅπως εἷς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις καλῶς τοὺς
ἐπιόντας παρασκευασώμεθα ἀμύνεσθαι· καὶ ἢν ἄρα μη-
δὲν δεήσῃ, οὐδεμία βλάβη τοῦ τε τὸ κοινὸν κοσμηθῆναι
καὶ ἵπποις καὶ ὅπλοις καὶ τοῖς ἄλλοις οἷς ὁ πόλεμος ἀγάλ-
λεται· τὴν δὲ ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν,
καὶ τῶν ἐς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε κατασκοπὴν
καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον· τὰ δὲ καὶ ἐπιμεμελήμεθα
ἤδη· καὶ ὅ τι ἂν αἰσθώμεθα ἐς ὑμᾶς οἴσομεν: Καὶ οἱ μὲν
Συρακόσιοι τοσαῦτα εἰπόντος τοῦ στρατηγοῦ, διελύθησαν
ἐκ τοῦ ξυλλόγου. οἱ δ' Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ αὐτοί τε
καὶ οἱ ξύμμαχοι ἅπαντες ἦσαν· καὶ πρῶτον μὲν ἐπεξέτασιν
τοῦ στρατεύματος καὶ ξύνταξιν ὥσπερ ἔμελλον ὁρμιεῖσθαι
τε καὶ στρατοπεδεύεσθαι οἱ στρατηγοὶ ἐποιήσαντο· καὶ τρία
μέρη νείμαντες ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἅμα πλέ-
οντες ἀπορῶσιν ὕδατος, καὶ λιμένων καὶ τῶν ἐπιτηδείων
ἐν ταῖς καταγωγαῖς. πρός τε τἆλλα εὐκοσμότεροι καὶ ῥᾷ-
ους ἄρχειν ὦσι κατὰ τέλη στρατηγῷ προστεταγμένοι. ἔπειτα δὲ
προύπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς
εἰσομένας αἵτινες σφᾶς τῶν πόλεων δέξονται· εἴρητο

αὐτοῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι καταπλέωσι. μετὰ
δὲ ταῦτα τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες ἐκ τῆς
Κερκύρας, ἐς Σικελίαν ἐπεραιοῦντο, τριήρεσι μὲν ταῖς
πάσαις τέτταρσι καὶ τριάκοντα καὶ ἑκατόν. καὶ δυοῖν ῥοδί-
αιν πεντηκοντόροιν. τούτων ἀττικαὶ μὲν ἦσαν ἑκατόν. ὧν αἱ
μὲν ἑξήκοντα ταχεῖαι. αἱ δ' ἄλλαι στρατιώτιδες. τὸ δὲ ἄλλο ναυ-
τικὸν χίων καὶ τῶν ἄλλων ξυμμάχων. ὁπλίταις δὲ τοῖς ξύμ-
πασιν ἑκατὸν καὶ πεντακισχιλίοις. καὶ τούτων ἀθηναίων μὲν
ἦσαν αὐτῶν πεντακόσιοι μὲν καὶ χίλιοι ἐκ καταλόγου. ἑπτα-
κόσιοι δὲ θῆτες ἐπιβάται τῶν νεῶν. ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνε-
στράτευον. οἱ μὲν τῶν ὑπηκόων. οἱ δ' ἀργείων πεντακόσιοι. καὶ
μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι. τοξό-
ταις δὲ τοῖς πᾶσιν ὀγδοήκοντα καὶ τετρακοσίοις. καὶ τούτων
κρῆτες οἱ ὀγδοήκοντα ἦσαν. καὶ σφενδονήταις ῥοδίων ἑπτα-
κοσίοις. καὶ μεγαρεῦσι ψιλοῖς φυγάσιν εἴκοσι καὶ ἑκατόν. καὶ
ἱππαγωγῷ μιᾷ τριάκοντα ἀγούσῃ ἱππέας. τοσαύτη ἡ πρώτη παρα-
σκευὴ πρὸς τὸν πόλεμον διέπλει. τούτοις δὲ τὰ ἐπιτήδεια ἄγου-
σαι, ὁλκάδες μὲν τριάκοντα σιταγωγοί. καὶ τοὺς σιτοποιοὺς ἔ-
χουσαι. καὶ λιθολόγους καὶ τέκτονας. καὶ ὅσα ἐς τειχισμὸν ἐρ-
γαλεῖα. πλοῖα δὲ ἑκατὸν ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλκάδων
ξυνέπλει. πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυ-
νηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα. ἃ τότε πάντα
ἐκ τῆς Κερκύρας ξυνδιέβαλε τὸν ἰόνιον κόλπον. καὶ προσ-
βαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν ἰαπυγίαν καὶ
πρὸς τάραντα καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν
ἰταλίαν. τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ οὐδὲ
ἄστει. ὕδατι δὲ καὶ ὅρμῳ. τάραντος δὲ καὶ λοκρῶν. οὐδὲ τού-
τοις, ἕως ἀφίκοντο ἐς ῥήγιον τῆς ἰταλίας ἀκρωτήριον. καὶ
ἐνταῦθα ἤδη ἠθροίζοντο. καὶ ἔξω τῆς πόλεως ὡς αὐτοὺς ἔσω

οὐκ ἐδέχοντο, στρατόπεδόν τε ποιησάμενοι ἐς τὸ τῆς ἀρτέμιδος
ἱερόν· οὗ αὐτοῖς καὶ ἀγορὰν παρεῖχον· καὶ τὰς ναῦς ἀνελκύ-
σαντες ἡσύχασαν· καὶ πρός τε τοὺς ῥηγίνους λόγους ἐποιήσαντο·
ἀξιοῦντες χαλκιδέας ὄντας, χαλκιδεῦσιν οὖσι λεοντίνοις βοη-
θεῖν· οἱ δὲ, οὐδὲ μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι· ἀλλ' ὅτι ἂν καὶ
τοῖς ἄλλοις ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν· οἱ δὲ, πρὸς τὰ
ἐν τῇ σικελίᾳ πράγματα ἐσκόπουν, ὅτῳ τρόπῳ ἄριστα προσοί-
σονται· καὶ τὰς προπλους ναῦς ἐκ τῆς ἐγέστης ἅμα προσέμενον.
βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων, εἰ ἔστιν ἃ ἔλεγον ἐν ταῖς
ἀθήναις οἱ ἄγγελοι· τοῖς δὲ συρακοσίοις ἐν τούτῳ πολλαχόθεν
τε ἤδη καὶ ἀπὸ τῶν κατασκόπων σαφῆ ἠγγέλλετο ὅτι ἐν ῥη-
γίῳ αἱ νῆες εἰσί· καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ
γνώμῃ· καὶ οὐκέτι ἠπίστουν· καὶ ἔς τε τοὺς σικελοὺς περιέπεμ-
πον, ἔνθα μὲν, φύλακας· πρὸς δὲ τοὺς πρέσβεις· καὶ ἐς τὰ πε-
ριπόλια τὰ ἐν τῇ χώρᾳ φρουρὰς ἐσεκόμιζον· τά τε ἐν τῇ πόλει
ὅπλων ἐξετάσει καὶ ἵππων ἐσκόπουν εἰ ἐντελῆ ἐστί· καὶ τἆλ-
λα ὡς ἐπὶ ταχεῖ πολέμῳ· καὶ ὅσον οὐ παρόντι καθίσταντο· αἱ
δὲ ἐκ τῆς ἐγέστης αἱ τρεῖς νῆες αἱ πρόπλοι, παραγίγνονται τοῖς ἀθη-
ναίοις ἐς τὸ ῥήγιον· ἀγγέλλουσαι ὅτι τἆλλα μὲν οὐκ ἔστι χρή-
ματα ἃ ὑπέσχοντο· τριάκοντα δὲ μόνα φαίνονται τάλαντα·
καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε
πρῶτον ἀντεκεκρούκει· καὶ οἱ ῥηγῖνοι οὐκ ἐθελήσαντες ξυστρ-
ατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν· καὶ εἰκὸς ἦν μάλιστα λεοντί-
νων τε ξυγγενεῖς ὄντας καὶ σφίσιν αἰεὶ ἐπιτηδείους· καὶ τῷ μὲν νικίᾳ
προσδεχομένῳ ἦν τὰ παρὰ τῶν ἐγεσταίων· τοῖν δὲ ἑτέροιν καὶ
ἀλογώτερα· οἱ δὲ ἐγεσταῖοι τοιόνδε τι ἐξετεχνήσαντο, ὅτε οἱ
πρῶτοι πρέσβεις τῶν ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν
τῶν χρημάτων· ἔς τε τὸ ἐν ἔρυκι ἱερὸν τῆς ἀφροδίτης ἀγαγόντες
αὐτοὺς, ἐπέδειξαν τὰ χρήματα, φιάλας τε καὶ οἰνοχόας καὶ

θυμιατήρια καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην· ἃ ὄντα ἀργυρᾶ
πολλῷ πλείω τὴν ὄψιν ἀπ' ὀλίγης δυνάμεως παρείχοντο· καὶ ἰδίᾳ
ξενίσεις ποιούμενοι τῶν τριηριτῶν, τά τε ἐξ αὐτῆς ἐγέστης ἐκπώ
ματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες, καὶ τὰ ἐκ τῶν ἐγγὺς
πόλεων καὶ φοινικικῶν καὶ ἑλληνίδων αἰτησάμενοι, ἐσέφε
ρον ἐς τὰς ἑστιάσεις ὡς οἰκεῖα ἕκαστοι· καὶ πάντων ὡς ἐπὶ τὸ πο
λὺ τοῖς αὐτοῖς χρωμένων, καὶ πανταχοῦ πολλῶν φαινομένων,
μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριήρων ἀθηναίοις παρεῖχε·
καὶ ἀφικόμενοι ἐς τὰς ἀθήνας, διεθρόησαν ὡς χρήματα
πολλὰ ἴδοιεν· καὶ οἱ μὲν, αὐτοί τε ἀπατηθέντες, καὶ τοὺς ἄλλους
τότε πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λόγος ὅτι ἐν τῇ ἐγέστῃ οὐκ εἴη τὰ
χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν· οἱ δὲ στρα
τηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο· καὶ νικίου μὲν ἦν γνώμη
πλεῖν ἐπὶ σελινοῦντα πάσῃ τῇ στρατιᾷ, ἐφ' ὅπερ μάλιστα ἐπέμ
φθησαν· καὶ ἢν μὲν παρέχωσι χρήματα παντὶ τῷ στρατεύματι ἐγεσταῖοι
πρὸς ταῦτα βουλεύεσθαι· εἰ δὲ μή, ταῖς ἑξήκοντα ναυσὶν ὅσας
περ ᾐτήσαντο, ἀξιοῦν διδόναι αὐτοὺς τροφήν· καὶ παραμείναν
τας σελινουντίους ἢ βίᾳ ἢ ξυμβάσει διαλλάξαι αὐτοῖς· καὶ οὕτω
παραπλεύσαντας τὰς ἄλλας πόλεις καὶ ἐπιδείξαντας μὲν τὴν
δύναμιν τῆς ἀθηναίων πόλεως, δηλώσαντας δὲ τὴν ἐς τοὺς φί
λους καὶ ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε· ἢν μή τι
δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου, ἢ λεοντίνους οἷοί τε ὦσιν ὠ
φελῆσαι, ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι· καὶ τῇ
πόλει δαπανῶντας τὰ οἰκεῖα μὴ κινδυνεύειν· ἀλκιβιάδης δὲ
οὐκ ἔφη χρῆναι τοσαύτῃ δυνάμει ἐκπλεύσαντας αἰσχρῶς καὶ
ἀπράκτους ἀπελθεῖν· καὶ ἔς τε τὰς πόλεις ἐπικηρυκεύεσθαι
πλὴν σελινοῦντος καὶ συρακουσῶν, τὰς ἄλλας· καὶ πειρᾶ
σθαι καὶ τοὺς σικελοὺς τοὺς μὲν, ἀφιστάναι ἀπὸ τῶν συρακου
σίων· τοὺς δέ, φίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ στρατιὰν ἔχωσι

πρῶτον δὲ πείθειν μεσσηνίους· ἐν πόρῳ γὰρ μάλιστα καὶ προσ-
βολῇ εἶναι αὐτοὺς τῆς σικελίας· καὶ λιμένα καὶ ἐφόρμησιν
τῇ στρατιᾷ ἱκανωτάτην ἔσεσθαι· προσαγαγομένους δὲ τὰς
πόλεις· εἰδότας μεθ' ὧν τις πολεμήσει, οὕτως ἤδη συρακού-
σαις καὶ σελινοῦντι ἐπιχειρεῖν· ἢν μὴ οἱ μὲν ἐγεσταίοις ξυμ-
βαίνωσιν· οἱ δὲ, λεοντίνους ἐῶσι κατοικίζειν· λάμαχος δὲ
ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ συρακούσας, καὶ πρὸς τῇ
πόλει ὡς τάχιστα τὴν μάχην ποιεῖσθαι· ἕως ἔτι ἀπαράσκευοί
τε εἰσὶ καὶ μάλιστα ἐκπεπληγμένοι· τὸ γὰρ πρῶτον πᾶν
στράτευμα δεινότατον εἶναι· ἢν δὲ χρονίσῃ, πρὶν ἐς ὄψιν
ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦντας ἀνθρώπους καὶ τῇ ὄψει κατα-
φρονεῖν μᾶλλον· αἰφνίδιοι δὲ ἢν προσπέσωσιν, ἕως ἔτι
περιδεεῖς προσδέχονται, μάλιστ' ἂν σφᾶς περιγενέσθαι· καὶ
κατὰ πάντα ἂν αὐτοὺς ἐκφοβῆσαι τῇ τε ὄψει, πλεῖστοι γὰρ ἂν
νῦν φανῆναι, καὶ τῇ προσδοκίᾳ ὧν πείσονται· μάλιστα δ' ἂν
αὐτῷ αὐτίκα κινδύνῳ τῆς μάχης· εἰκὸς δὲ εἶναι καὶ ἐν τοῖς
ἀγροῖς πολλοὺς ἀποληφθῆναι ἔξω διὰ τὸ ἀπιστεῖν σφᾶς μὴ
ἥξειν· καὶ ἐσκομιζομένων αὐτῶν τὴν στρατιὰν, μὴ ἀπορή-
σειν χρημάτων, ἢν πρὸς τῇ πόλει κρατοῦσα καθέζηται· τούς
τε ἄλλους σικελιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις οὐ ξυμ-
μαχήσειν καὶ σφίσι προσιέναι· καὶ οὐ διαμελλήσειν περι-
σκοποῦντας ὁπότεροι κρατήσουσι· ναύσταθμον δὲ ἐπανα-
χωρήσαντας καὶ ἐφορμηθέντας, μέγαρα ἔφη χρῆναι ποι-
εῖσθαι· ἃ ἦν ἐρῆμα· ἀπέχοντα συρακουσῶν οὔτε πλοῦν
πολὺν, οὔτε ὁδόν· λάμαχος μὲν ταῦτα εἰπών, ὅμως προ-
σέθετο αὐτὸς τῇ ἀλκιβιάδου γνώμῃ· μετὰ δὲ τοῦτο ἀλκι-
βιάδης τῇ αὐτοῦ νηὶ διαπλεύσας ἐς μεσσήνην· καὶ λό-
γους ποιησάμενος περὶ ξυμμαχίας πρὸς αὐτούς, ὡς οὐκ ἔπει-
θεν, ἀλλ' ἀπεκρίναντο, πόλει μὲν ἂν οὐ δέξασθαι, ἀγορὰν

δ' ἔξω παρέξειν, ἀπέπλει ἐς τὸ ῥήγιον· καὶ εὐθὺς ξυμπλη-
ρώσαντες ἑξήκοντα ναῦς ἐκ πασῶν οἱ στρατηγοί. καὶ τὰ ἐπι-
τήδεια λαβόντες, παρέπλεον ἐς νάξον, τὴν ἄλλην στρατιὰν
ἐν ῥηγίῳ καταλιπόντες· καὶ ἕνα σφῶν αὐτῶν· ναξίων δὲ
δεξαμένων τῇ πόλει· παρέπλεον ἐς κατάνην· καὶ ὡς αὐτοὺς
οἱ καταναῖοι οὐκ ἐδέχοντο. ἐνῆσαν γὰρ αὐτόθι ἄνδρες τὰ
συρακουσίων βουλόμενοι, ἐκομίσθησαν ἐπὶ τὸν τηρίαν
ποταμόν· καὶ αὐλισάμενοι τῇ ὑστεραίᾳ ἐπὶ συρακούσας ἔ-
πλεον· ἐπὶ κέρως ἔχοντες τὰς ἄλλας ναῦς· δέκα δὲ τῶν νε-
ῶν προύπεμψαν ἐς τὸν μέγαν λιμένα, πλεῦσαί τε καὶ κατα-
σκέψασθαι εἴ τι ναυτικὸν ἐστὶ καθειλκυσμένον· καὶ κηρῦξαι
ἀπὸ τῶν νεῶν προσπλεύσαντας ὅτι ἀθηναῖοι ἥκουσι λεοντίνους
ἐς τὴν ἑαυτῶν κατοικιοῦντες κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν·
τοὺς οὖν ὄντας ἐν συρακούσαις λεοντίνων, ὡς παρὰ φίλους καὶ
εὐεργέτας ἀθηναίων, ἀδεῶς ἀπιέναι· ἐπεὶ δ' ἐκηρύχθη καὶ
κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας καὶ τὰ περὶ τὴν
χώραν, ἐξ ἧς αὐτοῖς ὁρμωμένοις πολεμητέα ἦν, ἀπέπλευ-
σαν πάλιν ἐς κατάνην· καὶ ἐκκλησίας γενομένης, τὴν μὲν στρα-
τιὰν οὐκ ἐδέχοντο οἱ καταναῖοι· τοὺς δὲ στρατηγοὺς ἐσελθόντας
ἐκέλευον εἴ τι βούλονται εἰπεῖν· καὶ λέγοντος τοῦ ἀλκιβιάδου καὶ
τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τετραμμένων. οἱ στρατιῶται
πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαθον διελόντες·
καὶ ἐσελθόντες ἠγόραζον ἐς τὴν πόλιν· τῶν δὲ καταναίων
οἱ μὲν τὰ τῶν συρακοσίων φρονοῦντες, ὡς εἶδον τὸ στράτευμα
ἔνδον, εὐθὺς περιδεεῖς γενόμενοι, ὑπεξῆλθον οὐ πολλοί τινες.
οἱ δὲ ἄλλοι ἐψηφίσαντο ξυμμαχίαν τοῖς ἀθηναίοις· καὶ τὸ ἄλλο
στράτευμα ἐκέλευον ἐκ ῥηγίου κομίζειν· μετὰ δὲ τοῦτο πλεύ-
σαντες οἱ ἀθηναῖοι ἐς τὸ ῥήγιον πάσῃ ἤδη τῇ στρατιᾷ, ἄραντες
ἐς τὴν κατάνην, ἐπειδὴ ἀφίκοντο, κατεσκευάζοντο τὸ στρα-

στρατόπεδον· ἐσηγγέλλετο δὲ αὐτοῖς ὅτι ἡ Καμαρίνη, ὡς εἰ
ἔλθοιεν προσχωροῖ ἄν· καὶ ὅτι Συρακούσιοι πληροῦσι ναυ-
τικόν· ἁπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν μὲν πρῶτον
ἐπὶ Συρακούσας· καὶ ὡς οὐδὲν ηὗρον ναυτικὸν πληρού-
μενον, παρεκομίζοντο αὖθις ἐπὶ Καμαρίνης· καὶ σχόντες
ἐς τὸν αἰγιαλὸν ἐπεκηρυκεύοντο· οἱ δέ, οὐκ ἐδέχοντο· λέ-
γοντες σφίσι τὰ ὅρκια εἶναι, μιᾷ νηῒ καταπλεόντων Ἀθη-
ναίων δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν· ἄπρα-
κτοι δὲ γενόμενοι ἀπέπλεον· καὶ ἀποβάντες κατά τι τῆς Συ-
ρακουσίας καὶ ἁρπαγὴν ποιησάμενοι, τῶν Συρακουσίων
ἱππέων βοηθησάντων καὶ τῶν ψιλῶν τινας ἐσκεδασμένους
διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην· καὶ καταλαμ-
βάνουσι τὴν Σαλαμινίαν ναῦν, ἐκ τῶν Ἀθηνῶν ἥκουσαν ἐπὶ
Ἀλκιβιάδην ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ
πόλις ἐνεκάλει· καὶ ἐπ᾽ ἄλλους τινὰς τῶν στρατιωτῶν τῶν με-
τ᾽ αὐτοῦ μεμηνυμένων περὶ τῶν μυστηρίων ὡς ἀσεβούντων·
τῶν δέ, καὶ περὶ τῶν Ἑρμῶν· οἱ γὰρ Ἀθηναῖοι ἐπειδὴ ἡ στρα-
τιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον ζήτησιν ἐποιοῦντο τῶν περὶ
τὰ μυστήρια· καὶ τῶν περὶ τὰς Ἑρμᾶς δρασθέντων· καὶ οὐ
δοκιμάζοντες τοὺς μηνυτάς, ἀλλὰ πάντα ὑπόπτως ἀποδεχό-
μενοι διὰ πονηρῶν ἀνθρώπων πίστιν, πάνυ χρηστοὺς ἀνθρώπους ξυλ-
λαμβάνοντες, κατέδουν· χρησιμώτερον ἡγούμενοι εἶναι
βασανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν ἢ διὰ μηνυτοῦ πονηρί-
αν τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον
διαφυγεῖν· ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου
καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην
καὶ προσέτι οὐδ᾽ ὑφ᾽ ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν,
ἀλλ᾽ ὑπὸ Λακεδαιμονίων, ἐφοβεῖτο αἰεὶ καὶ πάντα ὑπόπτως
ἐλάμβανε· τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα,

δι' ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη· ἣν ἐγὼ ἐπὶ πλέον διηγησάμενος ἀποφανῶ· οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς ἀθηναίους περὶ τῶν σφετέρων τυράννων, οὐδὲ περὶ τοῦ γενομένου ἀκριβὲς οὐδὲν λέγοντας· πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τυραννίδι, οὐχ ἵππαρχος ὥσπερ οἱ πολλοὶ οἴονται, ἀλλ' ἱππίας πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν· γενομένου δὲ ἁρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ, ἀριστογείτων ἀνὴρ τῶν ἀστῶν μέσος πολίτης ἐραστὴς ὢν εἶχεν αὐτόν· πειραθεὶς δὲ ὁ ἁρμόδιος ὑπὸ ἱππάρχου τοῦ πεισιστράτου καὶ οὐ πεισθείς, καταγορεύει τῷ ἀριστογείτονι· ὁ δὲ, ἐρωτικῶς περιαλγήσας καὶ φοβηθεὶς τὴν ἱππάρχου δύναμιν μὴ βίᾳ προσαγάγηται αὐτόν· ἐπιβουλεύει εὐθὺς ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως καταλύσειν τὴν τυραννίδα· καὶ ἐν τούτῳ ὁ ἵππαρχος ὡς αὖθις πειράσας οὐδὲν μᾶλλον ἔπειθε τὸν ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶν, ἐν τόπῳ δέ τινι ἀφανεῖ· ὡς οὐ διὰ τοῦτο δὴ παρεσκευάζετο προπηλακιῶν αὐτόν· οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς· ἀλλ' ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν· καὶ ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων· τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν· καὶ τοὺς πολέμους διέφερον· καὶ ἐς τὰ ἱερὰ ἔθυον· τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο· πλὴν καθ' ὅσον αἰεί τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι· καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαύσιον ἀθηναίοις ἀρχήν, καὶ πεισίστρατος ὁ ἱππίου τοῦ τυραννεύσαντος υἱὸς τοῦ πάππου ἔχων τὸ ὄνομα· ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε· καὶ τὸν τοῦ ἀπόλλωνος ἐν πυθίῳ· καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆμος ἀθηναίων μεῖζον μῆκος τοῦ βωμοῦ, ἠφάνισε τοὐπίγραμμα· τοῦ δὲ ἐν πυθίου ἔτι καὶ νῦν δῆλον

„ ἐστὶν ἀμυδροῖς γράμμασι λέγον τάδε· μνῆμα τόδ' ἧς ἀρχῆς
„ Πεισίστρατος Ἱππίου υἱός, θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τε
μένει· ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ
ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι· γνοίη δ' ἄν τις καὶ αὐ
τῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται γνησίων ἀδελφῶν
γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυ
ράννων ἀδικίας, ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα· ἐν ᾗ
Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται· Ἱππίου
δὲ πέντε· οἳ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλίου τοῦ Ὑπεροχίδου
θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον
γῆμαι· καὶ ἐν τῇ πρώτῃ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα·
οὐδὲ τοῦτο ἀπεοικότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ
τυραννεῦσαι· οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας
τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ
ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο· ἀλλὰ καὶ
διὰ τὸ πρότερον ξύνηθες τοῖς μὲν πολίταις φοβερόν· ἐς δὲ
τοὺς ἐπικούρους ἀκριβές, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς
κατεκράτησε· καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν·
ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ· Ἱππάρχῳ δὲ
ξυνέβη τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν
τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν· τὸν δ' οὖν Ἁρ
μόδιον ἀπαρνηθέντα τὴν πείρασιν ὥσπερ διενοεῖτο, πρου
πηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ κόρην ἐπαγγείλαντες ἥ
κειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινι, ἀπήλασαν λέγοντες
οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ τὸ μὴ ἀξίαν εἶναι· χαλεπῶς
δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου, πολλῷ δὴ μᾶλλον καὶ Ἀριστο
γείτων παρωξύνετο· καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνε
πιθησομένους τῷ ἔργῳ ἐπέπρακτο· περιέμενον δὲ Πανα
θήναια τὰ μεγάλα· ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο

ὑπὸ πλείστων τῶν πολιτῶν τὴν πομπὴν πέμψαντας ἀθρόους γενέσθαι·
καὶ ἔδει ἄρξαι μὲν αὐτούς· ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς
τοὺς δορυφόρους ἐκείνους· ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκό-
τες ἀσφαλείας ἕνεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ προειδότας εἰ
καὶ ὁποσοιοῦν τολμήσειαν ἐκ τοῦ παραχρῆμα, ἔχοντάς γε
ὅπλα, ἐθελήσειν σφᾶς αὐτοὺς ξυνελευθεροῦν· καὶ ὡς ἐ-
πῆλθεν ἡ ἑορτή, ἱππίας μὲν ἔξω ἐν τῷ κεραμεικῷ καλουμένῳ
μετὰ τῶν δορυφόρων διεκόσμει ὡς ἕκαστα ἐχρῆν τῆς πομ-
πῆς προϊέναι· ὁ δὲ ἁρμόδιος καὶ ἀριστογείτων ἔχοντες ἤδη
τὰ ἐγχειρίδια, ἐς τὸ ἔργον προῄεσαν· καὶ ὡς εἶδόν τινα τῶν
ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ ἱππίᾳ, ἦν δὲ
πᾶσιν εὐπρόσοδος ὁ ἱππίας, ἔδεισαν καὶ ἐνόμισαν μεμηνῦ-
σθαί τε καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσεσθαι· τὸν λυπήσαντα
οὖν σφᾶς καὶ δι᾽ ὅνπερ πάντα ἐκινδύνευον, ἐβούλοντο πρό-
τερον εἰ δύναιντο προτιμωρήσασθαι· καὶ ὥσπερ εἶχον ὥρμη-
σαν ἔσω τῶν πυλῶν· καὶ περιέτυχον τῷ ἱππάρχῳ παρὰ τὸ λεω-
κόρειον καλούμενον, εὐθὺς ἀπερισκέπτως προσπεσόντες, καὶ
ὡς ἂν μάλιστα δι᾽ ὀργῆς ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος,
ἔτυπτον καὶ ἀποκτείνουσιν αὐτόν· καὶ ὁ μὲν τοὺς δορυφό-
ρους τὸ αὐτίκα διαφεύγει ὁ ἀριστογείτων, ξυνδραμόντος τοῦ
ὄχλου· καὶ ὕστερον ληφθεὶς οὐ ῥᾳδίως διετέθη· ἁρμόδιος
δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται· ἀγγελθέντος δὲ ἱππίᾳ ἐς τὸ
κεραμεικόν, οὐκ ἐπὶ τὸ γενόμενον, ἀλλ᾽ ἐπὶ τοὺς πομπέας τοὺς ὁ-
πλίτας πρότερον ἢ αἰσθέσθαι αὐτοὺς ἄπωθεν ὄντας, εὐθὺς
ἐχώρησε· καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμ-
φοράν, ἐκέλευσεν αὐτούς, δείξας τι χωρίον ἀπελθεῖν ἐς αὐτὸ
ἄνευ τῶν ὅπλων· καὶ οἱ μέν, ἀνεχώρησαν ἄνευ τῶν ὅπλων·
οἰόμενοί τι ἐρεῖν αὐτόν· ὁ δέ, τοῖς ἐπικούροις φράσας τὰ
ὅπλα ὑπολαβεῖν, ἐξελέγετο εὐθὺς οὓς ἐπῃτιᾶτο· καὶ εἴ τις

δὲ ἔδει ἐγχειρίδιον ἔχων· μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθε-
σαν τὰς προπομπὰς ποιεῖν. τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν
λύπην. ἥ τε ἀρχὴ τῆς ἐπιβουλῆς, καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ
παραχρῆμα περιδεοῦς, ἁρμοδίῳ καὶ ἀριστογείτονι ἐγένετο.
τοῖς δὲ ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέ-
στη. καὶ ὁ ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν, τῶν τε πολιτῶν
πολλοὺς ἀπέκτεινε. καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο εἴ ποθεν
ἀσφάλειάν τινα ὁρῴη μεταβολῆς γενομένης ὑπάρχουσάν
οἱ. ἱππόκλου γοῦν τοῦ λαμψακηνοῦ τυράννου αἰαντίδῃ
τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα ἀρχεδίκην ἀθη-
ναῖος ὢν λαμψακηνῷ ἔδωκεν. αἰσθανόμενος αὐτοὺς παρὰ
βασιλεῖ δαρείῳ μέγα δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν λαμψά-
ἐπίγραμμα „ κῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε· ἀνδρὸς ἀριστεύσαντος
„ ἐν ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ ἱππίου ἀρχεδίκην ἥδε κέκευθε
„ κόνις. ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων παί-
„ δων τ' οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην. τυραννεύσας δὲ ἔτη τρία
ἱππίας ἔτι ἀθηναίων καὶ παυσθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ λακεδαι-
μονίων καὶ ἀλκμαιωνιδῶν τῶν φευγόντων, ἐχώρει ὑπόσπον-
δος ἔς τε σίγειον καὶ παρ' αἰαντίδην ἐς λάμψακον. ἐκεῖθεν δὲ
ὡς βασιλέα δαρεῖον. ὅθεν καὶ ὁρμώμενος ἐς μαραθῶνα,
ὕστερον ἔτει εἰκοστῷ ἤδη γέρων ὢν, μετὰ μήδων ἐστράτευσεν.
ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν ἀθηναίων, καὶ μιμνησκό-
μενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλεπὸς ἦν τότε καὶ ὑπό-
πτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας. καὶ πάν-
τα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ
πεπρᾶχθαι. καὶ ὡς αὐτῶν διὰ τὸ τοιοῦτον ὀργιζομένων, πολ-
λοί τε καὶ ἀξιόλογοι ἄνδρες ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν. καὶ
οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον
ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους ἔτι ξυλλαμβάνειν, ἐνταῦθα

ἀναπείθεται δὲ εἷς τῶν δεδεμένων, ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι
ὑπὸ τῶν ξυνδεδεμένων τινός, εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι
εἴτε καὶ οὔ· ἐπ' ἀμφότερα γὰρ εἰκάζεται, τὸ δὲ σαφὲς οὐδεὶς
οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον.
λέγων δὲ ἔπεισεν αὐτὸν ὡς χρή, εἰ μὴ καὶ δέδρακεν, αὑτόν τε
ἄδειαν ποιησάμενον σῶσαι, καὶ τὴν πόλιν τῆς παρούσης ὑπο-
ψίας παῦσαι· βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολο-
γήσαντι μετ' ἀδείας, ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. καὶ ὁ μὲν
αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν· ὁ δὲ
δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος λαβών, ὡς ᾤετο, τὸ σαφὲς· καὶ
δεινὸν ποιούμενοι πρότερον εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ
πλήθει μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλλους με-
τ' αὐτοῦ ὅσων μὴ κατηγορήκει, ἔλυσαν· τοὺς δὲ καταιτιαθέν-
τας κρίσεις ποιήσαντες, τοὺς μὲν ἀπέκτειναν ὅσοι ξυνελήφθησαν·
τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες, ἐπανεῖπον ἀρ-
γύριον τῷ ἀποκτείναντι. καὶ ἐν τούτῳ οἱ μὲν παθόντες ἄδηλον
ἦν εἰ ἀδίκως ἐτετιμώρηντο· ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι
περιφανῶς ὠφέλητο. περὶ δὲ Ἀλκιβιάδην ἐναγόντων τῶν ἐχθρῶν,
οἵπερ καὶ πρὶν αὐτὸν πλὴν ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι
ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς ἔχειν, πο-
λὺ δὴ μᾶλλον καὶ τὰ μυστικά, ὧν ἐπαίτιος ἦν, μετὰ τοῦ αὐτοῦ
λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου ἐδόκει
πραχθῆναι. καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολ-
λὴ ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον ἐν ᾧ περὶ τὰ τοιαῦτα ἐθο-
ρυβοῦντο μέχρι Ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς τι πρά-
σσοντες. ἐδόκει οὖν ἐκείνου πράξαντος καὶ οὐ Βοιωτῶν ἕνεκα
ἀπὸ ξυνθήματος ἥκειν· καὶ εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ
μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ πόλις.
καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν

ὅπλοις. οἵ τε ξένοι τοῦ ἀλκιβιάδου κατὰ τὸν αὐτὸν χρόνον.
οἱ ἐν ἄργει, ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι. καὶ τοὺς ὁμή-
ρους τῶν ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους, οἱ ἀθηναῖοι
τότε παρέδοσαν τῷ ἀργείων δήμῳ διὰ ταῦτα διαχρήσασθαι.
πανταχόθεν τε περιειστήκει ὑποψία ἐς τὸν ἀλκιβιάδην. ὥστε
βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι, πέμπου-
σιν οὕτω τὴν σαλαμινίαν ναῦν ἐς τὴν σικελίαν. ἐπί τε ἐκεῖνον,
καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο. εἴρητο δὲ προειπεῖν αὐτῷ ἀπο-
λογησομένῳ ἀκολουθεῖν. ξυλλαμβάνειν δὲ μή. θεραπεύοντες
τό τε πρὸς τοὺς ἐν τῇ σικελίᾳ στρατιώτας τε σφετέρους καὶ
πολεμίους μὴ θορυβεῖν. καὶ οὐχ ἥκιστα τοὺς μαντινέας
καὶ ἀργείους βουλόμενοι παραμεῖναι. δι' ἐκείνου νομίζον-
τες πεισθῆναι σφᾶς ξυστρατεύειν. καὶ ὁ μὲν ἔχων τὴν ἑαυτοῦ
ναῦν. καὶ οἱ ξυνδιαβεβλημένοι, ἀπέπλεον μετὰ τῆς σαλα-
μινίας ἐκ τῆς σικελίας ὡς ἐς τὰς ἀθήνας. καὶ ἐπειδὴ ἐγέ-
νοντο ἐν ταῖς θουρίοις, οὐκέτι ξυνείποντο. ἀλλ' ἀπελθόντες
ἀπὸ τῆς νεώς, οὐ φανεροὶ ἦσαν. δείσαντες τὸ ἐπὶ διαβολῇ
ἐς δίκην καταπλεῦσαι. οἱ δ' ἐκ τῆς σαλαμινίας, τέως μὲν
ἐζήτουν τὸν ἀλκιβιάδην καὶ τοὺς μετ' αὐτοῦ. ὡς δ' οὐδαμοῦ
φανεροὶ ἦσαν, ᾤχοντο ἀποπλέοντες. ὁ δὲ ἀλκιβιάδης ἤδη
φυγὰς ὤν, οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς
πελοπόννησον ἐκ τῆς θουρίας. οἱ δὲ ἀθηναῖοι ἐρήμῃ δί-
κῃ, θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ' ἐκείνου. με-
τὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν ἀθηναίων στρατηγοὶ ἐν τῇ σικε-
λίᾳ δύο μέρη ποιήσαντες τοῦ στρατεύματος. καὶ λαχὼν
ἑκάτερος ἔπλεον ξὺν παντὶ ἐπὶ σελινοῦντος καὶ ἐγέστης.
βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν οἱ ἐγεσταῖοι.
κατασκέψασθαι δὲ καὶ τῶν σελινουντίων τὰ πράγματα.
καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς ἐγεσταίους. παραπλέοντες

δὲ ὡς ἐς ἀριστερὰ τὴν σικελίαν τὸ μέρος τὸ πρὸς τὸν τυρσηνι
κὸν κόλπον ἔσχον ἐς ἱμέραν· ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει
τῆς σικελίας ἑλλὰς πόλις ἐστί· καὶ ὡς οὐκ ἐδέχοντο αὐτούς,
παρεκομίζοντο· καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν ὕκκαρα πό
λισμα· σικανικὸν μέν, ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ πα
ραθαλασσίδιον· καὶ ἀνδραποδίσαντες τὴν πόλιν, παρέδο
σαν ἐγεσταίοις· παρεγένοντο γὰρ αὐτῶν ἱππῆς· αὐτοὶ δὲ πά
λιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν σικελῶν· ἕως ἀφίκοντο
ἐς κατάνην· αἱ δὲ νῆες περιέπλευσαν τὰ ἀνδράποδα ἄγουσαι·
νικίας δὲ εὐθὺς ἐξ ὑκκάρων ἐπὶ ἐγέστης παραπλεύσας καὶ
τἆλλα χρηματίσας, καὶ λαβὼν τάλαντα τριάκοντα, παρῆν
ἐς τὸ στράτευμα· καὶ τἀνδράποδα ἀπέδοσαν· καὶ ἐγένοντο
ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα· καὶ ἐς τοὺς τῶν σικελῶν
ξυμμάχους περιέπλευσαν στρατιὰν κελεύοντες πέμπειν·
τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν, ἦλθον ἐπὶ ὕβλαν τὴν γελεᾶτιν,
πολεμίαν οὖσαν· καὶ οὐχ εἷλον· καὶ τὸ θέρος ἐτελεύτα· τοῦ
δ' ἐπιγιγνομένου χειμῶνος, εὐθὺς τὴν ἔφοδον ἐπὶ συρακούσας
οἱ ἀθηναῖοι παρεσκευάζοντο· οἱ δὲ συρακούσιοι καὶ αὐτοὶ
ὡς ἐπ' ἐκείνους ἰόντες· ἐπειδὴ γὰρ αὐτοῖς πρὸς τὸν πρῶτον φό
βον αὐτοῖς καὶ τὴν προσδοκίαν οἱ ἀθηναῖοι οὐκ εὐθὺς ἐπέ
κειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν, ἀνεθάρσουν
μᾶλλον· καὶ ἐπειδὴ πλέοντές τε τὰ ἐπ' ἐκεῖνα τῆς σικελίας πολὺ
ἀπὸ σφῶν ἐφαίνετο, καὶ πρὸς τὴν ὕβλαν ἐλθόντες καὶ πειρά
σαντες οὐχ εἷλον βίᾳ, ἔτι μᾶλλον κατεφρόνησαν· καὶ ἠξίουν
τοὺς στρατηγούς οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν, ἄγειν
σφᾶς ἐπὶ κατάνην· ἐπειδὴ οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς ἔρχονται·
ἱππῆς τε προσελαύνοντες αἰεὶ κατάσκοποι τῶν συρακοσίων
πρὸς τὸ στράτευμα τῶν ἀθηναίων, ἐφύβριζον ἄλλα τε καὶ εἰ
ξυνοικήσοντες σφίσιν αὐτοῖς μᾶλλον ἥκοιεν ἐν τῇ ἀλλοτρίᾳ

ἢ λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες. ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν ἀθηναίων. καὶ βουλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὅτι πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ὑπὸ νύκτα ἐν τοσούτῳ παραπλεύσαντες στρατόπεδον καταλαμβάνειν ἐν ἐπιτηδείῳ καθ' ἡσυχίαν. εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες καὶ εἰ ἐκ τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν, ἢ κατὰ γῆν ἰόντες γνωσθεῖεν. τοὺς τε γὰρ ἂν ψιλοὺς τοὺς σφῶν, καὶ τὸν ὄχλον τῶν συρακοσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα. οὕτω δὲ λήψεσθαι χωρίον, ὅθεν ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια λόγου. ἐδίδασκον δὲ αὐτοὺς περὶ τοῦ πρὸς τῷ ὀλυμπιείῳ χωρίου. ὅπερ καὶ κατέλαβον συρακοσίων φυγάδες οἳ ξυνείποντο. τοιόνδε τι οὖν πρὸς ἃ ἐβούλοντο οἱ στρατηγοὶ μηχανῶνται. πέμπουσιν ἄνδρα σφίσι μὲν πιστόν. τοῖς δὲ τῶν συρακοσίων στρατηγοῖς τῇ δοκήσει, οὐχ ἧσσον ἐπιτήδειον. ἦν δὲ καταναῖος ὁ ἀνήρ. καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς κατάνης ἥκειν ἔφη, ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον. καὶ ἠπίσταντο ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὔνων. ἔλεγε δὲ τοὺς ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει. καὶ εἰ βούλονται ἐκεῖνοι πανδημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλήσειν τοὺς παρὰ σφίσι καὶ τὰς ναῦς ἐμπρήσειν. ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα προσβαλόντας τῷ σταυρώματι αἱρήσειν. εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας πολλοὺς καταναίων. καὶ ἡτοιμάσθαι ἤδη ἀφ' ὧν αὐτὸς ἥκειν. οἱ δὲ στρατηγοὶ τῶν συρακοσίων, μετὰ τοῦ καὶ ἐς τὰ ἄλλα θαρσεῖν καὶ εἶναι ἐν διανοίᾳ, καὶ ἄνευ τούτων ἰέναι παρεσκευάσθαι ἐπὶ κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ πολλῷ ἀπερισκεπτότερον. καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι ᾗ παρέσονται, ἀπέστειλαν αὐτόν. καὶ αὐτοί, ἤδη γὰρ καὶ τῶν

ξυμμάχων σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν. προεῖπον
πανδημεὶ πᾶσιν ἐξιέναι συρακοσίοις. ἐπεὶ δὲ ἑτοῖμα αὐτοῖς
καὶ τὰ τῆς παρασκευῆς ἦν. καὶ αἱ ἡμέραι ἐν αἷς ξυνέθεντο ἥξειν
ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ κατάνης ηὐλίσαντο ἐπὶ τῷ
συμαίθῳ ποταμῷ ἐν τῇ λεοντίνῃ. οἱ δὲ ἀθηναῖοι αἰσθόμενοι
αὐτοὺς προσιόντας, ἀναλαβόντες τὸ στράτευμα ἅπαν τὸ ἑαυτῶν
καὶ ὅσοι σικελῶν αὐτοῖς ἢ ἄλλος προσεληλύθει, καὶ ἐπιβιβά-
σαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς
συρακούσας. καὶ οἵ τε ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸ κατὰ
τὸ ὀλυμπιεῖον ὡς τὸ στρατόπεδον καταληψόμενοι. καὶ οἱ ἱππῆς
οἱ συρακοσίων πρῶτοι προσελάσαντες ἐς τὴν κατάνην καὶ αἰ-
σθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται, ἀποστρέψαντες ἀγ-
γέλλουσι τοῖς πεζοῖς καὶ ξύμπαντες ἤδη ἀποτρεπόμενοι ἐβο-
ήθουν ἐπὶ τὴν πόλιν. ἐν τούτῳ δ᾽ οἱ ἀθηναῖοι μακρᾶς οὔσης τῆς
ὁδοῦ αὐτοῖς, καθ᾽ ἡσυχίαν ἐκάθισαν τὸ στράτευμα ἐς χωρίον
ἐπιτήδειον. καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βούλοιντο
καὶ οἱ ἱππῆς τῶν συρακοσίων ἥκιστ᾽ αὐτοὺς καὶ ἐν τῷ ἔργῳ καὶ
πρὸ αὐτοῦ λυπήσειν. τῇ μὲν γὰρ τειχία τε καὶ οἰκίαι εἶργον.
καὶ δένδρα καὶ λίμναι. παρὰ δὲ τὸ κρημνοί. καὶ τὰ ἐγγὺς
δένδρα κόψαντες καὶ κατενεγκόντες ἐπὶ τὴν θάλασσαν,
παρά τε τὰς ναῦς σταύρωμα ἔπηξαν. καὶ ἐπὶ τῷ δάσκωνι
ᾗ εὐεφοδώτατον ἦν τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύ-
λοις διὰ ταχέων ὤρθωσαν. καὶ τὴν τοῦ ἀνάπου γέφυραν ἔ-
λυσαν. παρασκευαζομένων δὲ ἐκ μὲν τῆς πόλεως οὐδεὶς ἐ-
ξιὼν ἐκώλυε. πρῶτοι δὲ ἱππῆς τῶν συρακοσίων προσεβο-
ήθησαν. ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν ξυνελέγη. καὶ
προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν ἀθηναίων τὸ πρῶτον.
ἔπειτα δὲ ὡς οὐκ ἀντιπροῄεσαν αὐτοῖς, ἀναχωρήσαντες καὶ
διαβάντες τὴν ἑλωρίνην ὁδόν, ηὐλίσαντο. τῇ δ᾽ ὑστεραίᾳ οἱ

ἀθηναῖοι καὶ οἱ ξύμμαχοι, παρεσκευάζοντο ὡς ἐς μάχην· καὶ
ξυνετάξαντο ὧδε· δεξιὸν μὲν κέρας ἀργεῖοι εἶχον καὶ μαντι-
νῆς· ἀθηναῖοι δὲ τὸ μέσον· τὸ δὲ ἄλλο οἱ ξύμμαχοι οἱ ἄλλοι· καὶ
τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγ-
μένον ἐπὶ ὀκτώ· τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ,
ἐπὶ ὀκτὼ καὶ τοῦτο τεταγμένον· οἷς εἴρητο ᾗ ἂν τοῦ στρατεύ-
ματός τι πονῇ, μάλιστα ἐφορῶντας παραγίγνεσθαι· καὶ τοὺς
σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτάκτων ἐποιήσαντο· οἱ δὲ
συρακούσιοι ἔταξαν τοὺς μὲν ὁπλίτας ἐφ᾽ ἑκκαίδεκα ὄντας
πανδημεὶ συρακοσίους καὶ ὅσοι ξύμμαχοι παρῆσαν· ἐβοή-
θησαν δὲ αὐτοῖς σελινούντιοι μὲν μάλιστα· ἔπειτα δὲ καὶ γε-
λῴων ἱππῆς τὸ ξύμπαν ἐς διακοσίους· καὶ καμαριναίων
ἱππῆς ὅσον εἴκοσι· καὶ τοξόται ὡς πεντήκοντα· τοὺς δὲ ἱππέ-
ας ἐπετάξαντο ἐπὶ τῷ δεξιῷ, οὐκ ἐλάσσους ὄντας διακοσίων καὶ
χιλίων· παρὰ δ᾽ αὐτοὺς καὶ τοὺς ἀκοντιστάς· μέλλουσι δὲ τοῖς ἀ-
θηναίοις προτέροις ἐπιχειρήσειν, ὁ νικίας κατά τε ἔθνη ἐπι-
παριὼν ἕκαστα, καὶ ξύμπασι τοιάδε παρεκελεύετο·

νικίου

πολλῇ μὲν παραινέσει ὦ ἄνδρες τί δεῖ χρῆσθαι· οἳ πάρεσμεν
ἐπὶ τὸν αὐτὸν ἀγῶνα· αὐτὴ γὰρ ἡ παρασκευὴ ἱκανωτέρα μοι
δοκεῖ εἶναι θάρσος παρασχεῖν, ἢ καλῶς λεχθέντες λόγοι μετὰ
ἀσθενοῦς στρατοπέδου· ὅπου γὰρ ἀργεῖοι καὶ μαντινῆς καὶ
ἀθηναῖοι καὶ νησιωτῶν οἱ πρῶτοι ἐσμέν, πῶς οὐ χρὴ μετὰ
τοιῶνδε καὶ τοσῶνδε ξυμμάχων πάντα τινὰ μεγάλην τὴν
ἐλπίδα τῆς νίκης ἔχειν· ἄλλως τε καὶ πρὸς ἄνδρας πανδη-
μεί τε ἀμυνομένους, καὶ οὐκ ἀπολέκτους ὥσπερ καὶ ἡμᾶς·
καὶ προσέτι σικελιώτας· οἳ ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπο-
μενοῦσι δ᾽ οὔ· διὰ τὸ τῆς τόλμης τὴν ἐπιστήμην ἥσσω ἔχειν·
παραστήτω δέ τινι καὶ τόδε· πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν
εἶναι· καὶ πρὸς γῇ οὐδεμιᾷ φιλίᾳ, ἥντινα μὴ αὐτοὶ μαχόμενοι

προσκτήσεσθε· καὶ τοὐναντίον ὑπομιμνήσκω ὑμᾶς ἢ οἱ πολέ
μιοι σφίσιν αὐτοῖς εὖ οἶδ᾽ ὅτι παρακελεύονται· οἱ μὲν γὰρ ὅτι
περὶ πατρίδος ἔσται ὁ ἀγών· ἐγὼ δὲ ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς κρα
τεῖν δεῖ ἢ μὴ ῥᾳδίως ἀποχωρεῖν· οἱ γὰρ ἱππῆς πολλοὶ ἐπικεί
σονται. τῆς τε οὖν ὑμετέρας αὐτῶν ἀξίας μνησθέντες ἐπέλ
θετε τοῖς πολεμίοις προθύμως· καὶ τὴν παροῦσαν ἀνάγκην
καὶ ἀπορίαν φοβερωτέραν ἡγησάμενοι τῶν πολεμίων· ὁ
μὲν νικίας τοσαῦτα παρακελευσάμενος ἐπῆγε τὸ στρατόπε
δον αὐτοῖς· οἱ δὲ συρακούσιοι ἀπροσδόκητοι μὲν ἐν τῷ καιρῷ
τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι· καί τινες αὐτοῖς ἐγγὺς τῆς πό
λεως οὔσης, καὶ ἀπεληλύθεσαν· οἱ δέ, καὶ διὰ σπουδῆς προσβοη
θοῦντες δρόμῳ, ὑστέριζον μέν· ὡς δὲ ἕκαστός πῃ τοῖς πλείοσι
προσμείξειεν καθίσταντο. οὐ γὰρ δὴ προθυμίᾳ ἐλλιπεῖς ἦσαν.
οὐδὲ τόλμῃ, οὔτε ἐν ταύτῃ τῇ μάχῃ, οὔτε ἐν ταῖς ἄλλαις· ἀλλὰ τῇ
μὲν ἀνδρείᾳ οὐχ ἥσσους ἐς ὅσον ἡ ἐπιστήμη ἀντέχοι· τῷ δὲ ἐλλεί
ποντι αὐτῆς, καὶ τὴν βούλησιν ἄκοντες προυδίδοσαν· ὅμως δὲ
οὐκ ἂν οἰόμενοι σφίσι τοὺς ἀθηναίους προτέρους ἐπελθεῖν καὶ
διὰ τάχους ἀναγκαζόμενοι ἀμύνασθαι, ἀναλαβόντες τὰ ὅπλα,
εὐθὺς ἀντεπῇσαν· καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθο
βόλοι καὶ σφενδονῆται καὶ τοξόται ἐμάχοντο· καὶ τροπὰς
οἵας εἰκὸς ψιλοὺς ἀλλήλων ἐποίουν· ἔπειτα δὲ μάντεις τε σφά
για προύφερον τὰ νομιζόμενα· καὶ σαλπιγκταὶ ξύνοδον ἐπώ
τρυνον τοῖς ὁπλίταις· οἱ δὲ ἐχώρουν· συρακούσιοι δὲ περί τε πα
τρίδος μαχούμενοι καὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα σωτη
ρίας· τὸ δὲ μέλλον ἐλευθερίας· τῶν δὲ ἐναντίων, ἀθηναῖοι μὲν
περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν· καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσ
σώμενοι· ἀργεῖοι δὲ καὶ τῶν ξυμμάχων οἱ αὐτόνομοι, ξυγκτή
σασθαί τε ἐκείνοις ἐφ᾽ ἃ ἦλθον· καὶ τὴν ὑπάρχουσαν σφίσι πα
τρίδα νικήσαντες πάλιν ἐπιδεῖν· τὸ δ᾽ ὑπήκοον τῶν ξυμμάχων, μέγιστον μὲν περὶ

τῆς αὐτίκα ἀνελπίστου σωτηρίας ἢν μὴ κρατῶσι τὸ πρόθυμον ἕξουσιν·
ἔπειτα δ' ἐν παρέργῳ καὶ εἴ τι ἄλλο ξυγκαταστρεψαμένοις αὐτοῖς
ῥᾷον ὑπακούσεται. γενομένης δ' ἐν χερσὶ τῆς μάχης. ἐπὶ πολὺ
ἀντεῖχον ἀλλήλοις· καὶ ξυνέβη βροντάς τε ἅμα καὶ ἀστραπὰς γε-
νέσθαι τινάς· καὶ ὕδωρ πολύ· ὥστε τοῖς μὲν πρῶτον μαχομένοις
καὶ ἐλάχιστα πολέμῳ ὡμιληκόσι, καὶ τοῦτο ξυνεπιλαβέσθαι
τοῦ φόβου· τοῖς δὲ ἐμπειροτέροις τὰ μὲν γιγνόμενα καὶ ὥρᾳ
ἔτους περαίνεσθαι δοκεῖν· τοὺς δὲ ἀνθεστῶτας πολὺ μείζω ἔκπλη-
ξιν μὴ νικωμένους παρέχειν· ὠσαμένων δὲ τῶν ἀργείων πρῶτον
τὸ εὐώνυμον κέρας τῶν συρακοσίων· καὶ μετ' αὐτοὺς τῶν ἀθη-
ναίων τὸ κατὰ σφᾶς αὐτούς, παρερρήγνυτο ἤδη καὶ τὸ ἄλλο στρά-
τευμα τῶν συρακοσίων, καὶ ἐς φυγὴν κατέστη· καὶ ἐπὶ πολὺ
μὲν οὐκ ἐδίωξαν οἱ ἀθηναῖοι· οἱ γὰρ ἱππῆς τῶν συρακοσίων πολ-
λοὶ ὄντες καὶ ἀήσσητοι εἶργον· καὶ ἐσβαλόντες ἐς τοὺς ὁπλίτας
αὐτῶν, εἴ τινες προδιώκοντες, ἀνέστελλον· ἐπακολουθήσαντες
δὲ ἀθρόοι, ὅσον ἀσφαλῶς εἶχε, πάλιν ἐπανεχώρουν καὶ τρο-
παῖον ἵστασαν. οἱ δὲ συρακούσιοι ἀθροισθέντες ἐς τὴν ἑλωρί-
νην ὁδόν, καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι, ἔς τε τὸ ὀλύμ-
πιον σφῶν αὐτῶν παρέπεμψαν φυλακήν· δείσαντες μὴ οἱ ἀ-
θηναῖοι τῶν χρημάτων ἃ ἦν αὐτόθι κινήσωσι· καὶ οἱ λοιποὶ ἐ-
πανεχώρησαν ἐς τὴν πόλιν· οἱ δὲ ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν
οὐκ ἦλθον· ξυγκομίσαντες δὲ τοὺς ἑαυτῶν νεκρούς, καὶ ἐπὶ
πυρὰν ἐπιθέντες, ηὐλίσαντο αὐτοῦ· τῇ δ' ὑστεραίᾳ τοῖς μὲν
συρακοσίοις ἀπέδοσαν ὑποσπόνδους τοὺς ἑαυτῶν νεκρούς·
ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων, περὶ ἑξήκοντα καὶ
διακοσίους· τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν· ἀπέθανον
δὲ αὐτῶν καὶ τῶν ξυμμάχων ὡς πεντήκοντα· καὶ τὰ τῶν πο-
λεμίων ὅπλα ἔχοντες· ἀπέπλευσαν ἐς κατάνην· χειμὼν
γὰρ ἦν· καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι, οὔπω ἐδόκει

δυνατοὶ ἦσαν· περὶ δὲ ἱππεῖς μεταπέμπουσιν ἐκ τῶν ἀθηνῶν καὶ
ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν· ὅπως μὴ παντάπασιν
ἱπποκρατῶνται· καὶ χρήματα δὲ ἅμα αὐτόθεν τε ξυλλέξωνται·
καὶ παρὰ ἀθηναίων ἔλθῃ· τῶν τε πόλεών τινας προσαγάγωνται
ἃς ἤλπιζον μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι·
τά τε ἄλλα καὶ σῖτον καὶ ἄλλων ὅσων δέοι παρασκευάσωνται,
ὡς ἐς τὸ ἔαρ ἐπιχειρήσοντες ταῖς συρακούσαις. καὶ οἱ μὲν ταύ
τῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν νάξον καὶ κατάνην διαχει
μάσοντες· συρακούσιοι δὲ τοὺς σφετέρους νεκροὺς θάψαν
τες, ἐκκλησίαν ἐποίουν· καὶ παρελθὼν αὐτοῖς ἑρμοκράτης
ὁ ἕρμωνος, ἀνὴρ καὶ ἐς τἆλλα ξύνεσιν οὐδενὸς λειπόμενος,
καὶ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος καὶ ἀν
δρείᾳ ἐπιφανής, ἐθάρσυνέ τε· καὶ οὐκ εἴα τῷ γεγενημένῳ
ἐνδιδόναι· τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσσῆσθαι· τὴν δὲ
ἀταξίαν βλάψαι· οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι ὅσον εἰκὸς
εἶναι· ἄλλως τε τοῖς πρώτοις τῶν ἑλλήνων ἐμπειρίᾳ ἰδιώτας
ὡς εἰπεῖν χειροτέχναις ἀνταγωνισαμένους· μέγα δὲ βλάψαι·
καὶ τὸ πλῆθος τῶν στρατηγῶν καὶ τὴν πολυαρχίαν· ἦσαν γὰρ
πέντε καὶ δέκα οἱ στρατηγοὶ αὐτοῖς, τῶν τε πολλῶν τὴν ἀξύντα
κτον ἀναρχίαν· ἢν δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι καὶ
ἐν τῷ χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικόν, οἷς τε ὅπλα
μὴ ἔστιν ἐκπορίζοντες ὅπως ὡς πλεῖστοι ἔσονται, καὶ τῇ ἄλλῃ
μελέτῃ προσαναγκάζοντες, ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν
σφᾶς τῶν ἐναντίων· ἀνδρείας μὲν σφίσιν ὑπαρχούσης· εὐτα
ξίας δὲ ἐς τὰ ἔργα προσγενομένης· ἐπιδώσειν γὰρ ἀμφότερα
αὐτά· τὴν μὲν μετὰ κινδύνων μελετωμένην· τὴν δ' εὐψυ
χίαν αὐτὴν ἑαυτῆς μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης, θαρσαλεώ
τεραν ἔσεσθαι· τούς τε στρατηγοὺς καὶ ὀλίγους καὶ αὐτοκράτορας
χρῆναι ἑλέσθαι· καὶ ὀμόσαι αὐτοῖς τὸν ὅρκον· ἦ μὴν ἐάσειν

ἄρχειν ὅπως ἂν ἐπίστωνται. οὕτω γὰρ ἄν τά τε κρύπτεσθαι δεῖ μᾶλλον
ἂν στέγεσθαι. καὶ τἆλλα κατὰ κόσμον καὶ ἀπροφασίστως παρα
σκευασθῆναι. καὶ οἱ συρακούσιοι αὐτοῦ ἀκούσαντες ἐψηφί
σαντο πάντα ὡς ἐκέλευε. καὶ στρατηγὸν αὐτόν τε εἵλοντο τὸν ἑρ
μοκράτην. καὶ ἡρακλείδην τὸν λυσιμάχου. καὶ σικανὸν
τὸν ἐξηκέστου. τούτους τρεῖς. καὶ ἐς τὴν κόρινθον καὶ τὴν λακε
δαίμονα πρέσβεις ἀπέστειλαν. ὅπως ξυμμαχία τε αὐτοῖς πα
ραγένηται, καὶ τὸν πρὸς ἀθηναίους πόλεμον βεβαιότερον πεί
θωσι ποιεῖσθαι. ἐκ τοῦ προφανοῦς ὑπὲρ σφῶν τοὺς λακεδαι
μονίους. ἵνα ἢ ἀπὸ τῆς σικελίας ἀπαγάγωσιν αὐτούς, ἢ πρὸς
τὸ ἐν σικελίᾳ στράτευμα ἧσσον ὠφέλωσιν ἄλλην ἐπιπέμπωσι.
τὸ δὲ ἐν τῇ καθάνῃ στράτευμα τῶν ἀθηναίων, ἔπλευσεν εὐθὺς ἐ
πὶ μεσσήνην ὡς προδοθησομένην. καὶ ἃ μὲν ἐπράσσετο, οὐκ
ἐγένετο. ἀλκιβιάδης γὰρ ὅτε ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετά
πεμπτος, ἐπιστάμενος ὅτι φεύξοιτο, μηνύει τοῖς τῶν συρα
κουσίων φίλοις τοῖς ἐν τῇ μεσσήνῃ ξυνειδὼς τὸ μέλλον. οἱ δέ,
τούς τε ἄνδρας διέφθειραν πρότερον. καὶ τότε στασιάζοντες
καὶ ἐν ὅπλοις ὄντες, ἐπεκράτουν μὴ δέχεσθαι τοὺς ἀθηναίους.
οἱ ταῦτα βουλόμενοι. ἡμέρας δὲ μείναντες περὶ τρεῖς καὶ δέκα
οἱ ἀθηναῖοι ὡς ἐχειμάζοντο καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον. καὶ πρου
χώρει οὐδέν, ἀπελθόντες ἐς νάξον θρᾷκας σταύρωμα περὶ τὸ
στρατόπεδον ποιησάμενοι, αὐτοῦ διεχείμαζον. καὶ τριήρη ἀ
πέστειλαν ἐς τὰς ἀθήνας, ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως
ἅμα τῷ ἦρι παραγένωνται. ἐτείχιζον δὲ καὶ οἱ συρακού
σιοι ἐν τῷ χειμῶνι πρός τε τῇ πόλει τὸν τεμενίτην ἐντὸς ποιη
σάμενοι τεῖχος παρ᾽ ἅπαντος πρὸς τὰς ἐπιβολὰς ὁρῶν, ὅ
πως μὴ δι᾽ ἐλάσσονος εὐαποτείχιστοι ὦσιν, ἢν ἄρα σφαλῶσι.
καὶ τὰ μέγαρα ἐφρούρουν. καὶ ἐν τῷ ὀλυμπιείῳ ἄλλο. καὶ τὴν
θάλασσαν προεσταύρωσαν πανταχῇ ᾗ ἀποβάσεις ἦσαν. κ

τοὺς ἀθηναίους ἰδόντες ἐν τῇ νάξῳ χειμάζοντας, ἐστράτευσαν πανδημεὶ ἐπὶ τὴν κατάνην· καὶ τῆς τε γῆς αὐτῶν ἔτεμον· καὶ τὰς τῶν ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες, ἀνεχώρησαν ἐπ' οἴκου· καὶ πυνθανόμενοι τοὺς ἀθηναίους ἐς τὴν καμάριναν κατὰ τὴν ἐπὶ λάχητος γενομένην ξυμμαχίαν πρεσβεύεσθαι ὅπως προσαγάγοιντο αὐτούς, ἀντεπρεσβεύοντο καὶ αὐτοί· ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ καμαριναῖοι· μὴ προθύμως σφίσι μήτε ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν, ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες τοὺς ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας· προσχωρῶσι δ' αὐτοῖς κατὰ τὴν προτέραν φιλίαν πεισθέντες· ἀφικομένων οὖν ἐκ μὲν συρακουσῶν ἑρμοκράτους καὶ ἄλλων ἐς τὴν καμάριναν· ἀπὸ δὲ ἀθηναίων εὐφήμου μεθ' ἑτέρων, ὁ ἑρμοκράτης ξυλλόγου γενομένου τῶν καμαριναίων, βουλόμενος προδιαβάλλειν τοὺς ἀθηναίους ἔλεγε τοιάδε·

δημηγορία ἑρμοκράτους

Οὐ τὴν παροῦσαν δύναμιν τῶν ἀθηναίων ὦ καμαριναῖοι, μὴ αὐτὴν καταπλαγῆτε δείσαντες ἐπρεσβευσάμεθα· ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν· ἥκουσι γὰρ ἐς τὴν σικελίαν, προφάσει μὲν ᾗ πυνθάνεσθε· διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν· καί μοι δοκοῦσιν οὐ λεοντίνους βούλεσθαι κατοικίσαι ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι· οὐ γὰρ δὴ εὔλογον τὰς μὲν ἐκεῖ πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν· καὶ λεοντίνων μὲν χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς κήδεσθαι· χαλκιδέας δὲ τοὺς ἐν εὐβοίᾳ ὧν οἵδε ἄποικοί εἰσι· δουλωσαμένους ἔχειν· τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον, καὶ τὰ ἐνθάδε νῦν πειρῶνται· ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων τῶν τε ἰώνων καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι, ὡς ἐπὶ τοῦ μήδου τιμωρίᾳ, τοὺς μὲν, λιποστρατίαν· τοὺς δέ, ἐπ' ἀλλήλους στρατεύειν· τοῖς δ' ὡς ἑκάστοις

τινὰ ἔχοντα αἰτίαν εὐπρεπῆ ἐπενεγκόντες κατεστρέψαντο· καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων, οὔθ' οἱ Ἕλληνες τῆς ἑαυτῶν τῷ μήδῳ ἀντέστησαν· περὶ δὲ, οἱ μὲν, σφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως· οἱ δὲ ἐπὶ δεσπότου μεταβολῇ, οὐκ ἀξυνετωτέρου· κακοξυνετωτέρου δέ· ἀλλ' οὐ δὴ τὴν τῶν ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν, νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδικεῖ· πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι, ὅτι ἔχοντες παραδείγματα τῶν τε ἐκεῖ Ἑλλήνων ὡς ἐδουλώθησαν, οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ' ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα· λεοντίνων τε ξυγγενῶν κατοικίσεις· καὶ ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες βουλόμεθα δεῖξαι αὐτοῖς, ὅτι οὐκ ἴωνες τάδε εἰσίν· οὐδ' ἑλλησπόντιοι καὶ νησιῶται· οἳ δεσπότην ἢ μῆδον ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλλοντες δουλοῦνται· ἀλλὰ δωριῆς ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς πελοποννήσου τὴν σικελίαν οἰκοῦντες· ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν· εἰδότες ὅτι ταύτῃ μόνον ἁλωτοί ἐσμεν· καὶ ὁρῶντες αὐτοὺς ἐπὶ τοῦτο τὸ εἶδος τρεπομένους· ὥστε τοὺς μὲν, λόγοις ἡμῶν διιστάναι· τοὺς δὲ ξυμμάχων ἐλπίδι, ἐκπολεμοῦν πρὸς ἀλλήλους· τοῖς δὲ, ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύνανται κακουργεῖν· καὶ οἰόμεθα τοῦ ἄπωθεν ξυνοίκου προαπολλυμένου, οὐ καὶ ἐς αὐτόν τινα ἥξειν τὸ δεινόν· πρὸ δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα, καθ' αὑτὸν δυστυχεῖν· καὶ εἴ τῳ ἄρα παρέστηκε, τὸν μὲν συρακούσιον, ἑαυτὸν δ' οὔ, πολέμιον εἶναι τῷ ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω, οὐ περὶ τῆς ἐμῆς μᾶλλον· ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχούμενος· τοσούτῳ δὲ καὶ ἀσφαλέστερον, ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ· ἔχων δὲ ξύμμαχον ἐμὲ, καὶ οὐκ ἐρῆμος ἀγωνιεῖται· τόν τε ἀθηναῖον μὴ τὴν τοῦ συρακοσίου

ἔχθραν πολεμήσασθαι. τῷ δὲ μὴ προφάσει τὴν ἐκείνου φιλίαν,
οὐχ ἣν αὐτοὶ βεβαιώσασθαι βούλεσθαι. ὁ τελέως φθονούμενος ἢ καὶ
φοβεῖται. ἀμφότερα γὰρ ταῦτα δεῖ πάντως τὰ μείζω. διὰ δὲ ταῦτα
ταῖς συμφοραῖς κακωθῆναι μὲν ἵνα σωφρονισθῶμεν βού-
λεται. περιγενέσθαι δὲ ἕνεκα τῆς αὐτοῦ ἀσφαλείας. οὐ κοινωνίας
δυνάμεως βουλόμενοι ἐλπίζει. οὐ γὰρ οἴονται ἅμα τῆς τε ἐπιθυ-
μίας καὶ τῆς τύχης τὸν αὐτὸν ταμίαν γενέσθαι ὁμοίως. καὶ ὁ
γνώμῃ ἀμείνων τοῖς αὐτοῦ κακοῖς ὀλοφυρθείς, τάχ' ἂν ἴσως καὶ
τοῖς ἐμοῖς ἀγαθοῖς, ποτὲ βουληθεὶς αὖθις φθονήσειε. ἀδύνατον
δὲ προειμένους καὶ μὴ τοῖς αὐτοῖς κινδύνοις. οὐ περὶ τῶν ὀνο-
μάτων. ἀλλὰ περὶ τῶν ἐθελήσαντι προσλαβεῖν. λόγῳ μὲν γὰρ τῶν ἔργων
τὴν ἡμετέραν δύναμιν σώζει αὐτούς. ἔργῳ δὲ τὴν αὐτοῦ σωτη-
ρίαν. καὶ μάλιστα δῆλος ἦν ἡμᾶς ἐῶν κακῶς εἶναι οἱ ὁμόρους ὄν-
καὶ ἔσχατα κινδυνεύοντας προορᾶσθαι ταῦτα. καὶ μάλα
καλῶς ὥσπερ νῦν ξυμμαχεῖν. αὐτοὺς δὲ πρὸς ἡμᾶς μᾶλλον
ἰόντας ἅπερ ὁδὲ τὴν ἀκμὴν εἶναι ἂν πρῶτον ἀφίκοιντο οἱ Ἀθη-
ναῖοι δεόμενοι ἂν ἐπηγάγεσθε. ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν
παρακαλουμένοις ὅπως μηδὲν ἐνδώσομεν φαίνεσθαι. ἀλλ'
οὐ θαυμαστὸν νῦν γέ πω. οὐ θεοῖς ἄλλοις ἐπὶ ταῦτα ὡρμήσατε. δῆλον
δὲ ἴσως τὸ δήμιον πρός τε ἡμᾶς καὶ πρὸς τοὺς ἐπιόντας θε-
ραπεύοντες. λέγοντες ξυμμαχίαν ἢ καὶ ἡμῖν πρὸς Ἀθηναίους.
ἦν γε οὖν κἀπὶ τοὺς φίλους ἐποιήσασθε. τῶν δὲ ἐχθρῶν οὐδὲ εἷς ἐφ'
ἡμᾶς ἵῃ καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν ὅταν ὑπ' ἄλλων, ἢ μὴ
αὐτοὶ ὥσπερ νῦν τοὺς πέλας ἀδικῶσιν. ἐπεὶ οὐδὲ ἐγγίγνοιον-
τες γαληνίδης, γαληνίδας δὲ ὄντας λεοντίνοις ἐθέλουσι ξενα-
τοινίζειν. καὶ δεινὸν δ' ἐκεῖνοι μὲν τὸ ἔργον τοῦ καλοῦ δικαι-
ώματος ἀποτίοντες ὀλίγως σωφρονοῦσιν. ἡμεῖς δ' εὐλόγῳ
προφάσει. τοὺς μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν. τοὺς
δὲ ἔτι μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι.

αὑτοῦ δῆμον. ἀμύνεσθαι δὲ καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν αὐ-
τῶν. οὐ γὰρ ἢν ἡμεῖς ξυστῶμεν πάντες δεινή ἐστιν. ἀλλ' ἢν ὅπερ
οὗτοι σπεύδουσι τἀναντία διαστῶμεν. ἐπεὶ οὐδὲ πρὸς ἡμᾶς
μόνους ἐλθόντες καὶ μάχῃ περιγενόμενοι, ἔπραξαν ἃ ἐβούλον-
το. ἀπῆλθον δὲ διὰ τάχους. ὥστε οὐχ ἁθρόους γε ὄντας εἰκὸς ἀ-
θυμεῖν. ἰέναι δὲ ἐς τὴν ξυμμαχίαν προθυμότερον. ἄλλως τε καὶ
ἀπὸ Πελοποννήσου παρεσομένης ὠφελίας, οἳ τῶνδε κρείσσους
εἰσὶ τὸ παράπαν τὰ πολέμια. καὶ μὴ ἐκείνην τὴν προμήθειαν
δοκεῖν τῳ ἡμῖν μὲν ἴσην εἶναι. ὑμῖν δὲ ἀσφαλῆ. τὸ δὲ μηδετέ-
ροις ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους βοηθεῖν. οὐ γὰρ ἔρ-
γῳ ἴσον ὥσπερ τῷ δικαιώματί ἐστιν. εἰ γὰρ δι' ὑμᾶς μὴ ξυμ-
μαχήσαντας ὅ τε παθὼν σφαλήσεται καὶ ὁ κρατῶν περιέσται,
τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ τοῖς μὲν, οὐκ ἠμύνατε σωθῆναι, τοὺς
δὲ, οὐκ ἐκωλύσατε κακοὺς γενέσθαι. καίτοι κάλλιον τοῖς ἀδι-
κουμένοις καὶ ἅμα ξυγγενέσι προσθεμένους τήν τε κοινὴν
ὠφελίαν τῇ Σικελίᾳ φυλάξαι. καὶ τοὺς Ἀθηναίους φίλους
δὴ ὄντας μὴ ἐᾶσαι ἁμαρτεῖν. ξυνελόντες τε λέγομεν οἱ Συρα-
κούσιοι. ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς οὔτε ὑ-
μᾶς οὔτε τοὺς ἄλλους περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε. δε-
όμεθα δὲ καὶ μαρτυρόμεθα ἅμα εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευό-
μεθα μὲν ὑπὸ Ἰώνων αἰεὶ πολεμίων. προδιδόμεθα δὲ ὑπὸ
ὑμῶν Δωριῆς Δωριέων. καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι
ταῖς μὲν ὑμετέραις γνώμαις, κρατήσουσι. τῷ δ' αὑτῶν ὀνό-
ματι τιμηθήσονται. καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον, ἢ
τὸν τὴν νίκην παρασχόντα λήψονται. καὶ εἰ αὖ ἡμεῖς περιεσό-
μεθα τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν ὑφέξε-
τε. σκοπεῖτε οὖν καὶ αἱρεῖσθε ἤδη, ἢ τὴν αὐτίκα ἀκινδύνως
δουλείαν, ἢ κἂν περιγενόμενοι μεθ' ἡμῶν, τούσδε τε μὴ
αἰσχρῶς δεσπότας λαβεῖν. καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν μὴ

ὧν βραχεῖαν γενομένην λαθραφυγεῖν: τοιαῦτα μὲν ὁ Ἑρμοκρά-
της εἶπεν. ὁ δὲ Εὔφημος ὁ τῶν Ἀθηναίων πρεσβευτὴς μετ' αὐ-
τόν, τοιάδε: δημηγορία Εὐφήμου

α ἀφικόμεθα μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας ἀνανεώσει·
τοῦ δὲ Συρακοσίου καθαπτομένου, ἀνάγκη καὶ περὶ τῆς ἀρχῆς
εἰπεῖν ὡς εἰκότως ἔχομεν. τὸ μὲν οὖν μέγιστον μαρτύριον, αὐ-
τὸς εἶπεν ὅτι οἱ Ἴωνες αἰεί ποτε πολέμιοι τοῖς Δωριεῦσιν εἰσίν. ἔ-
χει δὲ καὶ οὕτως. ἡμεῖς γὰρ Ἴωνες ὄντες, Πελοποννησίοις Δω-
ριεῦσι καὶ πλέοσιν οὖσι καὶ παροικοῦσιν, ἐσκεψάμεθα ὅτῳ
τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα. καὶ μετὰ τὰ Μηδικὰ
ναῦς κτησάμενοι, τῆς μὲν Λακεδαιμονίων ἀρχῆς καὶ ἡγε-
μονίας ἀπηλλάγημεν. οὐδὲν προσῆκον μᾶλλόν τι ἐκείνους
ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις ἐπιτάσσειν. πλὴν καθ' ὅσον ἐν τῷ πα-
ρόντι μεῖζον ἴσχυον. αὐτοὶ δὲ τῶν ὑπὸ βασιλεῖ πρότερον ὄντ(ων)
ἡγεμόνες καταστάντες οἰκοῦμεν. νομίσαντες ἥκιστ' ἂν ὑπὸ
Πελοποννησίοις οὕτως εἶναι. δύναμιν ἔχοντες ᾗ ἀμυνούμεθα
καὶ ἐς τὸ ἀκριβὲς εἰπεῖν. οὐδὲ ἀδίκως καταστρεψάμενοι. τούς
τε Ἴωνας καὶ νησιώτας. οὓς ξυγγενεῖς φασὶν ὄντας ἡμᾶς Συρα-
κούσιοι δεδουλῶσθαι. ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς
μετὰ τοῦ Μήδου. καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα
φθεῖραι. ὥσπερ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν. δουλείαν δὲ αὐ-
τοί τε ἐβούλοντο. καὶ ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν. ἀνθ' ὧν ἄξιοί
τε ὄντες ἅμα ἄρχομεν. ὅτι τε ναυτικὸν πλεῖστόν τε καὶ προθυ-
μίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας. καὶ διότι
καὶ τῷ Μήδῳ ἑτοίμως τοῦτο δρῶντες, οὗτοι ἡμᾶς ἔβλαπτον. ἅ-
μα δὲ τῆς πρὸς Πελοποννησίους ἰσχύος ὀρεγόμενοι. καὶ οὐ κα-
λλιεπούμεθα ὡς ἢ τὸν βάρβαρον μόνοι καθελόντες εἰκότως ἄρ-
χομεν. ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον ἢ τῶν ξυμπάντων
τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν κινδυνεύσαντες. πᾶσι δὲ ἀνεπίφθον(ον)

τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι· καὶ νῦν τῆς ἡμετέρας
ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες ὁρῶμεν καὶ ὑμῖν ταῦτα
ξυμφέροντα· ἀποφαίνομεν δὲ ἐξ ὧν οἵδε διαβάλλουσι· καὶ
ὑμεῖς μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπονοεῖτε· εἰδότες
τοὺς περιδεῶς ὑποπτεύοντάς τι, λόγου μὲν ἡδονῇ τὸ παραυτίκα τερ-
πομένους· τῇ δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας·
τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν, καὶ τὰ ἐνθάδε
διὰ τὸ αὐτό, ἥκειν μετὰ τῶν φίλων ἀσφαλῶς καταστησόμενοι, καὶ οὐ
δουλωσόμενοι· μὴ παθεῖν δὲ τοῦτο μᾶλλον κωλύσοντες· ὑπολά-
βοι δὲ μηδεὶς ὡς οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα· γνοὺς ὅ-
τι σῳζομένων ὑμῶν· καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὄντας ὑμᾶς ἀντέ-
χειν συρακοσίοις· ἧσσον ἂν τούτων πεμψάντων τινὰ δύναμιν
πελοποννησίοις ἡμεῖς βλαπτοίμεθα· καὶ ἐν τούτῳ προσήκετε
ἤδη ἡμῖν τὰ μέγιστα· διόπερ καὶ τοὺς λεοντίνους εὔλογον κα-
τοικίζειν· μὴ ὑπηκόους ὥσπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν εὐβοίᾳ·
ἀλλ' ὡς δυνατωτάτους ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες τοῖσ-
δε ὑπὲρ ἡμῶν λυπηροὶ ὦσι· τὰ μὲν γὰρ ἐκεῖ καὶ αὐτοὶ ἀρκοῦ-
μεν πρὸς τοὺς πολεμίους· καὶ ὁ χαλκιδεὺς ὃν ἀλόγως ἡμᾶς
φησὶ δουλωσαμένους τοὺς ἐνθάδε ἐλευθεροῦν, ξύμφορος ἡ-
μῖν ἀπαράσκευος ὢν καὶ χρήματα μόνον φέρων· τὰ δὲ ἐν-
θάδε καὶ λεοντῖνοι καὶ οἱ ἄλλοι φίλοι ὅτι μάλιστα αὐτονομού-
μενοι· ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ, οὐδὲν ἄλο-
γον ὅ,τι ξυμφέρον· οὐδ' οἰκεῖον ὅ,τι μὴ πιστόν· πρὸς ἕκαστα
δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι· καὶ ἡμᾶς
τοῦτο ὠφελεῖ ἐνθάδε· οὐκ ἢν τοὺς φίλους κακώσωμεν· ἀλλ' ἢν οἱ
ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν· ἀπιστεῖν δ'
οὐ χρή· καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους ὡς ἕκαστοι χρήσιμοι ἐξη-
γούμεθα· χίους μὲν καὶ μηθυμναίους νεῶν παροχῇ αὐτονό-
μους· τοὺς δὲ πολλοὺς χρημάτων βιαιότερον φορᾷ· ἄλλους δὲ

καὶ πάνυ ἐλευθέρως ξυμμαχοῦντας καίπερ νησιώτας ὄντας καὶ εὐ
λήπτους, διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν πελοπόννη
σον· ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν· καὶ ὃ λέγο
μεν ἐς συρακοσίους δέος καθίστασθαι· ἄρχειν γὰρ ἐφίενται ὑ
μῶν· καὶ βούλονται ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες ὑμᾶς ὑπόπτῳ
βίᾳ ἢ κατ' ἐρημίαν ἀπράκτων ἡμῶν ἀπελθόντων, αὐτοὶ ἄρξαι
τῆς σικελίας· ἀνάγκη δὲ ἢν ξυστῆτε πρὸς αὐτούς, οὔτε γὰρ ἡμῖν
ἔτι ἔσται ἰσχὺς τοσαύτη ἐς ἓν ξυστᾶσα εὐμεταχείριστος, οὔθ' οἵδ'
ἀσθενεῖς ἂν ἡμῶν μὴ παρόντων πρὸς ὑμᾶς εἶεν· καὶ ὅτῳ ταῦ
τα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει· τὸ γὰρ πρότερον ἡμᾶς ἐ
πηγάγεσθε, οὐκ ἄλλον τινὰ προσείοντες φόβον ἢ εἰ περιοψό
μεθα ὑμᾶς ὑπὸ συρακοσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυ
νεύσομεν· καὶ νῦν οὐ δίκαιον ᾧπερ καὶ ἡμᾶς ἠξιοῦτε πείθειν
λόγῳ, τῷ αὐτῷ ἀπιστεῖν· οὐδ' ὅτι δυνάμει μείζονι πρὸς τὴν τῶνδε
ἰσχὺν πάρεσμεν ὑποπτεύεσθαι· πολὺ δὲ μᾶλλον τοῖσδε ἀπιστεῖν·
ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ' ὑμῶν· εἴ τε καὶ γε
νόμενοι κακοὶ κατεργασαίμεθα, ἀδύνατοι κατασχεῖν διὰ
μῆκός τε πλοῦ καὶ ἀπορίᾳ φυλακῆς μεγάλων πόλεων· καὶ τῇ
παρασκευῇ ἠπειρωτίδων· οἵδε δὲ οὐ στρατοπέδῳ, πόλει δὲ
μείζονι τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες, ὑμῖν αἰεί τε ἐπι
βουλεύουσι· καὶ ὅταν καιρὸν λάβωσιν ἑκάστου, οὐκ ἀνιᾶσι· καὶ
ἔδειξαν δὲ καὶ ἤδη ἄλλα καὶ τὰ ἐς λεοντίνους· καὶ νῦν τολμῶ
σιν ἐπὶ τοὺς ταῦτα κωλύοντας, καὶ ἀνέχοντας τὴν σικελίαν μέχρι
τοῦδε μὴ ὑπ' αὐτοὺς εἶναι παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους· πο
λὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν· δε
όμενοι τὴν ὑπάρχουσαν ἀπ' ἀλλήλων ἀμφοτέροις μὴ προδιδό
ναι· νομίσαι τε τοῖσδε μὲν καὶ ἄνευ ξυμμάχων αἰεὶ ἑτοίμην
ἐφ' ὑμᾶς διὰ τὸ πλῆθος εἶναι ὁδόν· ὑμῖν δ' οὐ πολλάκις παρα
σχήσειν μετὰ τοσῆσδε ἐπικουρίας ἀμύνεσθαι· ἣν εἰ τῷ ὑπόπτῳ

ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν, καὶ σφαλῆτε, ἔτι βουλήσεσθαι
ποτέ. καὶ πολλοστὸν μόριον αὐτῆς ἰδεῖν ὅτε οὐδὲν ἔτι περανεῖ
παραγενόμενον ὑμῖν· ἀλλὰ μήτε ὑμεῖς ὦ καμαριναῖοι ταῖς τῶν
δε διαβολαῖς ἀναπείθεσθε, μήτε οἱ ἄλλοι· εἰρήκαμεν δ' ὑμῖν
πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτευόμεθα· καὶ ἔτι ἐν κεφαλαίοις
ὑπομνήσαντες, ἀξιώσομεν πείθειν· φαμὲν γὰρ ἄρχειν μὲν τῶν
ἐκεῖ ἵνα μὴ ὑπακούωμεν ἄλλων· ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅ
πως μὴ ὑπ' αὐτῶν βλαπτώμεθα· πολλὰ δὲ ἀναγκάζεσθαι πρά
σσειν. διότι καὶ πολλὰ φυλασσόμεθα· ξύμμαχοι δὲ καὶ νῦν
καὶ πρότερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις, οὐκ ἄκλητοι.
παρακληθέντες δὲ ἥκειν· καὶ ὑμεῖς μήθ' ὡς δικασταὶ γενόμενοι
τῶν ἡμῖν ποιουμένων, μήθ' ὡς σωφρονισταί, ὃ χαλεπὸν ἤδη, ἀ
ποτρέπειν πειρᾶσθε· καθ' ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγ
μοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τοῦτο ἀπολαβόντες χρή
σασθε· καὶ νομίσατε μὴ πάντας ἴσα βλάπτειν αὐτά· πολὺ δὲ
πλέους τῶν ἑλλήνων καὶ ὠφελεῖν· ἐν παντὶ γὰρ πᾶς χωρίῳ καὶ ᾧ
μὴ ὑπάρχομεν, ὅ τε οἰόμενος ἀδικήσεσθαι, καὶ ὁ ἐπιβουλεύων
διὰ τὸ ἑτοίμην ὑπεῖναι ἐλπίδα· τῷ μὲν, ἀντιτυχεῖν ἐπικουρίας
ἀφ' ἡμῶν· τῷ δέ, εἰ ἥξομεν μὴ ἀδεεῖ εἶναι κινδυνεύειν, ἀμφό
τεροι ἀναγκάζονται, ὁ μὲν, ἄκων σωφρονεῖν, ὁ δ' ἀπραγμόνως
σῴζεσθαι· ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν
παροῦσαν ἀσφάλειαν, μὴ ἀπώσησθε· ἀλλ' ἐξισώσαντες τοῖς
ἄλλοις μεθ' ἡμῶν τοῖς συρακουσίοις, ἀντὶ τοῦ αἰεὶ φυλάσσεσθαι
αὐτούς, καὶ ἀντεπιβουλεῦσαι ποτὲ ἐκ τοῦ ὁμοίου μεταλάβετε·
τοιαῦτα ὁ εὔφημος εἶπεν· οἱ δὲ καμαριναῖοι ἐπεπόνθεσαν τοιόνδε·
τοῖς μὲν ἀθηναίοις εὖνοι ἦσαν πλὴν καθ' ὅσον εἰ τὴν σικελίαν ᾤοντο
αὐτοὺς δουλώσεσθαι· τοῖς δὲ συρακουσίοις αἰεὶ κατὰ τὸ ὅμορον διά
φοροι· δεδιότες δὲ οὐχ ἧσσον τοὺς συρακουσίους ἐγγὺς ὄντας μὴ
καὶ ἄνευ σφῶν περιγένωνται, τό τε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέ

ἔπεμψαν· καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς ὑπουργεῖν μὲν τοῖς συρακου
σίοις μᾶλλον ἔργῳ ὡς ἂν δύνωνται μετριώτατα· ἐν δὲ τῷ παρόν
τι ἵνα μηδὲ τοῖς ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι· ἐπειδὴ καὶ ἐ
πικρατέστεροι τῇ μάχῃ ἐγένοντο λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέ
ροις· καὶ οὕτω βουλευσάμενοι ἀπεκρίναντο· ἐπειδὴ τυγχάνει
ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος ὢν εὔορ
κον δοκεῖν εἶναι σφίσιν ἐν τῷ παρόντι μηδετέροις ἀμύνειν· καὶ οἱ
πρέσβεις ἑκατέρων ἀπῆλθον· καὶ οἱ μὲν συρακούσιοι τὰ καθ' ἑ
αυτοὺς ἐξηρτύοντο ἐς τὸν πόλεμον· οἱ δ' ἀθηναῖοι ἐν τῇ νάξῳ ἐστρα
τοπεδευμένοι, τὰ πρὸς τοὺς σικελοὺς ἔπρασσον· ὅπως αὐτοῖς
ὡς πλεῖστοι προσχωρήσονται· καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον
τῶν σικελῶν ὑπήκοοι ὄντες τῶν συρακουσίων, οἱ πολλοὶ ἀφεστή
κεσαν· τῶν δὲ τὴν μεσόγειαν ἐχόντων αὐτόνομοι οὖσαι καὶ πρό
τερον αἱ οἰκήσεις εὐθύς, πλὴν ὀλίγοι μετὰ τῶν ἀθηναίων ἦσαν·
καὶ σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι· καὶ εἰσὶν οἳ καὶ χρή
ματα· ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ ἀθηναῖοι στρατεύοντες,
τοὺς μέν, προσηνάγκαζον· τοὺς δέ, καὶ ὑπὸ τῶν συρακουσίων φρου
ρούς τε πεμπόντων καὶ βοηθούντων ἀπεκωλύοντο· τόν τε χειμῶνα
μεθορμισάμενοι ἐκ τῆς νάξου ἐς τὴν κατάνην· καὶ τὸ στρατόπε
δον ὃ κατεκαύθη ὑπὸ συρακουσίων αὖθις ἀνορθώσαντες διεχεί
μαζον· καὶ ἔπεμψαν μὲν ἐς καρχηδόνα τριήρη περὶ φιλίας· εἰ δύ
ναιντό τι ὠφελεῖσθαι· ἔπεμψαν δὲ καὶ ἐς τυρσηνίαν ἔστιν ὧν πό
λεων ἐπαγγελλομένων καὶ αὐτῶν ξυμπολεμεῖν· περιήγγελλον δὲ καὶ
τοῖς σικελοῖς· καὶ ἐς τὴν ἔγεσταν πέμψαντες, ἐκέλευον ὅτι πλείστους
ἵππους ὡς πλείστους πέμπειν· καὶ τἆλλα ἐς τὸν περιτειχισμὸν πλιν
θία καὶ σίδηρον ἡτοίμαζον· καὶ ὅσα ἔδει· ὡς ἅμα τῷ ἦρι ἑξό
μενοι τοῦ πολέμου· οἱ δ' ἐς τὴν κόρινθον καὶ τὴν λακεδαίμονα
τῶν συρακουσίων ἀποσταλέντες πρέσβεις, τούς τε ἰταλιώτας ἅμα
παραπλέοντες ἐπειρῶντο πείθειν μὴ περιορᾶν τὰ γιγνόμενα·

ἀπὸ τῶν ἀθηναίων· ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα· καὶ
ἐπειδὴ ἐν τῇ κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο ἀξιοῦντες σφίσι
κατὰ τὸ ξυγγενὲς βοηθεῖν· καὶ οἱ κορίνθιοι εὐθὺς ψηφισάμενοι
αὐτοὶ πρῶτοι ὥστε πάσῃ προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν λακε-
δαίμονα ξυναπέστελλον αὐτοῖς πρέσβεις· ὅπως καὶ ἐκείνους
ξυναναπείθοιεν, τόν τε αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι
πρὸς τοὺς ἀθηναίους, καὶ ἐς τὴν σικελίαν ὠφελίαν τινὰ πέμ-
πειν· καὶ οἵ τε ἐκ τῆς κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν λακε-
δαίμονα· καὶ ἀλκιβιάδης τότε εὐθὺς μετὰ τῶν ξυμφυγάδων
ἐπὶ πλοίου περαιωθεὶς φορτηγικοῦ ἐκ τῆς θουρίας ἐς κυλλήνην
τῆς ἠλείας πρῶτον, ἔπειτα ὕστερον ἐς τὴν λακεδαίμονα αὐτῶν τῶν
λακεδαιμονίων μεταπεμψάντων ὑπόσπονδος ἐλθών, ἐφο-
βεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν μαντινικῶν πρᾶξιν· καὶ ξυ-
νέβη ἐν τῇ ἐκκλησίᾳ τῶν λακεδαιμονίων, τούς τε κορινθίους καὶ
τοὺς συρακοσίους τὰ αὐτὰ καὶ τὸν ἀλκιβιάδην δεομένους πεί-
θειν τοὺς λακεδαιμονίους· καὶ διανοουμένων τῶν τε ἐφόρων
καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς συρακούσας κωλύον-
τας μὴ ξυμβαίνειν ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων,
παρελθὼν ἀλκιβιάδης παρώξυνέ τε τοὺς λακεδαιμονίους καὶ
ἐξώρμα λέγων τοιάδε: Δημηγορία ἀλκιβιάδου

Ἀναγκαῖον περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον ἐς ὑμᾶς εἰπεῖν ἵνα
μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ἀκροάσησθε· τῶν δ' ἐμῶν
προγόνων τὴν προξενίαν ὑμῶν κατά τι ἔγκλημα ἀπειπόντων, αὐ- προ
τὸς ἐγὼ πάλιν ἀναλαμβάνων, ἐθεράπευον ὑμᾶς, ἄλλα τε καὶ
περὶ τὴν ἐκ πύλου ξυμφοράν· καὶ διατελοῦντός μου προ-
θύμου, ὑμεῖς πρὸς ἀθηναίους καταλλασσόμενοι, τοῖς μὲν ἐμοῖς
ἐχθροῖς δύναμιν δι' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν
περιέθετε· καὶ διὰ ταῦτα δικαίως ὑπ' ἐμοῦ πρός τε τὰ μαντι-
νέων καὶ ἀργείων τραπομένου, καὶ ὅσα ἄλλα ἐνηντιούμην

ἡμῖν ἐβλάπτεσθε· καὶ νῦν εἴ τις καὶ τότε ἐν τῷ πάσχειν ὀργιζό- οὐκ ὀρθῶς
μενος, μετὰ τοῦ ἀληθοῦς σκοπῶν ἀναπειθέσθω· ἢ εἴ τις διότι
καὶ τῷ δήμῳ μᾶλλον χεῖρόν με ἐνόμιζε, μηδ' οὕτως ἡγήσηται προσεκείμην
ὀρθῶς ἄχθεσθαι· τοῖς γὰρ τυράννοις ἀεί ποτε διάφοροί ἐσμεν·
πᾶν δὲ τὸ ἐναντιούμενον τῷ δυναστεύοντι δῆμος ὠνόμασται· καὶ
ἀπ' ἐκείνου ξυμπαρέμεινεν ἡ προστασία ἡμῖν τοῦ πλήθους· ἅ-
μα δὲ καὶ τῆς πόλεως δημοκρατουμένης τὰ πολλὰ ἀνάγκη
ἦν τοῖς παροῦσιν ἕπεσθαι· τῆς δὲ ὑπαρχούσης ἀκολασίας ἐ-
πειρώμεθα μετριώτεροι ἐς τὰ πολιτικὰ εἶναι· ἄλλοι δ' ἦσαν
καὶ ἐπὶ τῶν πάλαι καὶ νῦν, οἳ ἐπὶ τὰ πονηρότερα ἐξῆγον τὸν
ὄχλον· οἵπερ καὶ ἐμὲ ἐξήλασαν· ἡμεῖς δὲ τοῦ ξύμπαντος προ-
έστημεν· δικαιοῦντες ἐν ᾧ σχήματι μεγίστη ἡ πόλις καὶ ἐλευ-
θερωτάτη οὖσα, καὶ ὅπερ ἐδέξατό τις τοῦτο ξυνδιασώζειν· ἐ-
πεὶ δημοκρατίαν γε, καὶ ἐγιγνώσκομεν οἱ φρονοῦντές τι·
καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον ὅσῳ καὶ λοιδορήσαιμι· ἀλλὰ περὶ
ὁμολογουμένης ἀνοίας, οὐδὲν ἂν καινὸν λέγοιτο· καὶ τὸ
μεθιστάναι αὐτήν, οὐκ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι ὑμῶν πο-
λεμίων προσκαθημένων· καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς
τοιαῦτα ξυνέβη· περὶ δὲ ὧν ὑμῖν τε βουλευτέον, καὶ ἐμοὶ
εἴ τι πλέον οἶδα ἐσηγητέον, μάθετε ἤδη· ἐπλεύσαμεν ἐς Σικε-
λίαν· πρῶτον μὲν εἰ δυναίμεθα Σικελιώτας καταστρεψό-
μενοι, μετὰ δὲ ἐκείνους αὖθις καὶ Ἰταλιώτας, ἔπειτα καὶ τῆς
Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν ἀποπειράσοντες· εἰ δὲ προ-
χωρήσειε ταῦτα, ἢ πάντα, ἢ καὶ τὰ πλείω, ἤδη καὶ τῇ Πελο-
ποννήσῳ ἐμέλλομεν ἐπιχειρήσειν· κομίσαντες ξύμπασαν
μὲν τὴν ἐκεῖθεν προσγενομένην δύναμιν τῶν Ἑλλήνων· πολ-
λοὺς δὲ βαρβάρους μισθωσάμενοι καὶ Ἴβηρας· καὶ ἄλλους τῶν
ἐκεῖ ὁμολογουμένως νῦν βαρβάρων μαχιμωτάτους· τριήρεις
τε πρὸς ταῖς ἡμετέραις πολλὰς ναυπηγησάμενοι, ἐχούσης τῆς

ἰταλία ξύλα ἄφθονα· οἷς τὴν πελοπόννησον πέριξ πολιορκοῦν-
τες καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμαῖς τῶν πόλεων τὰς μὲν,
βίᾳ λαβόντες· τὰς δὲ ἐντειχισάμενοι· ῥαδίως ἠλπίζομεν
καταπολεμήσειν· καὶ μετὰ ταῦτα καὶ τοῦ ξύμπαντος ἑλλη-
νικοῦ ἄρξειν· χρήματα δὲ καὶ σῖτον ὥστε εὐπορώτερον γίγνε-
σθαί τι αὐτῶν· αὐτὰ τὰ προσγενόμενα ἐκεῖθεν χωρία· ἔ-
μελλε διαρκῆ ἄνευ τῆς ἐνθένδε προσόδου παρέξειν· τοιαῦτα
μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου παρὰ τοῦ τὰ ἀκριβέστατα εἰ-
δότος ὡς διενοήθημεν ἀκηκόατε· καὶ ὅσοι ὑπόλοιποι στρα-
τηγοὶ ἢν δύνωνται ὁμοίως αὐτὰ πράξουσιν· ὡς δὲ εἰ μὴ
βοηθήσετε οὐ περιέσται τἀκεῖ· μάθετε ἤδη· σικελιῶται γὰρ
ἀπειρότεροι μέν εἰσιν· ὅμως δ' ἂν ξυστραφέντες ἀθρόοι καὶ
νῦν ἔτι περιγένοιντο· συρακούσιοι δὲ μόνοι μάχῃ τε ἤδη παν-
δημεὶ ἡσσημένοι καὶ ναυσὶν ἅμα κατειργόμενοι, ἀδύνατοι
ἔσονται τὴν νῦν ἀθηναίων ἐκεῖ παρασκευὴν ἀντισχεῖν· καὶ εἰ αὕτη
ἡ πόλις ληφθήσεται, ἔχεται ἡ πᾶσα σικελία· εὐθὺς
δὲ καὶ ἰταλία· καὶ ὃν ἄρτι κίνδυνον ἐκεῖθεν προεῖπον, οὐκ ἂν
διὰ μακροῦ ὑμῖν ἐπιπέσοι· ὥστε μὴ περὶ τῆς σικελίας τις οἰέ-
σθω μόνον βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς πελοποννήσου εἰ μὴ ποι-
ήσετε τάδε ἐν τάχει· στρατιάν τε ἐπὶ νεῶν πέμψετε τοιαύτην
ἐκεῖσε, οἵτινες αὐτερέται κομισθέντες καὶ ὁπλιτεύσουσιν
εὐθύς· καὶ ὃ τῆς στρατιᾶς ἔτι χρησιμώτερον εἶναι νομίζω,
ἀνδρ λάτην. ἄνδρα σπαρτιάτην ἄρχοντα, ὡς τούς τε παρόντας ξυντάξοι·
καὶ τοὺς μὴ θέλοντας προσαναγκάσοι· οὕτω γὰρ οἵ τε ὑπάρ-
χοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον, καὶ οἱ ἐνδοιάζοντες
ἀδεέστεροι προσίασι· καὶ τὰ ἐνθάδε χρὴ ἅμα φανερώ-
τερον ἐκπολεμεῖν· ἵνα συρακούσιοί τε νομίζοντες ὑμᾶς
ἐπιμελεῖσθαι, μᾶλλον ἀντέχωσι· καὶ ἀθηναῖοι τοῖς ἑαυτῶν
ἧσσον ἄλλην ἐπικουρίαν πέμπωσι· τειχίζειν δὲ χρὴ δεκέλεια

τῆς ἀττικῆς· ὅπερ ἀεὶ οἴονται μάλιστα αὐ φοβοῦνται· καὶ μόνου αὐτοῦ νομίζουσι τῶν ἐν τῷ πολέμῳ οὐ διαπεπειρᾶσθαι. βεβαιότατα δ' ἄν τις οὕτω τοὺς πολεμίους βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι· εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα δεινὰ ἐπισταμένους φοβεῖσθαι· ἃ δ' ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους κωλύσετε, πολλὰ παρεὶς, τὰ μέγιστα κεφαλαιώσω· οἷς τε γὰρ ἡ χώρα κατεσκεύασται τὰ πολλὰ πρὸς ὑμᾶς, τὰ μὲν ληφθέντα, τὰ δ' αὐτόματα ἥξει· καὶ τὰς τοῦ λαυρείου τῶν ἀργυρείων μετάλλων προσόδους· καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται· εὐθὺς ἀποστερήσονται· μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου ἧσσον διαφορουμένης· οἳ τὰ παρ' ὑμῶν νομίσαντες ἤδη κατὰ κράτος πολεμεῖσθαι, ὀλιγωρήσουσι. γίγνεσθαι δέ τι αὐτῶν καὶ ἐν τάχει προθυμότερον ἐν ὑμῖν ἐστιν ὦ λακεδαιμόνιοι· ἐπεὶ ὥς γε δυνατὰ, καὶ οὐχ ἁμαρτήσεσθαι οἶμαι γνώμης, πάνυ θαρσῶ· καὶ χείρων οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ μετὰ τῶν πολεμιωτάτων φιλόπολίς ποτε δοκῶν εἶναι, νῦν ἐγκρατῶς ἐπέρχομαι· οὐδὲ ὑποπτεύεσθαί μου ἐς τὴν φυγαδικὴν προθυμίαν τὸν λόγον· φυγάς τε γάρ εἰμι τῆς τῶν ἐξελασάντων πονηρίας καὶ οὐ τῆς ὑμετέρας ἢν πείθησθέ μοι ὠφελίας· καὶ πολεμιώτεροι οὐχ οἱ τοὺς πολεμίους που βλάψαντες ὑμεῖς, ἢ οἱ τοὺς φίλους ἀναγκάσαντες πολεμίους γενέσθαι· τό τε φιλόπολι, οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω· ἀλλ' ἐν ᾧ ἀσφαλῶς ἐπολιτεύθην· οὐδ' ἐπὶ πατρίδα οὖσαν ἔτι ἡγοῦμαι νῦν ἰέναι· πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν ἀνακτᾶσθαι· καὶ φιλόπολις οὗτος ὀρθῶς, οὐχ ὃς ἂν τὴν ἑαυτοῦ ἀδίκως ἀπολέσας μὴ ἐπίῃ· ἀλλ' ὃς ἂν ἐκ παντὸς τρόπου διὰ τὸ ἐπιθυμεῖν πειραθῇ αὐτὴν ἀναλαβεῖν· οὕτως

ἔμαγε ἀξιῶ ὑμᾶς καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν πᾶσαν ἀ-
δεῶς χρῆσθαι ὦ λακεδαιμόνιοι· γνόντας τοῦτον δὴ τὸν ὑφ'
ἁπάντων προφερόμενον λόγον, ὡς εἰ πολέμιός γε ὢν σφό-
δρα ἔβλαπτον, καὶ ἂν φίλος ὢν ἱκανῶς ὠφελοίην· ὅσῳ
τὰ μὲν ἀθηναίων οἶδα. τὰ δὲ ὑμέτερα ᾔκαζον· καὶ αὐτοὺς
δὴ νομίσαντας περὶ μεγίστων δὴ τῶν διαφερόντων βουλεύ-
εσθαι, μὴ ἀποκνεῖν τὴν ἐς σικελίαν τε καὶ ἐς τὴν ἀττικὴν
στρατείαν· ἵνα τά τε ἐκεῖ βραχεῖ μορίῳ ξυμπαραγενόμενοι,
μεγάλα σώσητε, καὶ ἀθηναίων τήν τε οὖσαν καὶ τὴν μέλλου-
σαν δύναμιν καθέλητε· καὶ μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς
οἰκῆτε καὶ τῆς ἁπάσης ἑλλάδος ἑκούσης καὶ οὐ βίᾳ, κατ'
εὔνοιαν δὲ ἡγήσησθε: ὁ μὲν ἀλκιβιάδης τοσαῦτα εἶπεν·
οἱ δὲ λακεδαιμόνιοι διανοούμενοι καὶ αὐτοὶ πρότερον στρα-
τεύεσθαι ἐπὶ τὰς ἀθήνας, μέλλοντες δὲ ἔτι καὶ περιορώ-
μενοι· πολλῷ μᾶλλον ἐπερρώσθησαν διδάξαντος ταῦτα
ἕκαστα αὐτοῦ· καὶ νομίσαντες παρὰ τοῦ σαφέστατα εἰδό-
τος ἀκηκοέναι, ὥστε τῇ ἐπιτειχίσει τῆς δεκελείας προσεῖχον
ἤδη τὸν νοῦν καὶ τὸ παραυτίκα· καὶ τοῖς ἐν τῇ σικελίᾳ πέμπειν
τινὰ τιμωρίαν· καὶ γύλιππον τὸν κλεανδρίδου προστάξαντες
ἄρχοντα τοῖς συρακουσίοις, ἐκέλευον μετ' ἐκείνων καὶ τῶν κο-
ρινθίων βουλευόμενον ποιεῖν, ὅπῃ ἐκ τῶν παρόντων μάλιστα
καὶ τάχιστά τις ὠφελία ἥξει τοῖς ἐκεῖ· ὁ δὲ δύο μὲν ναῦς
τούς κορινθίους ἤδη ἐκέλευεν οἱ πέμπειν ἐς ἀσίνην· τὰς δὲ
λοιπὰς παρασκευάζεσθαι ὅσας διενοοῦντο πέμπειν· καὶ
ὅταν καιρὸς ᾖ ἑτοίμας εἶναι πλεῖν· ταῦτα δὲ ξυνθέμενοι
ἀνεχώρουν ἐκ τῆς λακεδαίμονος· ἀφῖκτο δὲ καὶ ἡ ἐκ
τῆς σικελίας τριήρης τῶν ἀθηναίων ἣν ἀπέστειλαν οἱ στρατη-
γοί, ἐπί τε χρήματα καὶ ἱππέας· καὶ οἱ ἀθηναῖοι ἀκούσαν-
τες ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ καὶ

5

καὶ τοὺς ἱππέας. καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ ἕβδομον καὶ δέ-
κατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε ὃν θουκυδίδης ξυνέ-
γραψεν. ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου
θέρους, οἱ ἐν τῇ σικελίᾳ ἀθηναῖοι ἄραντες ἐκ τῆς κατάνης,
παρέπλευσαν ἐπὶ μεγάρων τῶν ἐν τῇ σικελίᾳ. οὓς ἐπὶ γέλω-
νος τοῦ τυράννου ὥσπερ καὶ πρότερόν μοι εἴρηται ἀναστήσαντες
συρακούσιοι ἀναστήσαντες αὐτοὶ ἔχουσι τὴν γῆν. ἀποβάντες
δὲ ἐδῄωσαν τούς τε ἀγρούς. καὶ ἐλθόντες ἐπὶ ἔρυμά τι τῶν συ-
ρακουσίων καὶ οὐχ ἑλόντες αὖθις καὶ πεζῇ καὶ ναυσὶ πα-
ρακομισθέντες ἐπὶ τὸν τηρίαν ποταμόν, τό τε πεδίον ἀνα-
βάντες ἐδῄουν. καὶ τὸν σῖτον ἐνεπίμπρασαν. καὶ τῶν συ-
ρακουσίων περιτυχόντες τισὶν οὐ πολλοῖς, καὶ ἀποκτείναντες
τινὰς καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐπὶ τὰς ναῦς. καὶ
ἀποπλεύσαντες ἐς κατάνην. ἐκεῖθεν ἐπισιτισάμενοι πάσῃ
τῇ στρατιᾷ, ἐχώρουν ἐπὶ κεντόριπα σικελῶν πόλισμα, καὶ
προσαγαγόμενοι ὁμολογίᾳ, ἀπῇσαν πιμπράντες ἅμα τὸν
σῖτον τῶν τε ἰνησσαίων καὶ τῶν ὑβλαίων. καὶ ἀφικόμενοι ἐς
κατάνην, καταλαμβάνουσι τούς τε ἱππέας ἥκοντας ἐκ τῶν ἀθη-
νῶν πεντήκοντα καὶ διακοσίους. ἄνευ τῶν ἵππων μετὰ σκευῆς ὡς
αὐτόθεν ἵππων πορισθησομένων. καὶ ἱπποτοξότας τρι-
άκοντα. καὶ τάλαντα ἀργυρίου τριακόσια. τοῦ δ' αὐτοῦ
ἦρος καὶ ἐπ' ἄργος στρατεύσαντες λακεδαιμόνιοι, μέχρι
μὲν κλεωνῶν ἦλθον. σεισμοῦ δὲ γενομένου, ἀπεχώρησαν.
καὶ ἀργεῖοι μετὰ ταῦτα ἐσβαλόντες ἐς τὴν θυρεᾶτιν ὅμορον
οὖσαν λείαν τῶν λακεδαιμονίων πόλιν, ἔλαβον. ἣ ἐπράθη πολλ.
ταλάντων οὐκ ἔλασσον πέντε καὶ εἴκοσι. καὶ ὁ θεσπιῶν δῆ-
μος ἐν τῷ αὐτῷ θέρει οὐ πολλῷ ὕστερον ἐπιθέμενος τοῖς τὰς
ἀρχὰς ἔχουσιν οὐ κατέσχεν. ἀλλὰ βοηθησάντων θηβαίων. οἱ μὲν
ξυνελήφθησαν. οἱ δ' ἐξέπεσον ἀθήναζε. καὶ οἱ συρακούσιοι

τοῦ αὐτοῦ θέρους ὡς ἐπύθοντο τοὺς ἱππέας ἥκοντας τοῖς ἀθηναίοις καὶ μέλλοντας ἤδη ἐπὶ σφᾶς ἰέναι, νομίσαντες ἐὰν μὴ τῶν ἐπιπολῶν κρατήσωσιν οἱ ἀθηναῖοι, χωρίου ἀποκρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς κειμένου, οὐκ ἂν ῥᾳδίως σφᾶς οὐδ' εἰ κρατοῖντο μάχῃ ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν, ὅπως μὴ κατὰ ταῦτα λάθωσι σφᾶς ἀναβάντες οἱ πολέμιοι· οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι. ἐξήρτηται γὰρ τὸ ἄλλο χωρίον καὶ μέχρι τῆς πόλεως ἐπικλινές τε ἐστὶ καὶ ἐπιφανὲς πᾶν ἔσω· καὶ ὠνόμασται ὑπὸ τῶν συρακοσίων διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι ἐπιπολαί. καὶ οἱ μὲν ἐξελθόντες πανδημεὶ ἐς τὸν λειμῶνα παρὰ τὸν ἄναπον ποταμὸν ἅμα τῇ ἡμέρᾳ. ἐτύγχανον γὰρ αὐτοῖς καὶ οἱ περὶ τὸν ἑρμοκράτην στρατηγοὶ ἄρτι παρειληφότες τὴν ἀρχήν, ἐξέτασίν τε ὅπλων ἐποιοῦντο· καὶ ἑξακοσίους λογάδας τῶν ὁπλιτῶν ἐξέκριναν πρότερον ὧν ἦρχε διόμιλος φυγὰς ἐξ ἄνδρου, ὅπως τῶν τε ἐπιπολῶν εἶεν φύλακες, καὶ ἢν ἄλλοσε δέῃ ταχὺ παραγίγνοιντο. οἱ δὲ ἀθηναῖοι ταύτης τῆς νυκτὸς τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ, ἐξήταζον· καὶ ἔλαθον αὐτοὺς παντὶ ἤδη τῷ στρατεύματι ἐκ τῆς κατάνης σχόντες κατὰ τὸν λέοντα καλούμενον· ὃς ἀπέχει τῶν ἐπιπολῶν, ἓξ ἢ ἑπτὰ σταδίους· καὶ τοὺς πεζοὺς ἀποβιβάσαντες, ταῖς τε ναυσὶν ἐς τὴν θάψον καθορμισάμενοι, ἔστι δὲ χερσόνησος μὲν ἐν στενῷ ἰσθμῷ προύχουσα ἐς τὸ πέλαγος· τῆς δὲ συρακοσίων πόλεως οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει· καὶ ὁ μὲν ναυτικὸς στρατὸς τῶν ἀθηναίων ἐν τῇ θάψῳ διασταυρωσάμενος τὸν ἰσθμὸν ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει εὐθὺς δρόμῳ πρὸς τὰς ἐπιπολάς καὶ φθάνει ἀναβὰς κατὰ τὸν εὐρύηλον πρὶν τοὺς συρακοσίους αἰσθομένους ἐκ τοῦ λειμῶνος καὶ τῆς ἐξετάσεως παραγενέσθαι· ἐβοήθουν δὲ οἵ τε ἄλλοι ὡς ἕκαστος

τάχους εἶχε· καὶ οἱ περὶ τὸν διόμιλον ἑξακόσιοι· στάδιοι δὲ
πρὶν προσμῖξαι ἐκ τοῦ λειμῶνος ἐγίγνοντο αὐτοῖς οὐκ ἐλάσ-
σους ἢ πέντε καὶ εἴκοσι· προσπεσόντες οὖν αὐτοῖς τοιούτῳ τρό-
πῳ ἀτακτότερον καὶ μάχῃ νικηθέντες οἱ συρακόσιοι ἐπι-
ταῖς ἐπιπολαῖς ἀνεχώρησαν ἐς τὴν πόλιν· καὶ ὅ τε διόμιλος
ἀποθνήσκει· καὶ τῶν ἄλλων ὡς τριακόσιοι· καὶ μετὰ τοῦτο οἱ
ἀθηναῖοι τροπαῖον στήσαντες, καὶ τοὺς νεκροὺς ὑποσπόνδους
ἀποδόντες τοῖς συρακοσίοις, πρὸς τὴν πόλιν αὐτὴν, τῇ ὑστε-
ραίᾳ ἐπικαταβάντες, ὡς οὐκ ἐπεξῄεσαν αὐτοῖς, ἐπαναχω-
ρήσαντες φρούριον ἐπὶ τῷ λαβδάλῳ ᾠκοδόμησαν ἐπ᾽ ἄκροις
τοῖς κρημνοῖς τῶν ἐπιπολῶν ὁρῶν πρὸς τὰ μέγαρα· ὅπως εἴη
αὐτοῖς ὁπότε προσίοιεν ἢ μαχούμενοι ἢ τειχιοῦντες, τοῖς τε σκεύεσι
καὶ τοῖς χρήμασιν ἀποθήκη· καὶ οὐ πολλῷ ὕστερον ἦλθον αὐ-
τοῖς ἐκ τῆς ἐγέστης τριακόσιοι· καὶ σικελῶν καὶ ναξίων καὶ ἄλ-
λων τινῶν ὡς ἑκατόν· καὶ ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ δι-
ακόσιοι· οἷς ἵππους τοὺς μὲν παρ᾽ ἐγεσταίων καὶ καταναίων ἔ-
λαβον· τοὺς δὲ ἐπρίαντο· καὶ ξύμπαντες πεντήκοντα καὶ ἑξα-
κόσιοι ἱππῆς ξυνελέγησαν· καὶ καταστήσαντες ἐν τῷ λαβδάλῳ
φυλακὴν, ἐχώρουν πρὸς τὴν συκῆν οἱ ἀθηναῖοι· ἵναπερ κα-
θεζόμενοι ἐτείχισαν τὸν κύκλον διὰ τάχους· καὶ ἔκπληξιν τοῖς
συρακοσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας· καὶ ἐπε-
ξελθόντες μάχην διενοοῦντο ποιεῖσθαι καὶ μὴ περιορᾶν· καὶ
ἤδη ἀντιπαραταττομένων ἀλλήλοις, οἱ τῶν συρακοσίων
στρατηγοὶ ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπασμένον τε
καὶ οὐ ῥᾳδίως ξυνταττόμενον, ἀνήγαγον πάλιν ἐς τὴν πόλιν
πλὴν μέρους τινὸς τῶν ἱππέων· οὗτοι δὲ ὑπομένοντες ἐκώ-
λυον τοὺς ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκίδνασθαι μα-
κροτέραν· καὶ τῶν ἀθηναίων φυλὴ μία τῶν ὁπλιτῶν καὶ
οἱ ἱππῆς μετ᾽ αὐτῶν πάντες, ἐτρέψαντο τοὺς τῶν συρακοσί

ἱππεῦ προσβαλόντες· καὶ ἀπέκτειναν τινας· καὶ τροπαῖον
τῆς ἱππομαχίας ἔστησαν· καὶ τῇ ὑστεραίᾳ οἱ μὲν, ἐτείχιζον τῶν
ἀθηναίων τὸ πρὸς βορέαν τοῦ κύκλου τεῖχος· οἱ δὲ, λίθους
καὶ ξύλα ξυμφοροῦντες, παρέβαλλον ἐπὶ τὸν τρώγιλον καλού-
μενον αἰεὶ, ᾗπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου
λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα· οἱ δὲ συ-
ρακούσιοι οὐχ ἥκιστα ἑρμοκράτους τῶν στρατηγῶν ἐσηγησα-
μένου, μάχαις μὲν πανδημεὶ πρὸς ἀθηναίους, οὐκέτι ἐβούλοντο
διακινδυνεύειν· ὑποτειχίζειν δὲ ἄμεινον ἐδόκει εἶναι ᾗ ἐκεῖ-
νοι ἔμελλον ἄξειν τὸ τεῖχος· καὶ εἰ φθάσειαν ἀποκλήσεις γίγνε-
σθαι· καὶ ἅμα καὶ ἐν τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμ-
πειν αὐτοῖς τῆς στρατιᾶς· καὶ φθάνειν αὐτοῖς σταυροῖς προκα-
ταλαμβάνοντες τὰς ἐφόδους· ἐκείνους δὲ ἂν παυομένους
τοῦ ἔργου πάντας ἂν πρὸς σφᾶς τρέπεσθαι· ἐτείχιζον
οὖν ἐξελθόντες ἀπὸ τῆς σφετέρας πόλεως ἀρξάμενοι κάτωθεν
τοῦ κύκλου τῶν ἀθηναίων ἐγκάρσιον τεῖχος ἄγοντες· τάς τε
ἐλάας ἐκκόπτοντες τοῦ τεμένους· καὶ πύργους ξυλίνους κα-
θιστάντες· αἱ δὲ νῆες τῶν ἀθηναίων, οὔπω ἐκ τῆς θάψου περιε-
πεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα· ἀλλ' ἔτι οἱ συρακούσιοι ἐ-
κράτουν τῶν περὶ τὴν θάλασσαν· κατὰ γῆν δὲ ἐκ τῆς θάψου
οἱ ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο· ἐπειδὴ δὲ τοῖς συρακου-
σίοις ἐδόκει ἀρκούντως ἔχειν ὅσα τε ἐσταυρώθη καὶ ᾠκοδομή-
θη τοῦ ὑποτειχίσματος, καὶ οἱ ἀθηναῖοι αὐτοὺς οὐκ ἦλθον κω-
λύσοντες, φοβούμενοι μὴ σφίσι δίχα γιγνομένοις, ῥᾷον
μάχωνται, καὶ ἅμα τὴν καθ' αὑτοὺς περιτείχισιν ἐπειγόμενοι,
οἱ μὲν συρακούσιοι φυλὴν μίαν καταλιπόντες φυλακὰ
τοῦ οἰκοδομήματος, ἀνεχώρησαν ἐς τὴν πόλιν· οἱ δὲ ἀ-
θηναῖοι τούς τε ὀχετοὺς αὐτῶν οἱ ἐς τὴν πόλιν ὑπονομηδὸν
ποτοῦ ὕδατος ἠγμένοι, διέφθειραν· καὶ τηρήσαντες

τούς τε ἄλλους συρακουσίους κατὰ σκηνὰς ὄντας ἐν μεσημβρίᾳ
καὶ τινας καὶ ἐς τὴν πόλιν ἀποκεχωρηκότας καὶ τοὺς ἐν τῷ
σταυρώματι ἀμελῶς φυλάσσοντας. τριακοσίους μὲν σφῶν
αὐτῶν λογάδας καὶ ψιλῶν τινας ἐπιλέκτους ὡπλισμένους, προὔ-
ταξαν θεῖν δρόμῳ ἐξαπιναίως πρὸς τὸ ἀποτείχισμα· ἡ δ' ἄλ-
λη στρατιὰ δίχα· ἡ μὲν, μετὰ τοῦ ἑτέρου στρατηγοῦ, πρὸς
τὴν πόλιν εἰ ἐπιβοηθοῖεν ἐχώρουν· οἱ δὲ, μετὰ τοῦ ἑτέρου
πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα· καὶ προσβαλόντες
οἱ τριακόσιοι αἱροῦσι τὸ σταύρωμα· καὶ οἱ φύλακες αὐτὸ ἐκ-
λιπόντες, κατέφυγον ἐς τὸ προτείχισμα τὸ περὶ τὸν τεμενίτην·
καὶ αὐτοῖς ξυνέπεσον οἱ διώκοντες· καὶ ἐντὸς γενόμενοι βίᾳ
ἐξεκρούσθησαν πάλιν ὑπὸ τῶν συρακουσίων· καὶ τῶν ἀργεί-
ων τινὲς αὐτόθι καὶ τῶν ἀθηναίων, οὐ πολλοὶ διεφθάρησαν· καὶ
ἐπαναχωρήσασα ἡ πᾶσα στρατιά, τήν τε ὑποτείχισιν καθεῖλον
καὶ τὸ σταύρωμα ἀνέσπασαν· καὶ διεφόρησαν τοὺς σταυρούς,
παρ' ἑαυτοὺς καὶ τροπαῖον ἔστησαν· τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ
κύκλου ἐτείχιζον οἱ ἀθηναῖοι τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους·
ὃς τῶν ἐπιπολῶν ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ· καὶ ᾗπερ
αὐτοῖς βραχύτατον ἐγίγνετο καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ
τοῦ ἕλους ἐς τὸν λιμένα τὸ περιτείχισμα· καὶ οἱ συρακούσιοι ἐν
τούτῳ ἐξελθόντες καὶ αὐτοὶ ἀπεσταύρουν αὖθις ἀρξάμενοι
ἀπὸ τῆς πόλεως διὰ μέσου τοῦ ἕλους· καὶ τάφρον ἅμα παρώ-
ρυσσον· ὅπως μὴ οἷόν τε ᾖ τοῖς ἀθηναίοις μέχρι τῆς θαλάσσης
ἀποτειχίσαι· οἱ δ' ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν αὐτοῖς ἐξείργαστο,
ἐπιχειροῦσιν αὖθις τῷ τῶν συρακουσίων σταυρώματι καὶ τάφ-
ρῳ· τὰς μὲν ναῦς κελεύσαντες περιπλεῦσαι ἐκ τῆς θάψου ἐς
τὸν λιμένα τὸν τῶν συρακουσίων· αὐτοὶ δὲ περὶ ὄρθρον κα-
ταβάντες ἀπὸ τῶν ἐπιπολῶν ἐς τὸ ὁμαλὸν καὶ διὰ τοῦ ἕ-
λους ᾗ πηλῶδες ἦν καὶ στεριφώτατον. θύρας καὶ ξύλα πλατέα

ἐπιθέντες καὶ διαβαδίζοντες, αἱροῦσιν ἅμα ἕω τὸ σταύρωμα
πλὴν ὀλίγου· καὶ τὴν τάφρον καὶ τὸ ὑπολειφθὲν εἷλον· καὶ μά-
χη ἐγένετο· καὶ ἐν αὐτῇ ἐνίκων οἱ ἀθηναῖοι· καὶ τῶν συρακου-
σίων οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες, πρὸς τὴν πόλιν ἔφυγον·
οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ παρὰ τὸν ποταμόν· καὶ αὐτοὺς βουλόμενοι
ἀποκλήσασθαι τῆς διαβάσεως οἱ τῶν ἀθηναίων τριακόσιοι λογά-
δες δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν· δείσαντες δὲ οἱ συρα-
κούσιοι, ἦσαν γὰρ καὶ τῶν ἱππέων αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα. ὁ-
μόσε χωροῦσι τοῖς τριακοσίοις τούτοις· καὶ τρέπουσί τε αὐτοὺς
καὶ ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν ἀθηναίων· καὶ προσ-
πεσόντων αὐτῶν, ξυνεφοβήθη καὶ ἡ πρώτη φυλακὴ τοῦ κέρως.
ἰδὼν δὲ ὁ λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν
μετὰ τοξοτῶν τε οὐ πολλῶν· καὶ τοὺς ἀργείους παραλαβὼν, καὶ
ἐπιδιαβὰς τάφρον τινὰ, καὶ ἐπιμονωθεὶς μετ' ὀλίγων τῶν
ξυνδιαβάντων, ἀποθνήσκει αὐτός τε καὶ πέντε ἢ ἓξ τῶν μετ'
αὐτοῦ· καὶ τούτους μὲν οἱ συρακούσιοι εὐθὺς κατὰ τάχος φθά-
νουσιν ἁρπάσαντες πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλές· αὐτοὶ
δὲ ἐπιόντος ἤδη καὶ τοῦ ἄλλου στρατεύματος τῶν ἀθηναίων,
ἀπεχώρουν· ἐν τούτῳ δὲ οἱ πρὸς τὴν πόλιν αὐτῶν τὸ πρῶτον κατα-
φυγόντες, ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε πάλιν ἀπὸ τῆς
πόλεως ἀναθαρσήσαντες ἀντετάξαντο πρὸς τοὺς κατὰ σφᾶς
ἀθηναίους, καὶ μέρος τι αὐτῶν πέμπουσιν ἐπὶ τὸν κύκλον ἐπὶ
ταῖς ἐπιπολαῖς, ἡγούμενοι ἔρημον αἱρήσειν· καὶ τὸ μὲν δε-
κάπλεθρον προτείχισμα αὐτῶν αἱροῦσι καὶ διεπόρθησαν·
αὐτὸν δὲ τὸν κύκλον νικίας διεκώλυσε· ἔτυχε γὰρ ἐν αὐτῷ
δι' ἀσθένειαν ὑπολελειμμένος· τὰς γὰρ μηχανὰς καὶ ξύλα
ὅσα πρὸ τοῦ τείχους ἦν καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑ-
πηρέτας ἐκέλευσεν, ὡς ἔγνω ἀδυνάτους ἐσομένους ἐρη-
μίᾳ ἀνδρῶν ἄλλῳ τρόπῳ περιγενέσθαι· καὶ ξυνέβη οὕτως

5

οὐ γὰρ ἔτι προσῆλθον οἱ συρακόσιοι διὰ τὸ πῦρ· ἀλλ' ἀπε-
χώρουν πάλιν· καὶ γὰρ πρός τε τὸν κύκλον βοήθεια κάτω-
θεν τῶν ἀθηναίων ἀποδιώξασα τοὺς ἐκεῖ ἐπῄει· καὶ αἱ
νῆες ἅμα αὐτῶν ὥσπερ εἴρητο ἐκ τῆς θάψου κατέπλεον ἐς τὸν
μέγαν λιμένα· ἃ ὁρῶντες οἱ ἄνωθεν κατὰ τάχος ἀπῄεσαν· καὶ
ἡ ξύμπασα στρατιὰ τῶν συρακοσίων ἐς τὴν πόλιν· νομίσαν-
τες μὴ ἂν ἔτι σφίσιν ἀπὸ τῆς παρούσης δυνάμεως ἱκανοὶ γε-
νέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν· μετὰ δὲ τοῦτο
οἱ ἀθηναῖοι τροπαῖον ἔστησαν· καὶ τοὺς νεκροὺς ὑποσπόνδους
ἀπέδοσαν τοῖς συρακοσίοις· καὶ τοὺς μετὰ λαμάχου καὶ αὐ-
τὸν ἐκομίσαντο· καὶ παρόντος ἤδη σφίσι παντὸς τοῦ στρα-
τεύματος καὶ τοῦ ναυτικοῦ καὶ τοῦ πεζοῦ ἀπὸ τῶν ἐπιπολ(ῶν)
καὶ τοῦ κρημνώδους ἀρξάμενοι, ἀπετείχιζον μέχρι θαλάσσης
τείχει διπλῷ τοὺς συρακοσίους· τὰ δὲ ἐπιτήδεια τῇ στρατιᾷ ἐσή-
γετο ἐκ τῆς σικελίας πανταχόθεν· ἦλθον δὲ καὶ τῶν σικελῶν
πολλοὶ ξύμμαχοι τοῖς ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο·
καὶ ἐκ τῆς τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς· καὶ τἆλλα προυχώρει
ἐς ἐλπίδας· καὶ γὰρ οἱ συρακόσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον
ἂν περιγενέσθαι· ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς πελοποννήσου ὠφέλεια οὐ-
δεμία ἧκε· τοὺς δὲ λόγους ἔν τε σφίσιν αὐτοῖς ἐποιοῦντο ξυμβα-
τικούς, καὶ πρὸς τὸν νικίαν· οὗτος γὰρ δὴ μόνος εἶχε λαμάχου
τεθνεῶτος τὴν ἀρχήν· καὶ κύρωσις μὲν οὐδεμία ἐγίγνετο· οἷα
δὲ εἰκὸς ἀνθρώπων ἀπορούντων καὶ μᾶλλον ἢ πρὶν πολιορκουμένων, πολ-
λὰ ἐλέγετο πρός τε ἐκεῖνον· καὶ πλείω ἔτι κατὰ τὴν πόλιν· καὶ γὰρ
τινὰ καὶ ὑποψίαν ὑπὸ τῶν παρόντων κακῶν ἐς ἀλλήλους εἶχον· καὶ τοὺς
στρατηγούς τε ἐφ' ὧν αὐτοῖς ταῦτα ξυνέβη, ἔπαυσαν· ὡς ἢ δυστυχίᾳ
ἢ προδοσίᾳ τῇ ἐκείνων βλαπτόμενοι· καὶ ἄλλους ἀνθείλοντο· ἡ-
ρακλείδην καὶ εὐκλέα καὶ τελλίαν· ἐν δὲ τούτῳ γύλιππος ὁ λακε-
δαιμόνιος καὶ αἱ ἀπὸ τῆς κορίνθου νῆες περὶ λευκάδα ἤδη ἦσαν·

βουλόμενος διὰ τάχους ἐς σικελίαν βοηθῆσαι· καὶ ὡς αὐτοῖς αἱ
ἀγγελίαι ἐφοίτων δειναί. καὶ πᾶσαι ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι ὡς
ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ συρακοῦσαί εἰσι. τῆς μὲν σικε
λίας, οὐκέτι ἐλπίδα οὐδεμίαν εἶχεν ὁ γύλιππος· τὴν δὲ ἰταλίαν
βουλόμενος περιποιῆσαι, αὐτὸς μὲν καὶ πυθὴν ναυσὶ δυοῖν μὲν
λακωνικαῖν, δυοῖν δὲ κορινθίαιν, ὅτι τάχιστα ἐπεραιώθησαν
τὸν ἰόνιον ἐς τάραντα· οἱ δὲ κορίνθιοι πρὸς ταῖς σφετέραις
δέκα λευκαδίας δύο καὶ ἀμπρακιώτιδας τρεῖς προσπληρώ
σαντες, ὕστερον ἔμελλον πλεύσεσθαι· καὶ ὁ μὲν γύλιππος ἐκ
τοῦ τάραντος ἐς τὴν θουρίαν πρῶτον πρεσβευσάμενος κατὰ
τὴν τοῦ πατρὸς ποτὲ πολιτείαν, καὶ οὐ δυνάμενος αὐτοὺς προσαγα
γέσθαι, ἄρας παρέπλει τὴν ἰταλίαν· καὶ ἁρπασθεὶς ὑπὸ ἀνέμου
κατὰ τὸν τεριναῖον κόλπον· ὃς ἐκπνεῖ ταύτῃ μέγας κατὰ βορέ
ἑστηκὼς ἀποφέρεται ἐς τὸ πέλαγος· καὶ πάλιν χειμασθεὶς ἐς τὰ
μάλιστα, τῷ τάραντι προσμίσγει· καὶ τὰς ναῦς ὅσαι ἐπόνησαν
ὑπὸ τοῦ χειμῶνος ἀνελκύσας, ἐπεσκεύαζεν· ὁ δὲ νικίας πυθό
μενος αὐτὸν πλέοντα, ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν ὅπερ καὶ
οἱ θούριοι ἔπαθον· καὶ λῃστικώτερον ἔδοξε παρεσκευασμένους
πλεῖν· καὶ οὐδεμίαν φυλακήν πω ἐποιεῖτο· κατὰ δὲ τοὺς αὐτοὺς
χρόνους τούτου τοῦ θέρους καὶ λακεδαιμόνιοι ἐς τὸ ἄργος ἐσέ
βαλον αὐτοί τε καὶ οἱ ξύμμαχοι· καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄω
σαν· καὶ οἱ ἀθηναῖοι ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν· αἵ
περ τὰς σπονδὰς φανερώτατα πρὸς λακεδαιμονίους αὐτοῖς
ἔλυσαν· πρότερον μὲν γὰρ λῃστείαις ἐκ πύλου καὶ περὶ τὴν ἄλλην
πελοπόννησον μᾶλλον ἢ ἐς τὴν λακωνικὴν ἀποβαίνοντες με
τά τε ἀργείων καὶ μαντινέων ἐπολέμουν· καὶ πολλάκις ἀρ
γείων κελευόντων ὅσον σχόντας μόνον ξὺν ὅπλοις ἐς τὴν λακω
νικήν, καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δῃώσαντας ἀπελθεῖν, οὐκ
ἤθελον· τότε δὲ πυθοδώρου καὶ λαισποδίου καὶ δημαράτου

ἀρχόντων ἀποβάντες ἐς ἐπίδαυρον τὴν λιμηρὰν καὶ πρασιὰς
καὶ ὅσ᾽ ἄλλα ἐδῄωσαν τῆς γῆς· καὶ τοῖς λακεδαιμονίοις ἤδη εὐπρο
φασιστότερον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς ἀθηναίους τοῦ ἀμύνεσθαι
ἐποίησαν· ἀναχωρησάντων δὲ τῶν ἀθηναίων ἐκ τοῦ ἄργους ταῖς
ναυσὶ καὶ τῶν λακεδαιμονίων, οἱ ἀργεῖοι ἐσβαλόντες ἐς τὴν φλι
ασίαν, τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ ἀπέκτειναν τινὰς καὶ ἀ
πῆλθον ἐπ᾽ οἴκου·

## θουκυδίδου ξυγγραφῆς ζ

Ὁ δὲ γύλιππος καὶ ὁ πυθὴν ἐκ τοῦ τάραντος ἐπεὶ ἐπεσκεύασαν
τὰς ναῦς, παρέπλευσαν ἐς λοκροὺς τοὺς ἐπιζεφυρίους· καὶ
πυνθανόμενοι σαφέστερον ἤδη, ὅτι οὐ παντελῶς πω ἀποτετει
χισμέναι αἱ συρακοῦσαί εἰσιν, ἀλλ᾽ ἔτι οἷόν τε κατὰ τὰς ἐπιπο
λὰς στρατιᾷ ἀφικομένους ἐσελθεῖν, ἐβουλεύοντο εἴτε ἐν δεξιᾷ
λαβόντες τὴν σικελίαν διακινδυνεύσωσιν ἐσπλεῦσαι, εἴτ᾽ ἐν
ἀριστερᾷ ἐς ἱμέραν πρῶτον πλεύσαντες, καὶ αὐτούς τε ἐκείνους
καὶ στρατιὰν ἄλλην προσλαβόντες οὓς πείθωσι, κατὰ γῆν ἔλ
θωσι· καὶ ἔδοξεν αὐτοῖς ἐπὶ τῆς ἱμέρας πλεῖν· ἄλλως τε καὶ
τῶν ἀττικῶν τεσσάρων νεῶν οὔπω παρουσῶν ἐν τῷ ῥηγίῳ, ἃς
ὁ νικίας ὅμως πυνθανόμενος αὐτοὺς ἐν λοκροῖς εἶναι ἀπέστει
λε· φθάσαντες δὲ τὴν φυλακὴν ταύτην περαιοῦνται διὰ τοῦ
πορθμοῦ· καὶ σχόντες ῥηγίῳ καὶ μεσσήνῃ ἀφικνοῦνται ἐς
ἱμέραν· ἐκεῖ δὲ ὄντες τούς τε ἱμεραίους ἔπεισαν ξυμπολεμεῖν
καὶ αὐτούς τε ἕπεσθαι· καὶ τοῖς ἐκ τῶν νεῶν τῶν σφετέρων ναύ
ταις ὅσοι μὴ εἶχον ὅπλα παρασχεῖν, τὰς μὲν ναῦς ἀνείλκυσαν ἐν
ἱμέρᾳ· καὶ τοὺς σελινουντίους πέμψαντες ἐκέλευον ἀπαν
τᾶν στρατιᾷ ἔς τι χωρίον· πέμψειν δέ τινα αὐτοῖς ὑπέσχοντο
στρατιὰν οὐ πολλήν· καὶ οἱ γελῷοι καὶ τῶν σικελῶν τινὲς
οἳ πολὺ προθυμότερον προσχωρεῖν ἑτοῖμοι ἦσαν τοῦ ἀρχωνί

νεωστὶ τεθνηκότος· ὃς τῶν ταύτῃ σικελῶν βασιλεύων τινῶν· καὶ ὢν οὐκ ἀδύνατος. τοῖς ἀθηναίοις φίλος ἦν· καὶ τοῦ γυλίππου ἐκ λακεδαίμονος προθύμως δοκοῦντος ἥκειν· καὶ ὁ μὲν γύλιππος τῶν τε σφετέρων ναυτῶν καὶ ἐπιβατῶν τοὺς ὁπλισμένους ἀναλαβὼν ἑπτακοσίους μάλιστα· ἱμεραίους δὲ ὁπλίτας ψιλοὺς ξυναμφοτέρους χιλίους καὶ ἱππέας ἑκατόν· καὶ σελινουντίων τινὰς ψιλοὺς καὶ ἱππέας, καὶ γελῴων ὀλίγους· σικελῶν τε ἐς χιλίους τοὺς πάντας, ἐχώρει πρὸς τὰς συρακούσας· οἱ δ᾽ ἐκ τῆς λευκάδος κορίνθιοι, ταῖς τε ἄλλαις ναυσὶν ὡς εἶχον τάχους ἐβοήθουν, καὶ γόγγυλος εἷς τῶν κορινθίων ἀρχόντων μιᾷ νηὶ τελευταῖος ὁρμηθείς, πρῶτος μὲν ἀφικνεῖται ἐς τὰς συρακούσας· ὀλίγον δὲ πρὸ γυλίππου· καὶ καταλαβὼν αὐτοὺς περὶ ἀπαλλαγῆς τοῦ πολέμου μέλλοντας ἐκκλησιάσειν, διεκώλυσέ τε καὶ παρεθάρσυνε, λέγων ὅτι νῆές τε ἄλλαι ἔτι προσπλέουσι, καὶ γύλιππος ὁ κλεανδρίδου, λακεδαιμονίων ἀποστειλάντων, ἄρχων· καὶ οἱ μὲν συρακόσιοι ἐπερρώσθησάν τε· καὶ τῷ γυλίππῳ εὐθὺς πανστρατιᾷ ὡς ἀπαντησόμενοι ἐξῆλθον· ἤδη γὰρ καὶ ἐγγὺς ὄντα ᾐσθάνοντο αὐτόν· ὁ δ᾽ ἰέτας τέ τι τεῖχος ἐν τῇ παρόδῳ τῶν σικελῶν ἑλὼν καὶ ξυνταξάμενος ὡς ἐς μάχην, ἀφικνεῖται ἐς τὰς ἐπιπολάς· καὶ ἀναβὰς κατὰ τὸν εὐρύηλον ᾗπερ καὶ οἱ ἀθηναῖοι τὸ πρῶτον, ἐχώρει μετὰ τῶν συρακοσίων ἐπὶ τὸ τείχισμα τῶν ἀθηναίων· ἔτυχε δὲ κατὰ τοῦτο καιροῦ ἐλθών, ἐν ᾧ ἑπτὰ μὲν ἢ ὀκτὼ σταδίων ἤδη ἀπετετέλεστο τοῖς ἀθηναίοις ἐς τὸν μέγαν λιμένα διπλοῦν τεῖχος, πλὴν κατὰ βραχύ τι τὸ πρὸς τὴν θάλασσαν· τοῦτο δ᾽ ἔτι ᾠκοδόμουν· τῷ δὲ ἄλλῳ τοῦ κύκλου πρὸς τὸν τρώγιλον ἐπὶ τὴν ἑτέραν θάλασσαν, λίθοι τε παραβεβλημένοι τῷ πλέονι ἤδη ἦσαν· καὶ ἔστιν ἃ καὶ ἡμίεργα· τὰ δὲ καὶ ἐξειργασμένα κατελέλειπτο· παρὰ τοσοῦτον μὲν συρακοῦσαι ἦλθον κινδύνου· οἱ δὲ ἀθηναῖοι αἰφνιδίως τοῦ τε γυλίππου καὶ τῶν συρακοσίων σφίσι

ἐπιόντων, ἐθορυβήθησαν μὲν τὸ πρῶτον· παρετάξαντο δέ· ὁ δέ,
θέμενος τὰ ὅπλα ἐγγὺς κήρυκα προσπέμπει αὐτοῖς, λέγοντα
εἰ βούλονται ἐξιέναι ἐκ τῆς σικελίας πέντε ἡμερῶν λαβόντες τὰ
σφέτερα αὐτῶν, ἑτοῖμος εἶναι σπένδεσθαι· οἱ δέ, ἐν ὀλιγω
ρίᾳ τε ἐποιοῦντο· καὶ οὐδὲν ἀποκρινάμενοι ἀπέπεμψαν·
καὶ μετὰ τοῦτο ἀντιπαρεσκευάζοντο ἀλλήλοις ὡς ἐς μάχην· καὶ
ὁ γύλιππος ὁρῶν τοὺς συρακουσίους ταρασσομένους καὶ οὐ ῥᾳδίως
ξυντασσομένους, ἐπανῆγε τὸ στρατόπεδον ἐς τὴν εὐρυχωρίαν
μᾶλλον· καὶ ὁ νικίας οὐκ ἐπῆγε τοὺς ἀθηναίους· ἀλλ' ἡσύχαζε
πρὸς τῷ ἑαυτοῦ τείχει· ὡς δ' ἔγνω ὁ γύλιππος οὐ προσιόντας αὐ
τούς, ἀπήγαγε τὴν στρατιὰν ἐπὶ τὴν ἄκραν τὴν τεμενῖτιν καλου
μένην· καὶ αὐτοῦ ηὐλίσατο· τῇ δ' ὑστεραίᾳ ἄγων τὴν μὲν πλείστην
τῆς στρατιᾶς, παρέταξε πρὸς τὰ τείχη τῶν ἀθηναίων, ὅπως μὴ
ἐπιβοηθοῖεν ἄλλοσε· μέρος δέ τι πέμψας πρὸς τὸ φρούριον τὸ
λάβδαλον καλούμενον αἱρεῖ· καὶ ὅσους ἔλαβεν ἐν αὐτῷ πάντας
ἀπέκτεινεν· ἦν δὲ οὐκ ἐπιφανὲς τοῖς ἀθηναίοις τὸ χωρίον· καὶ
τριήρης τῇ αὐτῇ ἡμέρᾳ ἁλίσκεται τῶν ἀθηναίων ὑπὸ τῶν συρα
κουσίων ἐφορμοῦσα τῷ λιμένι· καὶ μετὰ ταῦτα ἐτείχιζον οἱ συ
ρακούσιοι καὶ οἱ ξύμμαχοι διὰ τῶν ἐπιπολῶν ἀπὸ τῆς πόλεως ἀρ
ξάμενοι ἄνω πρὸς τὸ ἐγκάρσιον τεῖχος ἁπλοῦν· ὅπως οἱ ἀ
θηναῖοι εἰ μὴ δύναιντο κωλῦσαι, μηκέτι οἷοί τε ὦσιν ἀποτει
χίσαι· καὶ οἵ τε ἀθηναῖοι ἀνεβεβήκεσαν ἤδη ἄνω τὸ ἐπὶ θα
λάσσῃ τεῖχος ἐπιτελέσαντες· καὶ ὁ γύλιππος ἦν γάρ τι τοῦ τείχους
τοῖς ἀθηναίοις ἀσθενές, νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν ἐ
πῄει πρὸς αὐτό· οἱ δὲ ἀθηναῖοι ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι,
ὡς ᾔσθοντο ἀντεπῄεσαν· ὁ δέ, γνοὺς κατὰ τάχος ἀπήγαγε τοὺς
σφετέρους πάλιν· ἐποικοδομήσαντες δὲ αὐτὸ οἱ ἀθηναῖοι ὑψη
λότερον, αὐτοὶ μὲν ταύτῃ ἐφύλασσον· τοὺς δὲ ἄλλους ξυμμά
χους κατὰ τὸ ἄλλο τείχισμα ἤδη διέταξαν, ᾗπερ ἔμελλον ἕκαστοι

φρούριον· τῷ δὲ νικίᾳ ἐδόκει τὸ πλημμύριον καλούμενον
τειχίσαι· ἔστι δὲ ἄκρα ἀντιπέρας τῆς πόλεως· ἥπερ προύχουσα
τοῦ μεγάλου λιμένος τὸ στόμα στενὸν ποιεῖ· καὶ εἰ τειχισθείη, ῥᾷ-
ων αὐτῷ ἐφαίνετο ἡ ἐσκομιδὴ τῶν ἐπιτηδείων ἔσεσθαι· δι' ἐλάσ-
σονος γὰρ πρὸς τῷ λιμένι τῶν συρακοσίων ἐφορμήσειν σφᾶς·
καὶ οὐχ ὥσπερ νῦν ἐκ μυχοῦ τοῦ λιμένος· τὰς ἐπαγωγὰς ποιή-
σεσθαι, ἤν τι ναυτικῷ κινῶνται· προσεῖχέ τε ἤδη μᾶλλον τῷ
κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν ἐπειδὴ
γύλιππος ἧκεν ἀνελπιστότερα ὄντα· διακομίσας οὖν στρατιὰν καὶ
τὰς ναῦς ἐξετείχισε τρία φρούρια· καὶ ἐν αὐτοῖς τά τε σκεύη
καὶ τὰ πλεῖστα ἔκειτο· καὶ τὰ πλοῖα ἐκεῖ τὰ μεγάλα ἤδη
ὥρμει· καὶ αἱ ταχεῖαι νῆες· ὥστε καὶ τῶν πληρωμάτων οὐχ ἥ-
κιστα τότε πρῶτον κάκωσις ἐγένετο· τῷ τε γὰρ ὕδατι σπανίῳ
χρώμενοι, καὶ οὐκ ἐγγύθεν· καὶ ἐπὶ φρυγανισμὸν ἅμα ὁπότε
ἐξέλθοιεν οἱ ναῦται ὑπὸ τῶν ἱππέων τῶν συρακοσίων κρα-
τούντων τῆς γῆς, διεφθείροντο· τρίτον γὰρ μέρος τῶν ἱππέων
τοῖς συρακοσίοις διὰ τοὺς ἐν πλημμυρίῳ ἵνα μὴ κακουρ-
γήσοντες ἐξίοιεν ἐπὶ τῇ ἐν τῷ ὀλυμπιείῳ πολίχνῃ ἐτετάχατο·
ἐπυνθάνετο γὰρ καὶ τὰς λοιπὰς τῶν κορινθίων ναῦς προσπλε-
ούσας ὁ νικίας· καὶ πέμπει ἐς φυλακὴν αὐτῶν εἴκοσι ναῦς, αἷς
εἴρητο περί τε λοκροὺς καὶ ῥήγιον καὶ τὴν προσβολὴν τῆς σικε-
λίας ναυλοχεῖν αὐτάς· ὁ δὲ γύλιππος ἅμα μὲν ἐτείχιζε τὸ
διὰ τῶν ἐπιπολῶν τεῖχος, τοῖς λίθοις χρώμενος οὓς οἱ ἀθηναῖοι
προπαρεβάλοντο σφίσιν ἅμα δὲ παρέτασσεν ἐξάγων αἰεὶ
πρὸ τοῦ τειχίσματος τοὺς συρακοσίους καὶ τοὺς ξυμμάχους,
καὶ οἱ ἀθηναῖοι ἀντιπαρετάσσοντο· ἐπειδὴ δὲ ἔδοξε γυλίπ-
πῳ καιρὸς εἶναι, ἦρχε τῆς ἐφόδου· καὶ ἐν χερσὶ γενόμενοι
ἐμάχοντο μεταξὺ τῶν τειχισμάτων, ᾗ τῆς ἵππου τῶν συρα-
κοσίων καὶ τῶν ξυμμάχων, οὐδεμία χρῆσις ἦν· καὶ νικηθέν-

καὶ

τῶν συρακοσίων καὶ τῶν ξυμμάχων καὶ νεκροὺς ὑποσπόνδους
ἀνελομένων. καὶ τῶν ἀθηναίων τρόπαιον στησάντων. ὁ γύλιππος
ξυγκαλέσας τὸ στράτευμα, οὐκ ἔφη τὸ ἁμάρτημα ἐκείνων ἀλλ' αὐτοῦ
γενέσθαι. τῆς γὰρ ἵππου καὶ τῶν ἀκοντιστῶν τὴν ὠφέλειαν. τῇ τά-
ξει ἐντὸς λίαν τῶν τειχῶν ποιήσας, ἀφελέσθαι. νῦν οὖν αὖθις ἐπά-
ξειν. καὶ διανοεῖσθαι οὕτως ἐκέλευεν αὐτοὺς ὡς τῇ μὲν παρασκευῇ
οὐκ ἔλασσον ἕξοντας. τῇ δὲ γνώμῃ οὐκ ἀνεκτὸν ἐσόμενον, εἰ μὴ
ἀξιώσουσι πελοποννήσιοί τε ὄντες καὶ δωριῆς, ἰώνων καὶ νησιωτῶν
καὶ ξυγκλύδων ἀνθρώπων κρατήσαντες, ἐκ τῆς χώρας. καὶ μετὰ ταῦτα
ἐπειδὴ καιρὸς ἦν, αὖθις ἐπῆγεν αὐτούς. ὁ δὲ νικίας καὶ οἱ ἀθηναῖ-
οι αἰσθόμενοι νομίζοντες καὶ εἰ ἐκεῖνοι μὴ ἐθέλοιεν μάχης ἄρχειν,
ἀναγκαῖον εἶναι σφίσι μὴ περιορᾶν παροικοδομούμενον τὸ τεῖχος·
ἤδη γὰρ καὶ ὅσον οὐ παρεληλύθει τὴν τῶν ἀθηναίων τοῦ τείχους
τελευτὴν ἡ ἐκείνων τείχισις. καὶ εἰ προέλθοι ταὐτὸν ἤδη ἐποίει
αὐτοῖς, νικᾶν τε μαχομένοις διὰ παντὸς καὶ μηδὲ μάχεσθαι. ἀν-
τεπῇσαν οὖν τοῖς συρακοσίοις. καὶ ὁ γύλιππος τοὺς μὲν ὁ-
πλίτας ἔξω τῶν τειχῶν μᾶλλον ἢ πρότερον προαγαγὼν ξυ-
νέμισγεν αὐτοῖς. τοὺς δ' ἱππέας καὶ τοὺς ἀκοντιστὰς ἐκ πλαγί-
ου τάξας τῶν ἀθηναίων κατὰ τὴν εὐρυχωρίαν ᾗ τῶν τειχῶν ἀμ-
φοτέρων αἱ ἐργασίαι ἔληγον. καὶ προσβαλόντες οἱ ἱππῆς
ἐν τῇ μάχῃ τῷ εὐωνύμῳ κέρᾳ τῶν ἀθηναίων, ὅπερ κατ'
αὐτοὺς ἦν, ἔτρεψαν. καὶ δι' αὐτὸ καὶ τὸ ἄλλο στράτευμα νι-
κηθὲν ὑπὸ τῶν συρακοσίων, κατηράχθη ἐς τὰ τειχίσματα.
καὶ τῇ ἐπιούσῃ νυκτὶ ἔφθασαν παροικοδομήσαντες. καὶ
παρελθόντες τὴν τῶν ἀθηναίων οἰκοδομίαν. ὥστε μηκέτι μήτε
αὐτοὶ κωλύεσθαι ὑπ' αὐτῶν, ἐκείνους τε καὶ παντάπασιν ἀ-
πεστερηκέναι. εἰ καὶ κρατοῖεν μὴ ἂν ἔτι σφᾶς ἀποτειχίσαι.
μετὰ τοῦτο αἵ τε τῶν κορινθίων νῆες καὶ ἀμπρακιωτῶν καὶ λευ-
καδίων, ἐσέπλευσαν αἱ ὑπόλοιποι δώδεκα. λαθοῦσαι τὴν τῶν

ἀθηναίων φυλακήν· ἦρχε δὲ αὐτῶν ἐρασινίδης κορίνθιος.
καὶ ξυνετείχισαν τὸ λοιπὸν τοῖς συρακοσίοις· μέχρι τοῦ ἐγ-
καρσίου τείχους· καὶ ὁ γύλιππος ἐς τὴν ἄλλην σικελίαν, ἐπὶ
στρατιάν τε ᾤχετο καὶ ναυτικὴν καὶ πεζικὴν ξυλλέξων· καὶ
τῶν πόλεων ἅμα προσαξόμενος εἴ τις ἢ μὴ πρόθυμος ἦν, ἢ
παντάπασιν ἔτι ἀφειστήκει τοῦ πολέμου· πρέσβεις τε ἄλλοι
τῶν συρακοσίων ἐς λακεδαίμονα καὶ κόρινθον ἀπεστάλησαν·
ὅπως στρατιὰ ἔτι περαιωθῇ· τρόπῳ ᾧ ἂν ἐν ὁλκάσιν ἢ πλοί-
οις ἢ ἄλλως ὅπως ἂν προχωρῇ, ὡς καὶ τῶν ἀθηναίων ἐπι-
μεταπεμπομένων· οἵ τε συρακόσιοι ναυτικὸν ἐπλήρουν· καὶ
ἀνεπειρῶντο ὡς καὶ τούτῳ ἐπιχειρήσοντες· καὶ ἐς τἆλλα πολὺ
ἐπέρρωντο· ὁ δὲ νικίας αἰσθόμενος τοῦτο καὶ ὁρῶν καθ' ἡ-
μέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν, καὶ τὴν σφε-
τέραν ἀπορίαν, ἔπεμπε καὶ αὐτὸς ἐς τὰς ἀθήνας ἀγγέλλων· πολ-
λάκις μὲν καὶ ἄλλοτε καθ' ἕκαστα τῶν γιγνομένων, μάλιστα δὲ
καὶ τότε νομίζων ἐν δεινοῖς τε εἶναι καὶ εἰ μὴ ὡς τάχιστα ἢ
σφᾶς μεταπέμψουσιν, ἢ ἄλλους μὴ ὀλίγους ἀποστέλλουσιν, οὐ-
δεμίαν εἶναι σωτηρίαν· φοβούμενος δὲ μὴ οἱ πεμπόμενοι ἢ
κατὰ τὴν τοῦ λέγειν ἀδυνασίαν, ἢ καὶ γνώμης ἐλλιπεῖς γιγνό-
μενοι, ἢ τῷ ὄχλῳ πρὸς χάριν τι λέγοντες, οὐ τὰ ὄντα ἀπαγγέλ-
λωσιν, ἔγραψεν ἐπιστολήν· νομίζων οὕτως ἂν μάλιστα τὴν
αὑτοῦ γνώμην μηδὲν ἐν τῷ ἀγγέλῳ ἀφανισθεῖσαν, μαθόντας
τοὺς ἀθηναίους βουλεύσασθαι περὶ τῆς ἀληθείας· καὶ οἱ μὲν, ᾤ-
χοντο φέροντες οὓς ἀπέστειλε τὰ γράμματα· καὶ ὅσα ἔδει αὐ-
τοὺς εἰπεῖν· ὁ δὲ, τὰ κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς ἤδη
ἔχων, ἢ δι' ἑκουσίων κινδύνων ἐπεμελεῖτο· ἐν δὲ τῷ αὐτῷ θέρει,
τελευτῶντι, καὶ εὐετίων στρατηγὸς ἀθηναίων μετὰ περδίκ-
κου στρατεύσας ἐπ' ἀμφίπολιν θρᾳξὶ πολλοῖς, τὴν μὲν πό-
λιν οὐχ εἷλεν· ἐς δὲ τὸν στρυμόνα περικομίσας τριήρεις ἐκ τοῦ

ζ

ποταμοῦ ἐπολιόρκει ὁρμώμενος ἐξ ἱμεραίου· καὶ τὸ θέρος
ἐτελεύτα τοῦτο. τοῦ δὲ ἐπιγιγνομένου χειμῶνος ἥκοντες ἐς
τὰς ἀθήνας οἱ παρὰ τοῦ νικίου, ὅσα τε ἀπὸ γλώσσης αὐτοῖς εἴ-
ρητο εἶπον. καὶ εἴ τις τι ἐπηρώτα ἀπεκρίνοντο· καὶ τὴν ἐπιστολὴν ἀπέ-
δοσαν· ὁ δὲ γραμματεὺς τῆς πόλεως παρελθών, ἀνέγνω τοῖς ἀ-
θηναίοις δηλοῦσαν τοιάδε·

ἐπιστολὴ νικίου

τὰ μὲν πρότερον πραχθέντα ἐν ἄλλαις ἐπιστολαῖς ἴστε· νῦν δὲ
καιρὸς οὐχ ἧσσον μαθόντας ὑμᾶς ἐν ᾧ ἐσμὲν βουλεύσασθαι· κρα-
τησάντων γὰρ ἡμῶν μάχαις ταῖς πλέοσι συρακοσίους ἐφ' οὓς
ἐπέμφθημεν, καὶ τὰ τείχη οἰκοδομησαμένων ἐν οἷς ἐσμέν, ἦλ-
θε γύλιππος λακεδαιμόνιος στρατιὰν ἔχων ἐκ πελοποννήσου
καὶ ἀπὸ τῶν ἐν σικελίᾳ πόλεών τινων· καὶ μάχῃ τῇ μὲν πρώτῃ
νικᾶται ὑφ' ἡμῶν· τῇ δ' ὑστεραίᾳ ἱππεῦσί τε πολλοῖς καὶ ἀκον-
τισταῖς βιασθέντες, ἀνεχωρήσαμεν ἐς τὰ τείχη· νῦν οὖν ἡμεῖς
μὲν παυσάμενοι τοῦ περιτειχισμοῦ διὰ τὸ πλῆθος τῶν ἐναντίων
ἡσυχάζομεν· οὐδὲ γὰρ ξυμπάσῃ τῇ στρατιᾷ δυναίμεθ' ἂν χρήσα-
σθαι, ἀπανηλωκυίας τῆς φυλακῆς τῶν τειχῶν μέρος τι τοῦ ὁπλι-
τικοῦ· οἱ δέ, παρῳκοδομήκασιν ἡμῖν τεῖχος ἁπλοῦν ὥστε μὴ
εἶναι ἔτι περιτειχίσαι αὐτούς, ἢν μή τις τὸ παρατείχισμα τοῦτο
πολλῇ στρατιᾷ ἐπελθὼν ἕλῃ· ξυμβέβηκέ τε πολιορκεῖν
δοκοῦντας ἡμᾶς ἄλλους, αὐτοὺς μᾶλλον ὅσα γε κατὰ γῆν πάσχειν· τοῦτο
οὐδὲ γὰρ τῆς χώρας ἐπὶ πολὺ διὰ τοὺς ἱππέας ἐξερχόμεθα· πε-
πόμφασι δὲ καὶ ἐς πελοπόννησον πρέσβεις ἐπ' ἄλλην στρατιάν·
καὶ ἐς τὰς ἐν σικελίᾳ πόλεις γύλιππος οἴχεται· τὰς μὲν καὶ
πείσων ξυμπολεμεῖν ὅσαι νῦν ἡσυχάζουσιν· ἀπὸ δὲ τῶν, ἔτι
καὶ στρατιὰν πεζήν, καὶ ναυτικοῦ παρασκευήν, ἢν δύνηται
ἄξων· διανοοῦνται γάρ, ὡς ἐγὼ πυνθάνομαι τῷ τε πεζῷ ἅμα
τῶν τειχῶν ἡμῶν πειρᾶν· καὶ ταῖς ναυσὶ κατὰ θάλασσαν· καὶ
δεινὸν μηδενὶ ὑμῶν δόξῃ εἶναι ὅτι καὶ κατὰ θάλασσαν· τὸ

γὰρ ναυτικὸν ἡμῶν ὅπερ κἀκεῖνοι πυνθάνονται, τὸ μὲν πρῶτον
ἤκμαζε καὶ τῶν νεῶν τῇ ξηρότητι, καὶ τῶν πληρωμάτων τῇ σω-
τηρίᾳ· νῦν δὲ αἵ τε νῆες τοσοῦτον χρόνον διάβροχοι ἤδη θαλασ-
σεύουσαι, καὶ τὰ πληρώματα ἔφθαρται· τὰς μὲν γὰρ ναῦς οὐκ ἔστιν
ἀνελκύσαντας διαψύξαι διὰ τὸ ἀντιπάλους τῷ πλήθει καὶ ἔ-
ἔτι πι πλέους τὰς τῶν πολεμίων οὔσας, αἰεὶ προσδοκίαν παρέχειν
ὡς ἐπιπλεύσονται· φανεραὶ δ' εἰσὶν ἀναπειρώμεναι καὶ αἱ
ἐπιχειρήσεις ἐπ' ἐκείνοις· καὶ ἀποξηρᾶναι τὰς σφετέρας μᾶλλον
ἐξουσία· οὐ γὰρ ἐφορμοῦσιν ἄλλοις. ἡμῖν δ' ἐκ πολλῆς ἂν
περιουσίας νεῶν μόλις τοῦτο ὑπῆρχε, καὶ μὴ ἀναγκαζομένοις
ὥσπερ νῦν πάσαις φυλάσσειν· εἰ γὰρ ἀφαιρήσομέν τι καὶ βρα-
χὺ τῆς τηρήσεως, τὰ ἐπιτήδεια οὐχ ἕξομεν παρὰ τὴν ἐκείνων
πόλιν χαλεπῶς καὶ νῦν ἐσκομιζόμενοι· τὰ δὲ πληρώματα
διὰ τόδε ἐφθάρη τε ἡμῖν καὶ ἔτι νῦν φθείρεται· τῶν ναυτῶν
τῶν μὲν διὰ φρυγανισμὸν καὶ ἁρπαγὴν μακρὰν καὶ ὑδρείας
ὑπὸ τῶν ἱππέων ἀπολλυμένων, οἱ δὲ θεράποντες ἐπειδὴ ἐς
καθεστήκαμεν ἀντίπαλα καθέστηκεν, αὐτομολοῦσι· καὶ οἱ ξένοι οἱ μὲν ἀ-
ναγκαστοὶ ἐσβάντες, εὐθὺς κατὰ τὰς πόλεις ἀποχωροῦσιν· οἱ δὲ
ὑπὸ μεγάλου μισθοῦ τὸ πρῶτον ἐπαρθέντες καὶ οἰόμενοι χρη-
ματιεῖσθαι μᾶλλον ἢ μαχεῖσθαι, ἐπειδὴ παρὰ γνώμην ναυτικόν
τε δὴ καὶ τἆλλα ἀπὸ τῶν πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν
ἐπ' αὐτομολίας προφάσει ἀπέρχονται· οἱ δὲ ὡς ἕκαστοι δύ-
νανται· πολλὴ δ' ἡ Σικελία· εἰσὶ δ' οἳ καὶ αὐτοὶ ἐμπορευόμενοι
ἀνδράποδα Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαν-
τες τοὺς τριηράρχους, τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ ἀφῄρηνται·
ἐπισταμένοις δ' ὑμῖν γράφω ὅτι βραχεῖα ἀκμὴ πληρώματος
καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντες ναῦν καὶ ξυνέχοντες
τὴν εἰρεσίαν. τούτων δὲ πάντων ἀπορώτατον, τό τε μὴ οἷόν τ'
εἶναι ἐμοὶ ταῦτα κωλῦσαι τῷ στρατηγῷ· χαλεπαὶ γὰρ αἱ ὑμέτεραι

φύσεις ἄρξαι· καὶ ὅτι οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς
ἔχομεν, ὃ τοῖς πολεμίοις πολλαχόθεν ὑπάρχει· ἀνάγκη δὲ ἀφ' ὧν
ἔχοντες ἤλθομεν τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι·
αἱ γὰρ νῦν οὖσαι πόλεις ξύμμαχοι ἀδύνατοι νάξος καὶ κατάνη.
εἰ δὲ προσγενήσεται ἓν ἔτι τοῖς πολεμίοις ὥστε τὰ τρέφοντα ἡμᾶς
χωρία τῆς ἰταλίας ὁρῶντα ἐν ᾧ τ' ἐσμὲν καὶ ὑμῶν μὴ ἐπιβοη
θούντων πρὸς ἐκείνους χωρῆσαι· διαπεπολεμήσεται αὐτοῖς ἀμα
χεὶ ἐκπολιορκηθέντων ἡμῶν· τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὁ πόλεμ(ος)
ἕτερα ἐπιστέλλειν· οὐ μέντοι χρησιμώτερά γε εἰ δεῖ σαφῶς ὑ
μᾶς εἰδότας τὰ ἐνθάδε βουλεύσασθαι· καὶ ἅμα τὰς φύσεις
ἐπιστάμενος ὑμῶν βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν· αἰτι
ωμένων δὲ ὕστερον ἤν τι ὑμῖν μὴ ἀπ' αὐτῶν ὁμοῖον ἐκβῇ,
ἀσφαλέστερον ἡγησάμην τὸ ἀληθὲς δηλῶσαι καὶ νῦν· ὡς
ἐφ' ἃ μὲν ἤλθομεν τὸ πρῶτον καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡ
γεμόνων ὑμῖν μὴ μεμπτῶν γεγενημένων, οὕτω τὴν γνώμην
ἔχετε· ἐπειδὴ δὲ ἡ σικελία τε ἅπασα ξυνίσταται καὶ ἐκ πε
λοποννήσου ἄλλη στρατιὰ προσδόκιμος αὐτοῖς, βουλεύεσθε
ἤδη δὲ τοῖς παροῦσιν ἀνταρκούντων· ἀλλ' ἢ τούτους μετα ὡς τῶν γ' ἐνθάδε
πέμπειν δέον, ἢ ἄλλην στρατιὰν μὴ ἐλάσσω ἐπιπέμπειν· καὶ
πεζὴν καὶ ναυτικὴν καὶ χρήματα μὴ ὀλίγα· ἐμοὶ δὲ δια
δοχόν τινα ὡς ἀδύνατός εἰμι διὰ νόσον νεφρῖτιν παραμένειν·
ἀξιῶ δ' ὑμῶν ξυγγνώμης τυγχάνειν· καὶ γὰρ ὅτ' ἐρρώμην,
πολλὰ ἐν ἡγεμονίαις ὑμᾶς εὖ ἐποίησα· ὅτι δὲ μέλλετε ἅ
μα τῷ ἦρι εὐθύς, καὶ μὴ ἐς ἀναβολὰς πράττετε· ὡς τῶν πο
λεμίων τὰ μὲν ἐν σικελίᾳ δι' ὀλίγου ποριουμένων· τὰ δὲ ἐκ
πελοποννήσου σχολαίτερον μέν, ὅμως δ' ἢν μὴ προσέχητε τὴν γνώ
μην, τὰ μὲν λήσουσιν ὑμᾶς ὥσπερ καὶ πρότερον· τὰ δὲ
φθήσονται· ἡ μὲν τοῦ νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου· οἱ
δὲ ἀθηναῖοι ἀκούσαντες αὐτῆς, τὸν μὲν νικίαν οὐ παρέλυσαν

τῆς ἀρχῆς. ἀλλ' αὐτῷ ὥσπερ ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέντες
ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προσείλοντο, μένανδρον καὶ
εὐθύδημον. ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωροίη. στρατι-
ὰν δὲ ἄλλην ἐψηφίσαντο πέμπειν καὶ ναυτικὴν καὶ πεζήν. ἀ-
θηναίων τε ἐκ καταλόγου. καὶ τοὺς ξυνάρχοντας αὐτῷ εἵλοντο.
δημοσθένην τε τὸν ἀλκισθένους. καὶ εὐρυμέδοντα τὸν θουκλέους.
καὶ τὸν μὲν εὐρυμέδοντα εὐθὺς περὶ ἡλίου τροπὰς χειμερινάς,
ἀποπέμπουσιν ἐς τὴν σικελίαν μετὰ δέκα νεῶν, ἄγοντα εἴ-
κοσι τάλαντα ἀργυρίου. καὶ ἅμα ἀγγελοῦντα τοῖς ἐκεῖ ὅτι
ἥξει βοήθεια. καὶ ἐπιμέλεια αὐτῶν ἔσται. ὁ δὲ δημοσθένης
ὑπομένων παρεσκευάζετο τὸν ἔκπλουν ὡς ἅμα τῷ ἦρι ποιη-
σόμενος, στρατιάν τε ἐπαγγέλλων ἐς τοὺς ξυμμάχους, καὶ
χρήματα αὐτόθεν καὶ ὁπλίτας καὶ ναῦς ἑτοιμάζων. πέμπου-
σι δὲ καὶ περὶ τὴν πελοπόννησον οἱ ἀθηναῖοι εἴκοσι ναῦς ὅπως φυ-
λάσσοιεν μηδένα ἀπὸ κορίνθου καὶ τῆς πελοποννήσου ἐς
σικελίαν περαιοῦσθαι. οἱ γὰρ κορίνθιοι ὡς οἵ τε πρέσβεις αὐτοῖς
ἧκον καὶ τὰ ἐν τῇ σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες οὐκ
ἄκαιρον καὶ τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολ-
λῷ μᾶλλον ἐπέρρωντο. καὶ ἐν ὁλκάσι παρεσκευάζοντο. αὐτοί τε
ἀποστελοῦντες ὁπλίτας ἐν τῇ σικελίᾳ καὶ ἐκ τῆς ἄλλης πελοποννή-
σου οἱ λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες. ναῦς τε οἱ κο-
ρίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας τε ἀπο-
πειράσωσι πρὸς τὴν ἐν τῇ ναυπάκτῳ φυλακήν, καὶ τὰς ὁλκά-
δας αὐτῶν ἧσσον οἱ ἐν τῇ ναυπάκτῳ ἀθηναῖοι κωλύωσιν ἀπαίρειν.
πρὸς τὴν σφετέραν ἀντίταξιν τῶν τριήρων. τὴν φυλακὴν ποι-
ούμενοι. παρεσκευάζοντο δὲ καὶ ἐς τὴν ἀττικὴν ἐσβολὴν οἱ
λακεδαιμόνιοι. ὥσπερ τε προεδέδοκτο αὐτοῖς, καὶ τῶν συ-
ρακοσίων καὶ τῶν κορινθίων ἐναγόντων. ἐπειδὴ ἐπυνθάνοντο
τὴν ἀπὸ τῶν ἀθηναίων βοήθειαν ἐς τὴν σικελίαν. ὅπως δὴ ἐσβολῆς

γινομένης διακωλυθῆ· καὶ ὁ ἀλκιβιάδης προσκείμενος ἐδίδασ
κε τὴν δεκέλειαν τειχίζειν· καὶ μὴ ἀνιέναι τὸν πόλεμον· μάλιστα
δὲ τοῖς λακεδαιμονίοις ἐγεγένητό τε ῥώμη· διότι τοὺς ἀθηναί
ους ἐνόμιζον διπλοῦν τὸν πόλεμον ἔχοντας πρός τε σφᾶς καὶ σι
κελιώτας, εὐκαθαιρετωτέρους ἔσεσθαι· καὶ ὅτι τὰς σπονδὰς
προτέρους λελυκέναι ἡγοῦντο αὐτούς· ἐν γὰρ τῷ προτέρῳ πολέμῳ,
σφέτερον τὸ παρανόμημα μᾶλλον γενέσθαι, ὅτι ἐς πλάταιαν ἦλ
θον θηβαῖοι ἐν σπονδαῖς· καὶ εἰρημένον ἐν ταῖς πρότερον ξυνθή
καις ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας ἐθέλωσι διδόναι, αὐτοὶ οὐχ
ὑπήκουον ἐς δίκας προκαλουμένων τῶν ἀθηναίων· καὶ διὰ τοῦ
το εἰκότως δυστυχεῖν τε ἐνόμιζον· καὶ ἐνεθυμοῦντο τήν τε περὶ πύλον
ξυμφοράν· καὶ εἴ τις ἄλλη αὐτοῖς ἐγένετο· ἐπειδὴ δὲ οἱ ἀθηναῖοι
ταῖς τριάκοντα ναυσὶν ὁρμώμενοι, ἐπιδαύρου τέ τι καὶ πρασιῶν
καὶ ἄλλα ἐδῄωσαν, καὶ ἐκ πύλου ἅμα ἐλῄστευον· καὶ ὁσά
κις περί του διαφοραὶ γένοιντο τῶν κατὰ τὰς σπονδὰς ἀμφισ
βητουμένων, ἐς δίκας προκαλουμένων τῶν λακεδαιμονίων οὐκ
ἤθελον ἐπιτρέπειν, τότε δὴ οἱ λακεδαιμόνιοι νομίσαντες τὸ
παρανόμημα, ὅπερ καὶ σφίσι πρότερον ἡμάρτητο, αὖθις ἐς
τοὺς ἀθηναίους τὸ αὐτὸ περιεστάναι, πρόθυμοι ἦσαν ἐς τὸν πό
λεμον· καὶ ἐν τῷ χειμῶνι τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ τὴν
ξυμμαχίαν καὶ τἆλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν ἐπιτειχισ
μόν· καὶ τοῖς ἐν τῇ σικελίᾳ ἅμα ὡς ἀποπέμψοντες ἐν ταῖς
ὁλκάσιν ἐπικουρίαν αὐτοί τε ἐπόριζον, καὶ τοὺς ἄλλους πελο
ποννησίους προσηνάγκαζον· καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ
ὄγδοον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν
θουκυδίδης ξυνέγραψε· τοῦ δ' ἐπιγιγνομένου ἦρος εὐθὺ
ἀρχομένου, πρωιαίτατα δὴ οἱ λακεδαιμόνιοι καὶ οἱ ξύμ
μαχοι, ἐς τὴν ἀττικὴν ἐσέβαλον· ἡγεῖτο δὲ ἆγις ὁ ἀρχιδάμου
λακεδαιμονίων βασιλεύς· καὶ πρῶτον μὲν τῆς χώρας τὰ περὶ

τὸ πεδίον ἐδῄωσαν· ἔπειτα δεκέλειαν ἐτείχιζον κατὰ πόλεις
διελόμενοι τὸ ἔργον· ἀπέχει δὲ ἡ δεκέλεια τῆς τῶν ἀθηναίων
πόλεως σταδίους μάλιστα ἑκατὸν καὶ εἴκοσι· παραπλήσιον δὲ
οὐ πολλῷ πλέον καὶ ἀπὸ τῆς βοιωτίας· ἐπὶ δὲ τῷ πεδίῳ καὶ τῆς
χώρας τοῖς κρατίστοις πρὸς τὸ κακουργεῖν ᾠκοδομεῖτο τὸ χωρ.
τὸ τεῖχος ἐπιφανὲς μέχρι τῆς τῶν ἀθηναίων πόλεως· καὶ οἱ
μὲν ἐν τῇ ἀττικῇ πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον· οἱ
δ᾽ ἐν τῇ πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλ
κάσι τοὺς ὁπλίτας ἐς τὴν σικελίαν· λακεδαιμόνιοι μὲν τῶν
τε εἱλώτων ἐπιλεξάμενοι τοὺς βελτίστους καὶ τῶν νεοδαμωδῶν,
ξυναμφοτέρων ἑξακοσίους ὁπλίτας· καὶ ἔκκριτον σπαρτιάτην
ἄρχοντα· βοιωτοὶ δὲ τριακοσίους ὁπλίτας, ὧν ἦρχε ξένων τε καὶ
νίκων θηβαῖοι· καὶ ἡγήσανδρος θεσπιεύς· οὗτοι μὲν οὖν ἐν
τοῖς πρῶτοι ὁρμήσαντες ἀπὸ ταινάρου τῆς λακωνικῆς, ἐς
τὸ πέλαγος ἀφῆκαν· μετὰ δὲ τούτους οὐ πολλῷ ὕστερον κορίν
θιοι πεντακοσίους ὁπλίτας· τοὺς μὲν, ἐξ αὐτῆς κορίνθου· τοὺς
δὲ, προσμισθωσάμενοι ἀρκάδων· καὶ ἄρχοντα ἀλέξαρχον
κορίνθιον προστάξαντες ἀπέπεμψαν· ἀπέστειλαν δὲ καὶ
σικυώνιοι διακοσίους ὁπλίτας ὁμοῦ τοῖς κορινθίοις, ὧν ἦρχε
σαργεὺς σικυώνιος· αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν κορινθίων
αἱ τοῦ χειμῶνος πληρωθεῖσαι, ἀνθώρμουν ταῖς ἐν τῇ ναυπάκτῳ
εἴκοσιν ἀττικαῖς· ἕωσπερ αὐτοῖς οἱ ὁπλῖται ταῖς ὁλκάσιν
ἀπὸ τῆς πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τὸ πρότερον ἐ
πληρώθησαν· ὅπως μὴ οἱ ἀθηναῖοι πρὸς ὁλκάδας μᾶλλον ἢ πρὸς
τὰς τριήρεις τὸν νοῦν ἔχωσιν· ἐν δὲ τούτῳ καὶ οἱ ἀθηναῖοι ἅ
μα δεκελείας τῷ τειχισμῷ, καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου
περὶ πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν· καὶ χαρικλέα τὸν
ἀπολλοδώρου ἄρχοντα· ᾧ εἴρητο καὶ ἐς ἄργος ἀφικομένῳ,
κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν ἀργείων τε ὁπλίτας ἐπὶ

ταῖς ναυσί· καὶ τὸν δημοσθένην ἐς τὴν σικελίαν ὥσπερ ἔμελλον
ἀπέστελλον· ἑξήκοντα μὲν ναυσὶν ἀθηναίων καὶ πέντε χίαις·
ὁπλίταις δὲ ἐκ καταλόγου ἀθηναίων διακοσίοις καὶ χιλίοις·
καὶ νησιωτῶν ὅσοις ἑκασταχόθεν οἷόν τ' ἦν πλείστοις χρήσασθαι·
καὶ ἐκ τῶν ἄλλων ξυμμάχων τῶν ὑπηκόων εἴ ποθέν τι εἶχον ἐπι-
τήδειον ἐς τὸν πόλεμον ξυμπορίσοντες· εἴρητο δὲ αὐτῷ πρῶτον
μετὰ τοῦ χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι περὶ τὴν
λακωνικήν· καὶ ὁ μὲν δημοσθένης ἐς τὴν αἴγιναν προσπλεύσας
ἔτι ὑπελέλειπτο τοῦ στρατεύματος, περιέμενε· καὶ τὸν χαρικλέα
τοὺς ἀργείους παραλαβεῖν· ἐν μὲν δὴ σικελίᾳ ὑπὸ τοὺς αὐτοὺς
χρόνους τούτου τοῦ ἦρος καὶ ὁ γύλιππος ἧκεν ἐς τὰς συρακούσας
ἄγων ἀπὸ τῶν πόλεων στρατιὰν ὧν ἔπεισεν, ὅσην ἑκασταχόθεν
πλείστην ἐδύνατο· καὶ ξυγκαλέσας τοὺς συρακοσίους ἔφη χρῆ-
ναι πληροῦν ναῦς ὡς δύναιντο πλείστας· καὶ ναυμαχίας ἀπό-
πειραν λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ
κινδύνου ἐς τὸν πόλεμον κατεργάσασθαι· ξυνανέπειθε δὲ καὶ ὁ ἑρ-
μοκράτης οὐχ ἥκιστα ταῖς ναυσὶν ἐπιχειρῆσαι μὴ ἀθυμεῖν πρὸς τοὺς
ἀθηναίους· λέγων μηδὲ ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδὲ ἀΐδιον
τῆς θαλάσσης ἔχειν· ἀλλ' ἠπειρώτας μᾶλλον τῶν συρακοσίων ὄντας·
καὶ ἀναγκασθέντας ὑπὸ μήδων ναυτικοὺς γενέσθαι· καὶ τοὺς ἀντι-
τολμῶντας πρὸς ἄνδρας τολμηροὺς οἵους καὶ ἀθηναίους, χαλεπω-
τάτους ἂν αὐτοῖς φαίνεσθαι· ᾧ γὰρ ἐκεῖνοι τοὺς πέλας οὐ δυνάμει
ἔστιν ὅτε προύχοντες, τῷ δὲ θράσει ἐπιχειροῦντες καταφοβοῦσι,
καὶ σφᾶς ἂν τὸ αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν· καὶ συρα-
κοσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι ἀπροσδοκήτως πρὸς τὸ ἀθη-
ναίων ναυτικὸν ἀντιστῆναι, πλέον διὰ τὸ τοιοῦτον ἐκπλαγέν-
των αὐτῶν περιεσομένους ἢ ἀθηναίους τῇ ἐπιστήμῃ τὴν συρα-
κοσίων βλάψοντας ἀπειρίαν· ἰέναι οὖν ἐκέλευεν ἐς τὴν πεῖραν
τοῦ ναυτικοῦ· καὶ μὴ ἀποκνεῖν· καὶ οἱ μὲν συρακόσιοι τοῦ τε

Γυλίππου καὶ τοῦ Ἑρμοκράτους καὶ εἴ του ἄλλου πειθόντων, ὥρμηντό τε ἐς τὴν ναυμαχίαν καὶ τὰς ναῦς ἐπλήρουν. ὁ δὲ Γύλιππος ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικόν, ἀγαγὼν ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζήν, αὐτὸς μὲν τοῖς ἐν τῷ πλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε προσβαλεῖν· αἱ δὲ τριήρεις τῶν συρακοσίων ἅμα καὶ ἀπὸ ξυνθήματος, πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου λιμένος ἐπέπλεον· αἱ δὲ πέντε καὶ τεσσαράκοντα ἐκ τοῦ ἐλάσσονος οὗ ἦν καὶ τὸ νεώριον αὐτοῖς· καὶ περιέπλεον βουλόμενοι πρὸς τὰς ἐντὸς προσμῖξαι· καὶ ἅμα ἐπιπλεῖν τῷ πλημμυρίῳ, ὅπως οἱ ἀθηναῖοι ἀμφοτέρωθεν θορυβῶνται. οἱ δὲ ἀθηναῖοι διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα ναῦς, ταῖς μὲν πέντε καὶ εἴκοσι, πρὸς τὰς πέντε καὶ τριάκοντα τῶν συρακοσίων τὰς ἐν τῷ μεγάλῳ λιμένι ἐναυμάχουν· ταῖς δὲ ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας· καὶ εὐθὺς πρὸ τοῦ στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν· καὶ ἀντεῖχον ἀλλήλοις ἐπὶ πολύ· οἱ μέν, βιάσασθαι βουλόμενοι τὸν ἔσπλουν, οἱ δέ, κωλύειν. ἐν τούτῳ δὲ ὁ γύλιππος τῶν ἐν τῷ πλημμυρίῳ ἀθηναίων πρὸς τὴν θάλασσαν ἐπικαταβάντων, καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προσεχόντων, φθάνει προσπεσὼν αἰφνιδίως ἅμα τῇ ἕῳ τοῖς τείχεσι· καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον· ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο, οὐχ ὑπομεινάντων τῶν φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν· καὶ ἐκ μὲν τοῦ πρώτου ἁλόντος, χαλεπῶς οἱ ἄνθρωποι ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον, ἐξεκομίζοντο ἐς τὸ στρατόπεδον· τῶν γὰρ συρακοσίων ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ κρατούντων τῇ ναυμαχίᾳ, ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης ἐπεδιώκοντο· ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ καὶ οἱ συρακούσιοι ἐτύγχανον ἤδη νικώμενοι· καὶ οἱ ἐξ αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν· αἱ γὰρ τῶν συρακοσίων πρὸ τοῦ στόματος νῆες ναυμαχοῦσαι

βιασάμεναι τὰς τῶν ἀθηναίων ναῦς οὐ διὰ κόσμου ἔπλεον· ἀλ
ταραχθεῖσαι περὶ ἀλλήλας παρέδοσαν τὴν νίκην· ταύτας γὰρ ἔτρε
ψαν· καὶ ἃς τὸ πρῶτον ἐνικῶντο ἐν τῷ λιμένι· καὶ ἕνδεκα
μὲν ναῦς τῶν συρακοσίων κατέδυσαν· καὶ τοὺς πολλοὺς τῶν
ἀνθρώπων ἀπέκτειναν· πλὴν ὅσον ἐκ τριῶν νεῶν, οὓς ἐζώγρησαν· τῶν
δὲ σφετέρων τρεῖς νῆες διεφθάρησαν· τὰ δὲ ναυάγια τῶν συ
ρακοσίων ἀνελκύσαντες καὶ τροπαῖον ἐν τῷ νησιδίῳ στήσαν
τες τῷ πρὸ τοῦ πλημμυρίου, ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατό
πεδον· οἱ δὲ συρακούσιοι κατὰ μὲν τὴν ναυμαχίαν, οὕτως
ἐπεπράγεσαν· τὰ δὲ ἐν τῷ πλημμυρίῳ τείχη εἶχον· καὶ τροπαῖα
ἔστησαν αὐτῶν τρία· καὶ τὸ μὲν ἕτερον τοῖν δυοῖν τειχοῖν τοῖν ὕστερον
ληφθέντοιν, κατέβαλον· τὰ δὲ δύο ἐπισκευάσαντες ἐφρούρουν·
ἄνθρωποι δὲ ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέθανον καὶ ἐζωγρήθησαν πολλοί
καὶ χρήματα πολλὰ τὰ ξύμπαντα ἑάλω· ὥσπερ γὰρ ταμιείῳ χρω
μένων τῶν ἀθηναίων τοῖς τείχεσι, πολλὰ μὲν ἐμπόρων χρήματα
καὶ σῖτος ἐνῆν· πολλὰ δὲ καὶ τῶν τριηράρχων· ἐπεὶ καὶ ἱστία τετ
ταράκοντα τριήρων καὶ τἆλλα σκεύη ἐγκατελήφθη· καὶ τρι
ήρεις ἀνειλκυσμέναι τρεῖς· μέγιστον δὲ καὶ ἐν τοῖς πρῶτον ἐκά
κωσε τὸ στράτευμα τῶν ἀθηναίων ἡ τοῦ πλημμυρίου λῆψις· οὐ
γὰρ ἔτι οὐδὲ οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτη
δείων· οἱ γὰρ συρακούσιοι ναυσὶν αὐτόθι ἐφορμοῦντες ἐκώ
λυον· καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐσκομιδαί, ἔς τε τἆλλα
κατάπληξιν παρέσχε, καὶ ἀθυμίαν τῷ στρατεύματι· μετὰ
δὲ τοῦτο ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ συρακούσιοι καὶ ἀ
γάθαρχον ἐπ' αὐτῶν συρακούσιον ἄρχοντα· καὶ αὐτῶν μία μὲν
ἐς πελοπόννησον ᾤχετο πρέσβεις ἄγουσα· οἵπερ τά σφέτερα
φράσουσιν ὅτι ἐν ἐλπίσιν εἰσί· καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον
ἐποτρυνοῦσι γίγνεσθαι· αἱ δὲ ἕνδεκα νῆες πρὸς τὴν ἰταλίαν
ἔπλευσαν πυνθανόμενοι πλοῖα τοῖς ἀθηναίοις γέμοντα χρημάτων

προσπλεῦ· καὶ τῶν τε πλοίων ἐπιτυχοῦσαι τὰ πολλὰ διέφθειραν.
καὶ ξύλα ναυπηγήσιμα, ἐν τῇ καυλωνιάτιδι κατέκαυσαν.
ἃ τοῖς ἀθηναίοις ἑτοῖμα ἦν· ἔς τε λοκροὺς μετὰ ταῦτα ἦλθον.
καὶ ὁρμουσῶν αὐτῶν κατέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ
πελοποννήσου ἄγουσα θεσπιέων ὁπλίτας· καὶ ἀναλαβόντες
αὐτοὺς οἱ συρακούσιοι ἐς τὰς ναῦς παρέπλεον ἐπ' οἴκου· φυλά-
ξαντες δ' αὐτοὺς οἱ ἀθηναῖοι εἴκοσι ναυσὶ πρὸς τοῖς μεγάροις,
μίαν μὲν ναῦν λαμβάνουσιν αὐτοῖς ἀνδράσι· τὰς δ' ἄλλας οὐκ
ἐδυνήθησαν· ἀλλ' ἀποφεύγουσιν ἐς τὰς συρακούσας. ἐγένετο
καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ λιμένι· οὓς οἱ συρα-
κούσιοι πρὸ τῶν παλαιῶν νεωσοίκων κατέπηξαν ἐν τῇ θαλάσ-
σῃ· ὅπως αὐτοῖς ἐντὸς αἱ νῆες ὁρμοῖεν· καὶ οἱ ἀθηναῖοι ἐπιπλέ-
οντες μὴ βλάπτοιεν ἐμβάλλοντες. προσαγαγόντες γὰρ ναῦν
μυριοφόρον αὐτοῖς ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ
παραφράγματα, ἔκ τε τῶν ἀκάτων ὤνευον ἀναδούμενοι τοὺς
σταυροὺς καὶ ἀνέκλων· καὶ κατακολυμβῶντες ἐξέπριον· οἱ
δὲ συρακούσιοι ἀπὸ τῶν νεωσοίκων ἔβαλλον· οἱ δ' ἐκ τῆς ὁλκά-
δος ἀντέβαλλον· καὶ τέλος τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ
ἀθηναῖοι· χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύφιος· ἦσαν
γὰρ τῶν σταυρῶν οὓς οὐχ ὑπερέχοντας τῆς θαλάσσης κατέ-
πηξαν· ὥστε δεινὸν ἦν προσπλεῦσαι μὴ οὐ προϊδών τις ὥσ-
περ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν· ἀλλὰ καὶ τούτους κολυμβη-
ταὶ δυόμενοι ἐξέπριον μισθοῦ· ὅμως δ' αὖθις οἱ συρακού-
σιοι ἐσταύρωσαν· πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους οἷον εἰ-
κὸς τῶν στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων ἐ-
μηχανῶντο· καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις
ἐχρῶντο· ἔπεμψαν δὲ καὶ ἐς τὰς πόλεις πρέσβεις οἱ συρα-
κούσιοι κορινθίων καὶ ἀμπρακιωτῶν καὶ λακεδαιμονίων
ἀγγέλλοντας τήν τε τοῦ πλημμυρίου λῆψιν· καὶ τῆς ναυμαχί-

πέρι· ὡς οὐ τῇ τῶν πολεμίων ἰσχύι μᾶλλον ἢ τῇ σφετέρᾳ ταραχῇ
ἡσσηθεῖεν· τά τε ἄλλα δηλώσοντας ὅτι ἐν ἐλπίσιν εἰσί· καὶ ἀξι-
ώσοντας ξυμβοηθεῖν ἐπ' αὐτοὺς καὶ ναυσὶ καὶ πεζῷ· ὡς καὶ
τῶν ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ· καὶ ἢν φθά-
σωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν στράτευμα
αὐτῶν διαπεπολεμησόμενον· καὶ οἱ μὲν ἐν τῇ σικελίᾳ ταῦτα
ἔπρασσον· ὁ δὲ δημοσθένης ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα
ὃ ἔδει ἔχοντα ἐς τὴν σικελίαν βοηθεῖν, ἄρας ἐκ τῆς αἰγίνης
καὶ πλεύσας πρὸς τὴν πελοπόννησον τῷ τε χαρικλεῖ καὶ ταῖς
τριάκοντα ναυσὶ τῶν ἀθηναίων ξυνεμίσγε· καὶ παραλαβόν-
τες τῶν ἀργείων ὁπλίτας ἐπὶ τὰς ναῦς, ἔπλεον ἐς τὴν λακω-
νικήν· καὶ πρῶτον μὲν τῆς ἐπιδαύρου τῆς λιμηρᾶς ἐδῄω-
σαν· ἔπειτα σχόντες ἐς τὰ καταντικρὺ κυθήρων τῆς λακωνι-
κῆς, ἔνθα τὸ ἱερὸν τοῦ ἀπόλλωνός ἐστι. τῆς τε γῆς ἔστιν ἃ ἐ-
δῄωσαν· καὶ ἐτείχισαν ἰσθμῶδές τι χωρίον· ἵνα δὴ οἵ τε
εἵλωτες τῶν λακεδαιμονίων αὐτόσε αὐτομολῶσι· καὶ λῃσταὶ
ἐξ αὐτοῦ ὥσπερ ἐκ τῆς πύλου ἁρπαγὴν ποιῶνται· καὶ μὲν
δημοσθένης εὐθὺς ἐπειδὴ ξυγκατέλαβε τὸ χωρίον, ἐπέπλει
ἐπὶ τῆς κερκύρας. ὅπως καὶ τῶν ἐκεῖθεν ξυμμάχων παρα-
λαβών, τὸν ἐς τὴν σικελίαν πλοῦν ὅτι τάχιστα ποιῆται· ὁ δὲ
χαρικλῆς περιμείνας ἕως τὸ χωρίον ἐξετείχισε· καὶ κατα-
λιπὼν φυλακὴν αὐτοῦ, ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς
τριάκοντα ναυσὶν ἐπ' οἴκου καὶ οἱ ἀργεῖοι ἅμα· ἀφίκοντο
δὲ καὶ τῶν θρᾳκῶν τῶν μαχαιροφόρων τοῦ διακοῦ γένους
ἐς τὰς ἀθήνας πελτασταὶ ἐν τῷ αὐτῷ χρόνῳ τούτῳ τριακό-
σιοι καὶ χίλιοι· οὓς ἔδει τῷ δημοσθένει ἐς τὴν σικελίαν ξυμ-
πλεῖν· οἱ δ' ἀθηναῖοι ὡς ὕστερον ἧκον, διενοοῦντο αὐτοὺς πά-
λιν ὅθεν ἦλθον ἐς θρᾴκην ἀποπέμπειν· τὸ γὰρ ἔχειν πρὸς
τὸν ἐκ τῆς δεκελείας πόλεμον αὐτούς, πολυτελὲς ἐφαίνετο.

δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανεν. ἐπειδὴ γὰρ τῆς
Δεκελείας τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς ἐν τῷ θέρει
τούτῳ τειχισθείσης, ὕστερον δὲ φρουραῖς ἀπὸ τῶν πόλεων κατὰ
διαδοχὴν χρόνου ἐπιούσαις τῇ χώρᾳ ἐπῳκεῖτο, πολλὰ ἔβλα-
πτε τοὺς ἀθηναίους· καὶ ἐν τοῖς πρώτοις χρημάτων ὀλέθρῳ καὶ
ἀνθρώπων φθορᾷ ἐκάκωσε τὰ πράγματα. πρότερον μὲν γὰρ
βραχεῖαι γιγνόμεναι αἱ ἐσβολαὶ, τὸν ἄλλον χρόνον τῆς γῆς
ἀπολαύειν οὐκ ἐκώλυον. τότε δὲ ξυνεχῶς ἐπικαθημένων· καὶ
ὁτὲ μὲν καὶ πλειόνων ἐπιόντων, ὁτὲ δὲ ἐξ ἀνάγκης τῆς ἴσης
φρουρᾶς καταθεούσης τε τὴν χώραν καὶ λῃστείας ποιουμένης,
βασιλέως τε παρόντος τοῦ τῶν λακεδαιμονίων ἄγιδος, ὃς οὐκ
ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο, μεγάλα οἱ ἀθηναῖοι ἐ-
βλάπτοντο. τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο· καὶ ἀνδρα-
πόδων πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν· καὶ τούτων
τὸ πολὺ μέρος χειροτέχναι· πρόβατά τε πάντα ἀπωλώλει καὶ ὑ-
ποζύγια· ἵπποι τε ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων, πρός
τε τὴν δεκέλειαν καταδρομὰς ποιουμένων, καὶ κατὰ τὴν χώ-
ραν φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ
ξυνεχῶς ταλαιπωροῦντες· οἱ δὲ ἐτιτρώσκοντο. ἥ τε τῶν ἐπιτη-
δείων παρακομιδὴ ἐκ τῆς εὐβοίας πρότερον ἐκ τοῦ ὠρωποῦ
κατὰ γῆς διὰ τῆς δεκελείας θάσσων οὖσα, περὶ σούνιον κατὰ
θάλασσαν πολυτελὴς ἐγίγνετο· τῶν τε πάντων ὁμοίως ἐπα-
κτῶν ἐδεῖτο ἡ πόλις· καὶ ἀντὶ τοῦ πόλις εἶναι φρούριον κα-
τέστη. πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν κατὰ διαδοχὴν
οἱ ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα καὶ ξύμπαντες πλὴν
τῶν ἱππέων· οἱ μὲν ἐφ᾽ ὅπλοις ποιούμενοι, οἱ δὲ ἐπὶ τοῦ τείχους,
καὶ θέρους καὶ χειμῶνος ἐταλαιπωροῦντο. μάλιστα δ᾽ αὐτοὺς
ἐπίεζεν ὅτι δύο πολέμους ἅμα εἶχον· καὶ ἐς φιλονικίαν
καθέστασαν τοιαύτην· ἣν πρὶν γενέσθαι ἠπίστησεν ἄν τις

ἀκοῦσαι. τὸ γὰρ αὐτοὺς πολιορκουμένους ἐπιτειχισμῷ ὑπὸ
πελοποννησίων, μηδ' ὣς ἀποστῆναι ἐκ σικελίας· ἀλλ' ἐκεῖ συρακούσας
τῷ αὐτῷ τρόπῳ αὐτοὺς πολιορκεῖν, πόλιν οὐδὲν ἐλάσσονα αὐτήν
γε καθ' αὐτὴν τῆς ἀθηναίων· καὶ τὸν παράλογον τοσοῦτον ποι-
ῆσαι τοῖς ἕλλησι τῆς δυνάμεως καὶ τῆς τόλμης, ὅσον κατ' ἀρ-
χὰς τοῦ πολέμου, οἱ μὲν, ἐνιαυτὸν οἱ δὲ, δύο· οἱ δὲ, τριῶν
γε ἐτῶν, οὐδεὶς πλέω χρόνον ἐνόμιζον περιοίσειν αὐτούς, εἰ
οἱ πελοποννήσιοι ἐσβάλλοιεν ἐς τὴν χώραν· ὥστε ἔτει ἑπτακαι-
δεκάτῳ μετὰ τὴν πρώτην ἐσβολὴν, ἦλθον ἐς σικελίαν, ἤδη
τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι· καὶ πόλεμον οὐδὲν
ἐλάσσω προσανείλοντο τοῦ πρότερον ὑπάρχοντος ἐκ πελο-
ποννήσου. δι' ἃ καὶ τότε ὑπό τε τῆς δεκελείας πολλὰ βλαπτού-
σης, καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων προσπιπτόντων,
ἀδύνατοι ἐγίνοντο τοῖς χρήμασι· καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν
χρόνον τῶν κατὰ θάλασσαν, ἀντὶ τοῦ φόρου τοῖς ὑπηκόοις
ἐποίησαν· πλέω νομίζοντες ἂν σφίσι χρήματα οὕτω προσιέναι·
αἱ μὲν γὰρ δαπάναι, οὐχ ὁμοίως καὶ πρίν· ἀλλὰ πολλῷ μείζους
καθέστασαν ὅσῳ καὶ μείζων ὁ πόλεμος ἦν· αἱ δὲ πρόσοδοι ἀ-
πώλλυντο. τοὺς οὖν θρᾶκας, τοὺς τῷ δημοσθένει ὑστερήσαντας
διὰ τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων οὐ βουλόμενοι δα-
πανᾶν, εὐθὺς ἀπέπεμπον· προστάξαντες κομίσαι αὐτοὺς
διειτρέφει· καὶ εἰπόντες ἅμα ἐν τῷ παράπλῳ, ἐπορεύοντο γὰρ
δι' εὐρίπου, καὶ τοὺς πολεμίους ἤν τι δύνωνται ἀπ' αὐτῶν βλά-
ψαι. ὁ δὲ, ἐς τὴν τάναγραν ἀποβιβάσας αὐτοὺς, καὶ ἁρπαγήν
τινα ἐποιήσατο διὰ τάχους· καὶ ἐκ χαλκίδος τῆς εὐβοίας
ἀφ' ἑσπέρας διέπλευσε τὸν εὔριπον· καὶ ἀποβιβάσας ἐς
τὴν βοιωτίαν, ἦγεν αὐτοὺς ἐπὶ μυκαλησσόν· καὶ τὴν μὲν νύ-
κτα λαθὼν πρὸς τῷ ἑρμαίῳ ηὐλίζετο· ἀπέχει δὲ τῆς μυκα-
λησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους· ἅμα δὲ τῇ ἡμέρᾳ τῇ

πόλει προσπίπτουσι οὔσῃ οὐ μεγάλῃ· καὶ αἱροῦσιν ἀφυλάκτοις τε
ἐπιπεσόντες καὶ ἀπροσδοκήτοις, μὴ ἄν ποτέ τινας σφίσιν ἀ-
πὸ θαλάσσης τοσοῦτον ἐπαναβάντα ἐπιθέσθαι, τοῦ τείχους
ἀσθενοῦς ὄντος καὶ ἔστιν οὗ καὶ πεπτωκότος· τοῦ δὲ βρα-
χέος ᾠκοδομημένου· καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀ-
νεῳγμένων· ἐσπεσόντες δὲ οἱ θρᾷκες ἐς τὴν μυκαλησσὸν,
τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν· καὶ τοὺς ἀνθρώπους ἐφόνευον·
φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας· ἀλλὰ
πάντας ἑξῆς ὅτῳ ἐντύχοιεν καὶ παῖδας καὶ γυναῖκας κτεί-
νοντες· καὶ προσέτι καὶ ὑποζύγια· καὶ ὅσα ἄλλα ἔμψυχα
ἴδοιεν· τὸ γὰρ γένος τὸ τῶν θρᾳκῶν ὅμοια τοῖς μάλιστα τοῦ βαρ-
βαρικοῦ· ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι· καὶ τότε ἄλ-
λη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθειστήκει ὀλέθρου·
καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων ὅπερ μέγιστον ἦν
αὐτόθι· καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐσεληλυθότες, κατέκο-
ψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ, οὐδεμιᾶς ἥσσων
μᾶλλον ἑτέρας ἀδόκητός τε ἐπέπεσεν αὕτη· καὶ δεινή· οἱ δὲ
θηβαῖοι αἰσθόμενοι ἐβοήθουν· καὶ καταλαβόντες προκε-
χωρηκότας ἤδη τοὺς θρᾷκας οὐ πολὺ, τήν τε λείαν ἀφείλοντο· καὶ
αὐτοὺς φοβήσαντες καταδιώκουσιν ἐπὶ τὸν εὔριπον καὶ τὴν
θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα ἃ ἤγαγον ὥρμει· καὶ ἀποκτεί-
νουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους· οὔτε ἐπισταμένους
νεῖν· τῶν τε ἐν τοῖς πλοίοις ὡς ἑώρων τὰ ἐν τῇ γῇ ὁρμισάντων
ἔξω τοῦ ξεύγματος τὰ πλοῖα· ἐπεὶ ἔν γε τῇ ἄλλῃ ἀναχωρήσει
οὐκ ἀτόπως οἱ θρᾷκες πρὸς τὸ τῶν θηβαίων ἱππικὸν ὅπερ
πρῶτον προσέκειτο προεκθέοντες καὶ ξυστρεφόμενοι ἐν τῷ ἐπι-
χωρίῳ τάξει τὴν φυλακὴν ἐποιοῦντο· καὶ ὀλίγοι αὐτῶν ἐν
τούτῳ διεφθάρησαν· μέρος δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι᾽ ἁρ-
παγὴν ἐγκαταληφθὲν ἀπώλετο· οἱ δὲ ξύμπαντες τῶν θρᾳκῶν

πεντήκοντα καὶ διακόσιοι ἀπὸ ἑξακοσίων καὶ χιλίων ἀπέθανον· διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων οἱ ξυμβοηθήσαντες, ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ· καὶ Θηβαίων τῶν βοιωταρχῶν Σκιρφώνδαν· τῆς δὲ Μυκαλησσοῦ μέρος τι ἀπανηλώθη· τὰ μὲν κατὰ τὴν Μυκαλησσὸν πάθει χρησαμένην, οὐδενὸς ὡς ἐπὶ μεγέθει τῶν κατὰ τὸν πόλεμον, ἧσσον ὀλοφύρασθαι ἀξίῳ, τοιαῦτα ξυνέβη· ὁ δὲ Δημοσθένης τότε ἀποπλέων ἐκ τῆς Κερκύρας μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν Φειᾷ τῇ Ἠλείων εὑρών, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖται ἐς τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει· οἱ δ' ἄνδρες ἀποφυγόντες, ὕστερον λαβόντες ἄλλην ἔπλεον· καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν Ζάκυνθον καὶ Κεφαλληνίαν, ὁπλίτας τε προσέλαβε· καὶ ἐκ τῆς Ναυπάκτου τῶν Μεσσηνίων μετεπέμψατο· καὶ ἐς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀκαρνανίας διέβη· ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον ὃ αὐτοὶ εἶχον· ὄντι δὲ αὐτῷ περὶ ταῦτα, ὁ Εὐρυμέδων ἀπαντᾷ ἐκ τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος τὰ χρήματα ἄγων τῇ στρατιᾷ ἀπεπέμφθη· καὶ ἀγγέλλει τά τε ἄλλα καὶ ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη ὢν τὸ Πλημμύριον ὑπὸ τῶν Συρακοσίων ἑαλωκός· ἀφικνεῖται δὲ καὶ Κόνων παρ' αὐτούς, ὃς ἦρχε Ναυπάκτου, ἀγγέλλων ὅτι αἱ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ σφίσιν ἀνθορμοῦσαι, οὔτε καταλύουσι τὸν πόλεμον ναυμαχεῖν τε μέλλουσι· πέμπειν οὖν ἐκέλευεν αὐτοῖς ναῦς ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς ἑαυτῶν, πρὸς τὰς ἐκείνων πέντε καὶ εἴκοσι ναυμαχεῖν· τῷ μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ ὁ Εὐρυμέδων τὰς ἄριστα πλεούσας σφίσιν ἀφ' ὧν αὐτοὶ εἶχον, ξυμπέμπουσι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ· αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς τὸν ξύλλογον

ἡτοιμάζοντο. εὐρυμέδων μὲν δὴ ἐπὶ τὴν κέρκυραν πλεύ^σας^, καὶ
πεντεκαίδεκά τε ναῦς πληροῦν κελεύσας αὐτοὺς καὶ ὁπλί
τας καταλεγόμενος· ξυνῆρχε γὰρ ἤδη δημοσθένει ἀποστρα
τόμενος ὥσπερ καὶ ᾑρέθη. δημοσθένης δὲ ἐν ταύτῳ ἐκ
τῆς ἀκαρνανίας χωρίων σφενδονήτας τε καὶ ἀκοντιστὰς ξυνα
γείρων. οἱ δὲ ἐκ τῶν συρακουσῶν τότε μετὰ τὴν τοῦ πλη
μυρίου ἅλωσιν πρέσβεις οἰχόμενοι ἐς τὰς πόλεις, ἐπειδὴ ἔ
πεισάν τε καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατόν, ὁ νι
κίας προπυθόμενος, πέμπει ἐς τῶν σικελῶν τοὺς τὴν δίο
δον ἔχοντας ξυμμάχους, κεντόριπάς τε καὶ ἀλικυαίους καὶ
ἄλλους ὅπως μὴ διαφρήσωσι πολεμίους, ἀλλὰ ξυστραφέντες
κωλύσωσι διελθεῖν· ἄλλῃ γὰρ αὐτοὺς οὐδὲ πειράσειν. ἀκρα
γαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν. πορευο
μένων δ' ἤδη τῶν σικελιωτῶν, οἱ σικελοὶ καθάπερ ἐδέ
οντο οἱ ἀθηναῖοι, ἐνέδραν τινὰ ποιησάμενοι, διέφθειραν
ἐς ὀκτακοσίους μάλιστα· καὶ τοὺς πρέσβεις πλὴν ἑνὸς τοῦ
κορινθίου πάντας. οὗτος δὲ τοὺς διαφυγόντας ἐς πεντακο
σίους καὶ χιλίους ἤγαγεν ἐς τὰς συρακούσας. καὶ περὶ τὰς
αὐτὰς ἡμέρας καὶ οἱ καμαριναῖοι ἀφικνοῦνται αὐτοῖς βο
ηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι δὲ ἀκοντισ^ταί^·
καὶ τοξόται τριακόσιοι. ἔπεμψαν δὲ καὶ οἱ γελῷοι ναυτικὸν
τε ἐς πέντε ναῦς· καὶ ἀκοντιστὰς τετρακοσίους. καὶ ἱππέας
διακοσίους. σχεδὸν γάρ τι πᾶσα ἤδη ἡ σικελία πλὴν ἀκραγαν
τίνων. οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν, οἱ δ' ἄλλοι ἐπὶ τοὺς
ἀθηναίους μετὰ τῶν συρακοσίων οἱ πρότερον περιορώμενοι
ξυστάντες ἐβοήθουν. καὶ οἱ μὲν συρακόσιοι ὡς αὐτοῖς τὸ
ἐν τοῖς σικελοῖς πάθος ἐγένετο, ἐπέσχον τὸ εὐθὺς τοῖς ἀθη
ναίοις ἐπιχειρεῖν. ὁ δὲ δημοσθένης καὶ εὐρυμέδων ἑτοί
μης τῆς στρατιᾶς οὔσης, ἐκ τῆς κερκύρας καὶ ἀπὸ τῆς ἠπεί^ρου^

ἐπεραιώθησαν ξυμπάσῃ τῇ στρατιᾷ τὸν ἰόνιον ἐπ' ἄκραν ἰα
πυγίαν· καὶ ὁρμηθέντες αὐτόθεν, κατίσχουσιν ἐς τὰς χοιρά
δας νήσους ἰαπυγίας· καὶ ἀκοντιστάς τέ τινας τῶν ἰαπύγων
πεντήκοντα καὶ ἑκατὸν τοῦ μεσσαπίου ἔθνους, ἀναβιβά
ζονται ἐπὶ τὰς ναῦς· καὶ τῷ ἄρτᾳ ὅσπερ καὶ τοὺς ἀκοντιστὰς δυ
νάστης ὢν παρέσχετο αὐτοῖς, ἀνανεωσάμενοί τινα φιλίαν πα
λαιάν, ἀφικνοῦνται ἐς μεταπόντιον τῆς ἰταλίας· καὶ τοὺς μετα
ποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν ἀκοντιστάς τε ξυμπέ
μπειν τριακοσίους καὶ τριήρεις δύο· καὶ ἀναλαβόντες ταῦτα
παρέπλευσαν ἐς θουρίαν· καὶ καταλαμβάνουσι νεωστὶ
στάσει τοὺς ἐναντίους τῶν ἀθηναίων ἐκπεπτωκότας· καὶ βου
λόμενοι τὴν στρατιὰν αὐτόθι πᾶσαν ἁθροίσαντες εἴ τις ὑπε
λέλειπτο ἐξετάσαι· καὶ τοὺς θουρίους πεῖσαι σφίσι ξυστρατεύειν
τε ὡς προθυμότατα· καὶ ἐπειδήπερ ἐν τούτῳ τύχης εἰσί, τοὺς
αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς ἀθηναίοις νομίζειν, περιέμε
νον ἐν τῇ θουρίᾳ καὶ ἔπρασσον ταῦτα. οἱ δὲ πελοποννήσιοι
περὶ τὸν αὐτὸν τοῦτον χρόνον οἱ ἐν ταῖς πέντε καὶ εἴκοσι ναυσὶν οἵ
περ τῶν ὁλκάδων ἕνεκα τῆς ἐς σικελίαν κομιδῆς ἀνθώρ
μουν πρὸς τὰς ἐν ναυπάκτῳ ναῦς παρασκευασάμενοι ὡς
ἐπὶ ναυμαχίαν· καὶ προσπληρώσαντες ἔτι ναῦς ὥστε ὀλί
γῳ ἐλάσσους εἶναι αὐτοῖς τῶν ἀττικῶν νεῶν ὁρμίζονται κατ'
ἐρινεὸν τῆς ἀχαΐας ἐν τῇ ῥυπικῇ· καὶ αὐτοῖς τοῦ χωρίου
μηνοειδοῦς ὄντος ἐφ' ᾧ ὥρμουν, ὁ μὲν πεζὸς ἑκατέρωθεν
προσβεβοηθηκὼς τῶν τε κορινθίων καὶ τῶν αὐτόθεν ξυμ
μάχων ἐπὶ ταῖς ἀνεχούσαις ἄκραις παρετέτακτο· αἱ δὲ
νῆες τὸ μεταξὺ εἶχον ἐμφάρξασαι· ἦρχε δὲ τοῦ ναυτικοῦ πο
λυάνθης κορίνθιος· οἱ δ' ἀθηναῖοι ἐκ τῆς ναυπάκτου τριά
κοντα ναυσὶ καὶ τρισίν, ἦρχε δὲ αὐτῶν δίφιλος, ἐπέπλευσαν
αὐτοῖς· καὶ οἱ κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον· ἔπειτα

ἀρθέντος αὐτοῖς τοῦ σημείου, ἐπὴ καιρὸς ἐδόκει εἶναι, ὥρ-
μησαν ἐπὶ τοὺς ἀθηναίους καὶ ἐναυμάχουν· καὶ χρόνον ἀν-
τεῖχον πολὺν ἀλλήλοις· καὶ τῶν μὲν κορινθίων, τρεῖς νῆες δι-
αφθείρονται. τῶν δὲ ἀθηναίων κατέδυ μὲν ἁπλῶς οὐδε-
μία· ἑπτὰ δέ τινες ἄπλοι ἐγένοντο ἀντίπρωροι ἐμβαλλόμεναι·
καὶ ἀναρραγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν κορινθίων νεῶν·
ἐπ' αὐτὸ τοῦτο παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν· ναυμαχή-
σαντες δὲ ἀντίπαλα μὲν καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν
νικᾶν· ὅμως δὲ τῶν ναυαγίων κρατησάντων τῶν ἀθηναίων
διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος· καὶ διὰ
τὴν τῶν κορινθίων οὐκέτι ἐπαναγωγήν, διεκρίθησαν ἀπ'
ἀλλήλων καὶ δίωξις οὐδεμία ἐγένετο· οὐδ' ἄνδρες οὐ-
δετέρων ἑάλωσαν· οἱ μὲν γὰρ κορίνθιοι καὶ πελοποννή-
σιοι πρὸς τῇ γῇ ναυμαχοῦντες, ῥᾳδίως διεσώζοντο· τῶν
δὲ ἀθηναίων οὐδεμία κατέδυ ναῦς· ἀποπλευσάντων δὲ
τῶν ἀθηναίων ἐς τὴν ναύπακτον, οἱ κορίνθιοι εὐθὺς τρο-
παῖον ἔστησαν ὡς νικῶντες τῶν ἀθηναίων· ὅτι πλείους ναῦς
τῶν ἐναντίων ἄπλους ἐποίησαν· καὶ νομίσαντες δι' αὐτὸ
οὐχ ἡσσᾶσθαι· δι' ὅ περ οὐδ' οἱ ἕτεροι νικᾶν· οἵ τε γὰρ κορίνθιοι
ἡγήσαντο κρατεῖν εἰ μὴ πολὺ ἐκρατοῦντο· οἵ τε ἀθηναῖοι ἐ-
νόμιζον ἡσσᾶσθαι εἰ μὴ πολὺ ἐνίκων· ἀποπλευσάντων δὲ
τῶν πελοποννησίων καὶ τοῦ πεζοῦ διαλυθέντος, οἱ ἀθηναῖοι
ἔστησαν τροπαῖον καὶ αὐτοὶ καὶ ἐν τῇ ἀχαΐᾳ ὡς νικήσαντες
ἀπέχοντος τοῦ ἐρινεοῦ· ἐν ᾧ οἱ κορίνθιοι ὥρμουν, ὡς εἴκο-
σι σταδίους· καὶ ἡ μὲν ναυμαχία οὕτως ἐτελευτήθη· ὁ δὲ
δημοσθένης καὶ ὁ εὐρυμέδων ἐπειδὴ ξυστρατεύειν αὐτοῖς
οἱ θούριοι παρεσκευάσθησαν ἑπτακοσίοις μὲν ὁπλίταις, τρι-
ακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς παραπλεῖν ἐκέλευ-
σαν ἐπὶ τῆς κροτωνιάτιδος· αὐτοὶ δὲ τὸν πεζὸν πάντα ἐξε-

τάσαντες

πρῶτον ἐπὶ τῷ συβάρει ποταμῷ ἦγον διὰ τῆς θουριάτιδος γῆς.
καὶ ὡς ἐγένοντο ἐπὶ τῷ ὑλίᾳ ποταμῷ, καὶ αὐτοῖς οἱ κροτωνιᾶται
προσπέμψαντες εἶπον, οὐκ ἂν σφίσι βουλομένοις διὰ τῆς γῆς αὐ-
τῶν σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες ηὐλίσαντο πρὸς τὴν θά-
λασσαν καὶ τὴν ἐκβολὴν τοῦ ὑλίου· καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀ-
πήντων· τῇ δ' ὑστεραίᾳ ἀναβιβασάμενοι παρέπλεον ἴσχοντες πρὸς
ταῖς πόλεσι πλὴν λοκρῶν ἕως ἀφίκοντο ἐπὶ πέτραν τῆς ῥηγίνης·
οἱ δὲ συρακούσιοι ἐν τούτῳ πυνθανόμενοι αὐτῶν τὸν ἐπίπλουν αὖθις
ταῖς ναυσὶν ἀποπειράσαι ἐβούλοντο καὶ τῇ ἄλλῃ παρασκευῇ τοῦ πε-
ζοῦ ἥνπερ ἐπ' αὐτῷ τούτῳ πρὶν ἐλθεῖν αὐτοὺς φθάσαι βουλόμενοι
ξυνέλεγον· παρεσκευάσαντο δὲ τότε ἄλλο ναυτικὸν ὡς ἐκ τῆς προ-
τέρας ναυμαχίας τι πλέον ἐνεῖδον σχήσοντες· καὶ τὰς πρώρας
τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον, στεριφωτέρας ἐποίησαν· καὶ
τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρώραις παχείας· καὶ ἀντηρίδας
ἀπ' αὐτῶν ὑπέτειναν πρὸς τοὺς τοίχους ὡς ἐπὶ ἓξ πήχεις ἐντός τε καὶ
ἔξωθεν, ᾧπερ τρόπῳ καὶ οἱ κορίνθιοι πρὸς τὰς ἐν τῇ ναυπάκτῳ
ναῦς ἐπισκευασάμενοι, πρώραθεν ἐναυμάχουν· ἐνόμισαν γὰρ
οἱ συρακούσιοι πρὸς τὰς τῶν ἀθηναίων ναῦς, οὐχ ὁμοίως ἀντι-
νεναυπηγημένας· ἀλλὰ λεπτὰ τὰ πρώραθεν ἐχούσας διὰ τὸ μὴ
ἀντιπρώροις μᾶλλον αὐτοὺς ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆ-
σθαι, οὐκ ἔλασσον σχήσειν· καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυ-
μαχίαν οὐκ ἐν πολλῷ πολλαῖς ναυσὶν οὖσαν πρὸς ἑαυτῶν
ἔσεσθαι· ἀντιπρώροι γὰρ ταῖς ἐμβολαῖς χρώμενοι, ἀναρρή-
ξειν τὰ πρώραθεν αὐτοῖς στερίφοις καὶ παχέσι πρὸς κοῖλα
καὶ ἀσθενῆ παρέχοντας τοῖς ἐμβόλοις· τοῖς δὲ ἀθηναίοις
οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ· οὔτε περίπλουν οὔτε διέκ-
πλουν ᾧπερ τῆς τέχνης μάλιστα ἐπίστευον· αὐτοὶ γὰρ κατὰ τὸ
δυνατὸν τὸ μὲν οὐ δώσειν διεκπλεῖν· τὸ δὲ τὴν στενοχωρίαν κω-
λύσειν ὥστε μὴ περιπλεῖν· τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερ-

νητῶν δοκοῦν σφίσιν εἶναι, τὸ ἀντίπρωρον ξυγκροῦσαι μάλιστ' ἂν
αὐτοὶ χρήσασθαι· πλεῖστον γὰρ ἐν αὐτῷ σχήσειν· τὴν γὰρ ἀνά-
κρουσιν οὐκ ἔσεσθαι τοῖς ἀθηναίοις ἐξωθουμένοις ἄλλοσε ἢ
ἐς τὴν γῆν· καὶ ταύτην δι' ὀλίγου καὶ ἐς ὀλίγον κατὰ τὸ στρα-
τόπεδον τὸ ἑαυτῶν· τοῦ δ' ἄλλου λιμένος αὐτοὶ κρατήσειν· καὶ
ξυμφερομένους αὐτοὺς ἤν πῃ βιάζωνται, ἐς ὀλίγον τε καὶ πάν-
τας ἐς τὸ αὐτὸ προσπίπτοντας ἀλλήλοις ταράξεσθαι· ὅπερ καὶ
ἔβλαπτε μάλιστα τοὺς ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις·
οὐκ οὔσης αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως· ὥσπερ
τοῖς συρακοσίοις· περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν σφῶν
ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε καὶ ἀνάκρουσιν,
οὐ δυνήσεσθαι αὐτούς· ἄλλως τε καὶ τοῦ πλημμυρίου πολεμίου
αὐτοῖς ἐσομένου· καὶ τοῦ στόματος οὐ μεγάλου ὄντος τοῦ λιμέ-
νος. τοιαῦτα οἱ συρακούσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε καὶ
δύναμιν ἐπινοήσαντες· καὶ ἅμα τεθαρρηκότες ἤδη μᾶλλον
ἀπὸ τῆς προτέρας ναυμαχίας, ἐπεχείρουν τῷ πεζῷ ἅμα καὶ ταῖς
ναυσί· καὶ τὸν μὲν πεζὸν ὀλίγον πρότερον τὸν ἐκ τῆς πόλεως
γύλιππος προεξαγαγών, προσῆγε τῷ τείχει τῶν ἀθηναίων,
καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα· καὶ οἱ ἀπὸ τοῦ ὀλυμ-
πιείου. οἵ τε ὁπλῖται ὅσοι ἐκεῖ ἦσαν καὶ οἱ ἱππῆς καὶ ἡ γυμνη-
τεία τῶν συρακοσίων ἐκ τοῦ ἐπὶ θάτερα προσῄει τῷ τείχει· αἱ
δὲ νῆες μετὰ τοῦτο εὐθὺς ἐξέπλεον τῶν συρακοσίων καὶ τῶν
ξυμμάχων· καὶ οἱ ἀθηναῖοι τὸ πρῶτον οἰόμενοι αὐτοὺς τῷ
πεζῷ μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς ναῦς ἐπιφε-
ρομένας ἄφνω, ἐθορυβοῦντο· καὶ οἱ μὲν ἐπὶ τὰ τείχη,
πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο· οἱ δὲ πρὸς
τοὺς ἀπὸ τοῦ ὀλυμπιείου καὶ τῶν ἔξω κατὰ τάχος χωροῦν-
τας ἱππέας τε πολλοὺς καὶ ἀκοντιστάς, ἀντεπεξῄεσαν· ἄλλοι
δὲ τὰς ναῦς ἐπλήρουν· καὶ ἅμα ἐπὶ τὸν αἰγιαλὸν παρεβοή-

θουν

καὶ ἐπεὶ δὴ πλήρεις ἦσαν, ἀντανῆγον πέντε καὶ ἑβδομήκοντα
ναῦς· καὶ αἱ τῶν συρακουσίων νῆες ὀγδοήκοντα μάλιστα· τῆς
δὲ ἡμέρας πολὺ προσπλέοντες καὶ ἀνακρουόμενοι καὶ πει-
ράσαντες ἀλλήλων· καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν τι λόγου
παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ δύο τῶν ἀθηναίων οἱ συρα-
κούσιοι καταδύσαντες, διεκρίθησαν· καὶ ὁ πεζὸς ἅμα ἀ-
πὸ τῶν τειχῶν ἀπῆλθε. τῇ δ᾽ ὑστεραίᾳ οἱ μὲν συρακούσιοι ἡ-
σύχαζον οὐδὲν δηλοῦντες ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ
δὲ νικίας ἰδὼν ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα· καὶ ἐλ-
πίζων αὐτοὺς αὖθις ἐπιχειρήσειν, τούς τε τριηράρχους ἠνάγκα-
ζεν ἐπισκευάζειν τὰς ναῦς εἴ τίς τι ἐπεπονήκει· καὶ ὁλκά-
δας προώρμισε πρὸ τοῦ σφετέρου σταυρώματος. ὃ αὐτοῖς
πρὸ τῶν νεῶν ἀντὶ τοῦ λιμένος κλῃστοῦ ἐν τῇ θαλάσσῃ ἐπε-
πήγει· διαλειπούσας δὲ τὰς ὁλκάδας ὅσον δύο πλέθρα ἀπ᾽
ἀλλήλων κατέστησαν· ὅπως εἴ τις βιάζοιτο ναῦς, εἴη κατάφευ-
ξις ἀσφαλής· καὶ πάλιν καθ᾽ ἡσυχίαν ἔκπλους. παρασκευα-
ζόμενοι δὲ ταῦτα ὅλην τὴν ἡμέραν διετέλεσαν οἱ ἀθηναῖοι
μέχρι νυκτός. τῇ δ᾽ ὑστεραίᾳ οἱ συρακούσιοι πρωϊτερον ἢ
τὸ πρότερον, τῇ δὲ τέχνῃ ἐπιχειρήσει αὐτῇ τοῦ πεζοῦ καὶ τοῦ
ναυτικοῦ προσέμισγον τοῖς ἀθηναίοις· καὶ ἀντικαταστάν-
τες ταῖς ναυσὶ τὸν αὐτὸν τρόπον, αὖθις ἐπὶ πολὺ διῆγον τῆς ἡ-
μέρας πειρώμενοι ἀλλήλων· πρὶν δὴ ἀρίστων ὁ πυρρίχου
ἄριστος ὢν κυβερνήτης τῶν μετὰ συρακουσίων, πείθει τοὺς
σφετέρους τοῦ ναυτικοῦ ἄρχοντας πέμψαντας ὡς τοὺς ἐν
τῇ πόλει ἐπιμελομένους, κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν
τῶν πωλουμένων ἐπὶ τὴν θάλασσαν μεταστήσαντας κομίσαι·
καὶ ὅσα τις ἔχει ἐδώδιμα πάντας ἐκεῖσε φέροντας ἀναγκά-
σαι πωλεῖν· ὅπως αὐτοὺς ἐκβιβάσαντες τοὺς ναύτας, εὐθὺ
παρὰ τὰς ναῦς ἀριστοποιήσωνται· καὶ δι᾽ ὀλίγου αὖθις

καὶ αὐθημερὸν ἀπροσδοκήτοις τοῖς ἀθηναίοις ἐπιχειρῶσι· καὶ οἱ μὲν πεισθέντες ἔπεμψαν τὸν ἄγγελον· καὶ ἡ ἀγορὰ παρεσκευάσθη· καὶ οἱ συρακούσιοι ἐξαίφνης πρύμναν κρουσάμενοι πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν· καὶ εὐθὺς ἐκβάντες αὐτοῦ ἄριστον ἐποιοῦντο· οἱ δ᾽ ἀθηναῖοι νομίζοντες ὡς ἡσσημένους σφᾶς πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ᾽ ἡσυχίαν ἐκβάντες τά τε ἄλλα ἐπραγματεύοντο καὶ τὰ ἀμφὶ τὸ ἄριστον· ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι. ἐξαίφνης δὲ οἱ συρακούσιοι πληρώσαντες ναῦς, ἐπέπλεον αὖθις· οἱ δὲ, διὰ πολλοῦ θορύβου, καὶ ἄσιτοι οἱ πλείους οὐδενὶ κόσμῳ ἐσβάντες, μόλις ποτὲ ἀντανήγοντο· καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων φυλασσόμενοι· ἔπειτα οὐκ ἐδόκει τοῖς ἀθηναίοις ὑπὸ σφῶν αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι. ἀλλ᾽ ἐπιχειρεῖν ὅτι τάχιστα· καὶ ἐπιφερόμενοι ἐκ παρακελεύσεως ἐναυμάχουν· οἱ δὲ συρακούσιοι δεξάμενοι καὶ ταῖς ναυσὶν ἀντιπρώροις χρώμενοι ὥσπερ διενοήθησαν τῶν ἐμβόλων τῇ παρασκευῇ, ἀνερρήγνυσαν τὰς τῶν ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς παρεξειρεσίας· καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων αὐτοῖς ἀκοντίζοντες, μεγάλα ἔβλαπτον τοὺς ἀθηναίους· πολὺ δ᾽ ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν συρακοσίων· καὶ ἔς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν πολεμίων νεῶν· καὶ ἐς τὰ πλάγια παραπλέοντες· καὶ ἐξ αὐτῶν ἐς τοὺς ναύτας ἀκοντίζοντες. τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ συρακούσιοι ἐνίκησαν· καὶ οἱ ἀθηναῖοι τραπόμενοι διὰ τῶν ὁλκάδων τὴν καταφυγὴν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον· αἱ δὲ τῶν συρακουσίων νῆες μέχρι μὲν τῶν ὁλκάδων ἐπεδίωκον· ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων αἱ ἀπὸ τῶν ὁλκάδων, δελφινοφόροι ἠρμέναι, ἐκώλυον· δύο δὲ νῆες τῶν συρακουσίων ἐπαιρόμεναι τῇ νίκῃ, προσέμιξαν αὐτῶν ἐγγύς· καὶ

διεφθάρησαν. καὶ ἑτέρα αὐτοῖς ἀνδράσιν ἑάλω. κατα
δύσαντες δ' οἱ συρακούσιοι τῶν ἀθηναίων ἑπτὰ ναῦς καὶ κα-
τατραυματίσαντες πολλάς, ἄνδρας τε τοὺς μὲν πολλοὺς ζω
γρήσαντες, τοὺς δὲ ἀποκτείναντες, ἀπεχώρησαν. τροπαῖ-
ά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν. καὶ τὴν ἐλπίδα ἤδη
ἐχυρὰν εἶχον. ταῖς μὲν ναυσὶ πολὺ κρείσσους εἶναι. ἐδόκουν
δὲ καὶ τὸν πεζὸν χειρώσασθαι. καὶ οἱ μέν, ὡς ἐπιθησόμενοι
κατ' ἀμφότερα, παρεσκευάζοντο αὖθις. ἐν τούτῳ δὲ δημοσθέ
νης καὶ εὐρυμέδων ἔχοντες ἀπὸ τῶν ἀθηναίων βοήθειαν πα
ραγίγνονται. ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν
ταῖς ξενικαῖς. καὶ ὁπλίτας περὶ πεντακισχιλίους ἑαυτῶν καὶ
τῶν ξυμμάχων. ἀκοντιστάς τε βαρβάρους καὶ ἕλληνας οὐκ
ὀλίγους. καὶ σφενδονήτας καὶ τοξότας καὶ τὴν ἄλλην παρα
σκευὴν ἱκανήν. καὶ τοῖς μὲν συρακοσίοις καὶ ξυμμάχοις.
κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μη
δὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου. ὁρῶντες οὔ
τε διὰ τὴν δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον
καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα. τήν τε τῶν ἀ
θηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην. τῷ δὲ προ
τέρῳ στρατεύματι τῶν ἀθηναίων, ὡς ἐκ κακῶν ῥώμη τις ἐ
γεγένητο. ὁ δὲ δημοσθένης ἰδὼν ὡς εἶχε τὰ πράγματα. καὶ
νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν, οὐδὲ παθεῖν ὅπερ ὁ νι
κίας ἔπαθεν, ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ νικίας φοβερός,
ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς συρακούσαις ἀλλ' ἐν κατάνῃ
διεχείμαζεν, ὑπερώφθη τε. καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς
πελοποννήσου στρατιᾷ ὁ γύλιππος ἀφικόμενος. ἣν οὐδ' ἂν
μετέπεμψαν οἱ συρακούσιοι. εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο. ἱ
κανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι, ἅμα τ' ἂν ἔμαθον ἥσσους ὄν
τες. καὶ ἀποτετειχισμένοι ἂν ἦσαν. ὥστε μηδ' εἰ μετέπεμ

ψαν· ἔτι ὁμοίως ἂν ἑαυτοὺς ὠφελεῖν· ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημο-
σθένης, καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ πρώτῃ
ἡμέρᾳ δεινότατος ἐστὶ μάλιστα τοῖς ἐναντίοις, ἐβούλετο ὅτι
τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλή-
ξει· καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακοσίων, ᾧ ἐκώλυ-
σαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν τε ὂν καὶ εἰ
κρατήσειέ τις τῶν ἐπιπολῶν τῆς ἀναβάσεως καὶ αὖθις
τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθέν· οὐ-
δὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα, ἠπείγετο ἐπιθέσθαι τῇ
πείρᾳ· καί οἱ ξυντομωτάτην ἡγεῖτο διαπολέμησιν· ἢ γὰρ κα-
τορθώσας ἕξειν Συρακούσας, ἢ ἀπάξειν τὴν στρατιὰν καὶ οὐ
τρίψεσθαι ἄλλως· Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ ξύμ-
πασαν πόλιν· πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συ-
ρακοσίων ἔτεμνον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον καὶ τῷ στρα-
τεύματι ἐπεκράτουν ὥσπερ τὸ πρῶτον, τῷ τε πεζῷ καὶ ταῖς
ναυσίν· οὐδὲ γὰρ καθ' ἕτερα οἱ Συρακούσιοι ἀντεπεξῄεσαν·
ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου· ἔ-
πειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶ-
σαι τοῦ παρατειχίσματος· ὡς δὲ αὐτῷ προσαγαγόντι κατε-
καύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων
αἱ μηχαναί, καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες,
ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν· ἀλλὰ πείσας τόν τε
Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας ὡς ἐπενόει, τὴν ἐπιχεί-
ρησιν τῶν ἐπιπολῶν ἐποιεῖτο· καὶ ἡμέρας μὲν ἀδύνατον
ἐδόκει εἶναι λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας· πα-
ραγγείλας δὲ πέντε ἡμερῶν σιτία· καὶ τοὺς ἄλλους λιθολό-
γους καὶ τέκτονας πάντας λαβών· καὶ ἄλλην παρασκευὴν το-
ξευμάτων τε καὶ ὅσα ἔδει ἢν κρατῶσι τειχίζοντας ἔχειν, αὐτὸς
μὲν ἀπὸ πρώτου ὕπνου καὶ Δημοσθένης καὶ Μένανδρος,

ἀναλαβὼν τὴν πᾶσαν στρατιάν, ἐχώρει πρὸς τὰς ἐπιπο-
λάς· νικίας δὲ ἐν τοῖς τείχεσιν ὑπελέλειπτο· καὶ ἐπειδὴ ἐγένοντο
πρὸς αὐταῖς κατὰ τὸν εὐρύηλον, ᾗπερ καὶ ἡ προτέρα στρα-
τιὰ τὸ πρῶτον ἀνέβη, λανθάνουσί τε τοὺς φύλακας τῶν συ-
ρακοσίων· καὶ προσβάντες τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν
συρακοσίων αἱροῦσι· καὶ ἄνδρας τῶν φυλάκων ἀποκτεί-
νουσιν· οἱ δὲ πλείους διαφυγόντες εὐθὺς πρὸς τὰ στρατό-
πεδα ἃ ἦν ἐπὶ τῶν ἐπιπολῶν τρία, ἓν μὲν τῶν συρακοσίων
ἓν δὲ τῶν σικελιωτῶν τῶν ἄλλων, ἓν δὲ τῶν ξυμμάχων
ἀγγέλλουσι τὴν ἔφοδον· καὶ τοῖς ἑξακοσίοις τῶν συρακο-
σίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν ἐπιπολῶν φύ-
λακες ἦσαν, ἔφραζον· οἱ δὲ ἐβοήθουν τε εὐθύς· καὶ αὐτοῖς
ὁ δημοσθένης καὶ οἱ ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους
προθύμως ἔτρεψαν· καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ
ἔμπροσθεν· ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν
ἕνεκα ἦλθον, μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ ἀπὸ τῆς
πρώτης παρατειχίσματα τῶν συρακοσίων, οὐχ ὑπομενόντων
τῶν φυλάκων ᾕρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον· οἱ δὲ συ-
ρακούσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ γύλιππος καὶ οἱ μετ' αὐτοῦ,
ἐβοήθουν ἐκ τῶν προτειχισμάτων· καὶ ἀδοκήτου τοῦ τολμή-
ματος ἐν νυκτὶ σφίσι γενομένου, προσέβαλόν τε τοῖς ἀθη-
ναίοις ἐκπεπληγμένοι καὶ βιασθέντες ὑπ' αὐτῶν, τὸ πρῶτον
ὑπεχώρησαν· προϊόντων δὲ τῶν ἀθηναίων ἐν ἀταξίᾳ,
μᾶλλον ὡς κεκρατηκότων, καὶ βουλομένων διὰ παντὸς τοῦ
μήπω μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν· ἵ-
να μὴ ἀνιέντων σφῶν τῆς ἐφόδου αὖθις ξυστραφῶσιν, οἱ
βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον· καὶ προσβαλόντες, ἔτρε-
ψάν τε καὶ ἐς φυγὴν κατέστησαν· καὶ ἐνταῦθα ἤδη ἐν
πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ ἀθηναῖοι· ἣν οὐ-

δὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ' ἀφ' ἑτέρων ὅτῳ τρόπῳ ταῦτα
ἕκαστα ξυνηνέχθη. ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μέν· ὅμως
δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι πάντα, πλὴν τὸ καθ' ἑαυτὸν
ἕκαστος μόλις οἶδεν. ἐν δὲ νυκτομαχίᾳ, ἣ μόνη δὴ στρατο-
πέδων μεγάλων ἐν τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς ἄν τις
σαφές τι ᾔδει. ἦν μὲν γὰρ σελήνη λαμπρά. ἑώρων δὲ
οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκός, τὴν μὲν ὄψιν τοῦ σώ-
ματος προορᾶν. τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. ὁ-
πλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέ-
φοντο. καὶ τῶν ἀθηναίων οἱ μὲν, ἤδη ἐνικῶντο. οἱ δὲ, ἔ-
τι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. πολὺ δὲ καὶ τοῦ ἄλλου
στρατεύματος αὐτοῖς, τὸ μέν, ἄρτι ἀναβεβήκει. τὸ δὲ προ-
σανῄει. ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ,τι χρὴ χωρῆσαι. ἤδη γὰρ
τὰ πρόσθεν τῆς τροπῆς γεγενημένης ἐτετάρακτο πάντα καὶ
χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. οἵ τε γὰρ συρακούσιοι
καὶ οἱ ξύμμαχοι κρατοῦντες, παρεκελεύοντό τε κραυγῇ
οὐκ ὀλίγῃ χρώμενοι. ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆ-
ναι. καὶ ἅμα τοὺς προσφερομένους ἐδέχοντο. οἵ τε ἀθη-
ναῖοι ἐζήτουν τε σφᾶς αὐτούς. καὶ πᾶν τὸ ἐναντίον καὶ εἰ φί-
λιον εἴη, τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον.
καὶ τοῖς ἐρωτήμασι πυκνοῖς τοῦ ξυνθήματος χρώμενοι, διὰ
τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι. σφίσι τε αὐτοῖς θόρυβον πο-
λὺν παρεῖχον ἅμα πάντες. καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ
κατέστησαν. τὸ δ' ἐκείνων, οὐχ ὁμοίως ἠπίσταντο. διὰ τὸ
κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνῶτα εἶναι.
ὥστ' εἰ μὲν ἐντύχοιέν τισι κρείσσους ὄντες τῶν πολεμίων, διέ-
φευγον αὐτοὺς ἅτε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα. οἱ δ'
αὐτοὶ μὴ ἀποκρινόμενοι, διεφθείροντο. μέγιστον δὲ καὶ οὐχ ἥκι-
στα ἔβλαψε καὶ ὁ παιανισμός. ἀπὸ γὰρ ἀμφοτέρων παρα-

πλήσιος ὢν, ἀπορεῖ πράξειν· οἵ τε γὰρ ἀργεῖοι καὶ οἱ κερκυ-
ραῖοι καὶ ὅσον δωρικὸν μετὰ ἀθηναίων ἦν, ὁπότε παιανίσει-
αν, φόβον παρεῖχε τοῖς ἀθηναίοις· οἵ τε πολέμιοι ὁμοίως·
ὥστε τέλος ξυμπεσόντες αὐτοῖς κατὰ πολλὰ τοῦ στρατοπέ-
δου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις καὶ πολῖ-
ται πολίταις, οὐ μόνον ἐς φόβον κατέστησαν· ἀλλὰ καὶ
ἐς χεῖρας ἀλλήλοις ἐλθόντες, μόλις ἀπελύοντο· καὶ διωκό-
μενοι κατά τε τῶν κρημνῶν οἱ πολλοί οἱ πολλοὶ ῥίπτοντες
ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν ἐπιπολῶν
πάλιν καταβάσεως· καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν ἄνωθεν οἱ σω-
ζόμενοι καταβαίνοιεν, πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν
προτέρων στρατιωτῶν, ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ
στρατόπεδον διέφυγον· οἱ δὲ ὕστεροι ἥκοντες, εἰσὶν οἳ
διαμαρτόντες τῶν ὁδῶν κατὰ τὴν χώραν ἐπλανήθησαν·
οὓς ἐπειδὴ ἡμέρα ἐγένετο οἱ ἱππῆς τῶν συρακοσίων, περι-
ελάσαντες, διέφθειραν· τῇ δ᾽ ὑστεραίᾳ οἱ μὲν συρακούσιοι
δύο τροπαῖα ἔστησαν· ἐπί τε ταῖς ἐπιπολαῖς ᾗ ἡ πρόβασις
καὶ κατὰ τὸ χωρίον ᾗ οἱ βοιωτοὶ πρῶτον ἀντέστησαν· οἱ δ᾽
ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο· ἀπέθανον
δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων· ὅπλα μέντοι ἔτι
πλείω ἢ κατὰ τοὺς νεκροὺς ἐλήφθη· οἱ γὰρ κατὰ τῶν κρημνῶν
βιασθέντες ἅλλεσθαι ψιλοί, ἄνευ τῶν ἀσπίδων ἀπώλλυντο,
οἱ δ᾽ ἐσώθησαν· μετὰ δὲ τοῦτο οἱ μὲν συρακούσιοι, ὡς ἐπὶ ἀ-
προσδοκήτῳ εὐπραγίᾳ, πάλιν αὖ ἀναρρωσθέντες ὥσπερ
καὶ πρότερον, ἐς μὲν ἀκράγαντα στασιάζοντα πέντε καὶ δέ-
κα ναυσί, σικανὸν ἀπέστελλον, ὅπως ὑπαγάγοιτο τὴν πό-
λιν εἰ δύναιτο· γύλιππος δὲ κατὰ γῆν ἐς τὴν σικελίαν ᾤχετο
αὖθις ἄξων στρατιάν, ἔτι ἐν ἐλπίδι ὤν, καὶ τὰ τείχη τῶν ἀθη-
ναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ ἐν ταῖς ἐπιπολαῖς οὕτω

ξυνέβη. οἱ δὲ τῶν ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο
πρός τε τὴν γεγενημένην ξυμφορὰν καὶ πρὸς τὴν παροῦσαν
ἐν τῷ στρατοπέδῳ κατὰ πάντα ἀρρωστίαν. τοῖς τε γὰρ ἐπι-
χειρήμασιν ἑώρων οὐ κατορθοῦντες· καὶ τοὺς στρατιώτας
ἀχθομένους τῇ μονῇ· νόσῳ τε ἐπιέζοντο κατ' ἀμφότερα. τῆς
τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης, ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μά-
λιστα· καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο, ἑλῶδες
καὶ χαλεπὸν ἦν. τά τε ἄλλα καὶ ὅτι ἀνέλπιστα αὐτοῖς φαίνε-
τ[ο]. τῷ δὲ δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν· ἀλλὰ ἅπερ καὶ
διανοηθεὶς ἐς τὰς ἐπιπολὰς διεκινδύνευσεν, ἐπειδὴ ἔσφαλ-
το, ἀπιέναι ἐψηφίζετο· καὶ μὴ διατρίβειν ἕως ἔτι τὸ πέ-
λαγος οἷόν τε περαιοῦσθαι· καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐ-
πελθούσαις ναυσὶ κρατεῖν· καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη
εἶναι πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον
ποιεῖσθαι, ἢ συρακοσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώ-
σασθαι· οὐδ' αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς
εἶναι προσκαθῆσθαι· καὶ ὁ μὲν δημοσθένης τοιαῦτα ἐγίγνω-
σκεν· ὁ δὲ νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πονηρὰ σφῶν τὰ
πράγματα εἶναι· τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀπο-
δεικνύναι· οὐδ' ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν
τὴν ἀναχώρησιν, τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι·
λαθεῖν γὰρ ἄν, ὁπότε βούλοιντο τοῦτο ποιοῦντες πολλῷ ἧσσον· τὸ
δέ τι καὶ τὰ τῶν πολεμίων ἀφ' ὧν ἐπὶ πλέον ἢ οἱ ἄλλοι, ᾐσθά-
νετο αὐτῶν· ἐλπίδος τι ἔτι παρεῖχε πονηρότερα τῶν σφετέ-
ρων ἔσεσθαι ἢν καρτερῶσι προσκαθήμενοι· χρημάτων γὰρ
ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν· ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς
ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων· καὶ ἦν γάρ τι καὶ ἐν
ταῖς συρακούσαις βουλόμενον τοῖς ἀθηναίοις τὰ πράγματα
ἐνδοῦναι, ἐπεκηρυκεύετο ὡς αὐτόν· καὶ οὐκ εἴα ἀπανίστασθ[αι]

ἃ ἐπιστάμενος· τὰ μὲν ἔργῳ ἔτι ἐπαμφοτερίζων καὶ δια
σκοπῶν, ἀνεῖχε· τῷ δ' ἐμφανεῖ τότε λόγῳ οὐκ ἔφη ἀπάξειν
τὴν στρατιάν· εὖ γὰρ εἰδέναι ὅτι Ἀθηναῖοι σφῶν ταῦτα οὐκ
ἀποδέξονται, ὥστε μὴ αὐτῶν ψηφισαμένων ἀπελθεῖν· καὶ
γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαι περὶ σφῶν αὐτῶν· καὶ τὰ πράγ
ματα ὥσπερ καὶ αὐτοὶ ὁρῶντας, καὶ οὐκ ἄλλων ἐπιτιμήσει
ἀκούσαντας γνώσεσθαι· ἀλλ' ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι,
ἐκ τούτων αὐτοὺς πείσεσθαι· τῶν τε παρόντων στρατιωτῶν, πολ
λοὺς καὶ τοὺς πλείους ἔφη οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐ
κεῖσε ἀφικομένους τἀναντία βοήσεσθαι· ὡς ὑπὸ χρημάτων
καταπροδόντες οἱ στρατηγοὶ ἀπῆλθον· οὔκουν βούλεσθαι
αὐτός γε ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις ἐπὶ αἰσχρᾷ τε αἰ
τίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπὸ τῶν
πολεμίων, εἰ δεῖ κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ· τὰ Συ
ρακοσίων ἔφη ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι· καὶ χρή
μασι γὰρ αὐτοὺς ξενοτροφοῦντας, καὶ ἐν περιπολίοις ἅμα
ἀναλίσκοντας, καὶ ναυτικὸν πολὺν ἔτι ἐνιαυτὸν ἤδη βόσκον
τας, τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν· δισχίλια γὰρ τά
λαντα ἤδη ἀνηλωκέναι· καὶ ἔτι πολλὰ προσοφείλειν· ἤν τε
καὶ ὁτιοῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς τῷ μὴ διδόναι τρο
φήν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα· ἐπικουρικὰ μᾶλλον
ἢ δι' ἀνάγκης ὥσπερ τὰ σφέτερα ὄντα· τρίβειν οὖν ἔφη χρῆ
ναι προσκαθημένους· καὶ μὴ χρήμασιν ὧν πολὺ κρείσσους
εἰσὶ νικηθέντας ἀπιέναι· ὁ μὲν Νικίας τοσαῦτα λέγων ἰσχυ
ρίζετο, αἰσθόμενος τὰ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ
τὴν τῶν χρημάτων ἀπορίαν· καὶ ὅτι ἦν αὐτόθι τὸ βουλόμενον
τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα· καὶ ἐπικηρυκευό
μενον πρὸς αὐτὸν ὥστε μὴ ἀπανίστασθαι· καὶ ἅμα ταῖς γοῦν
ναυσὶν ἢ πρότερον θαρσήσας κρατηθείς· ὁ δὲ Δημοσθένης περὶ

μὲν τοῦ προσκαθῆσθαι, οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ
ἀπάγειν τὴν στρατιὰν ἄνευ ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν
αὐτοῦ, ἔφη χρῆναι, ἢ ἐς τὴν θάψον ἀναστάντας τοῦτο ποιεῖν,
ἢ ἐς τὴν κατάνην· ὅθεν τῷ μὲν πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπι
όντες τρέψονται πορθοῦντες τὰ τῶν πολεμίων καὶ ἐκεί
νους βλάψουσι· ταῖς τε ναυσὶν ἐν πελάγει καὶ οὐκ ἐν στενο
χωρίᾳ ἣ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι, τοὺς ἀγῶνας ποιήσονται
ἀλλ' ἐν εὐρυχωρίᾳ· ἐν ᾗ τά τε τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔ
σται· καὶ ἀναχωρήσεις καὶ ἐπίπλους, οὐκ ἐκ βραχέος καὶ
περιγραπτοῦ ὁρμώμενοί τε καὶ καταίροντες, ἕξουσι· τό τε
ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ οἱ ἔφη ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι
μένειν· ἀλλ' ὅτι τάχιστα ἤδη καὶ μὴ μέλλειν ἐξανίστασθαι· καὶ
ὁ εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν· ἀντιλέγοντος δὲ τοῦ
νικίου, ὄκνος τις καὶ μέλλησις ἐνεγένετο· καὶ ἅμα ὑπόνοια
μή τι καὶ πλέον εἰδὼς ὁ νικίας ἰσχυρίζηται· καὶ οἱ μὲν ἀθη
ναῖοι τούτῳ τῷ τρόπῳ διεμέλλησάν τε καὶ κατὰ χώραν ἔμενον·
ὁ δὲ γύλιππος καὶ ὁ σικανὸς ἐν τούτῳ παρῆσαν ἐς τὰς συρακούσας·
ὁ μὲν σικανὸς ἁμαρτὼν τοῦ ἀκράγαντος· ἐν γέλᾳ γὰρ ὄντος αὐτοῦ
ἔτι ἡ τοῖς συρακοσίοις στάσις, ἐς φιλίαν ἐξεπεπτώκει· ὁ δὲ
γύλιππος ἄλλην τε στρατιὰν πολλὴν ἔχων ἦλθεν ἀπὸ τῆς σικελίας
καὶ τοὺς ἐκ τῆς πελοποννήσου τοῦ ἦρος ἐν ταῖς ὁλκάσιν ὁπλίτας
ἀποσταλέντας, ἀφικομένους ἀπὸ τῆς λιβύης ἐς σελινοῦντα· ἀ
πενεχθέντων γὰρ ἐς λιβύην καὶ δόντων κυρηναίων τριήρεις
δύο καὶ τοῦ πλοῦ ἡγεμόνας· καὶ ἐν τῷ παράπλῳ εὐεσπερίταις
πολιορκουμένοις ὑπὸ λιβύων ξυμμαχήσαντες, καὶ νική
σαντες τοὺς λίβυας· καὶ αὐτόθεν παραπλεύσαντες ἐς νέαν
πόλιν καρχηδονικὸν ἐμπόριον, ὅθενπερ σικελία ἐλά
χιστον δυοῖν ἡμερῶν καὶ νυκτὸς πλοῦν ἀπέχει· καὶ ἀπ' αὐτοῦ
περαιωθέντες, ἀφίκοντο ἐς σελινοῦντα· καὶ οἱ μὲν συρα

πονήσιοι δ' εἰς αὐτῶν ἐλθόντων, παρεσκευάζοντο ὡς ἐπιθησόμενοι
κατ' ἀμφότερα αὖθις τοῖς ἀθηναίοις καὶ ναυσὶ καὶ πεζῷ· οἱ
δὲ τῶν ἀθηναίων στρατηγοὶ ὁρῶντες στρατιάν τε ἄλλην προσγε-
γενημένην αὐτοῖς, καὶ τὰ ἑαυτῶν ἅμα οὐκ ἐπὶ τὸ βέλτιον
χωροῦντα, ἀλλὰ καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερα ἴσχοντα,
μάλιστα δὲ τῇ ἀσθενείᾳ τῶν ἀνδρῶν πιεζόμενα, καὶ μετεμέ-
λοντό τε πρότερον οὐκ ἀναστάντες· καὶ ὡς αὐτοῖς οὐδὲ ὁ νικίας
ἔτι ὁμοίως ἠναντιοῦτο ἄλλο, ἢ μὴ φανερῶς γε ἀξιῶν μὴ ψη-
φίζεσθαι, προεῖπον ὡς ἐδύναντο ἀδηλότατα ἔκπλουν ἐκ τοῦ
στρατοπέδου πᾶσι παρασκευάσασθαι ὅταν τις σημήνῃ· καὶ
μελλόντων αὐτῶν ἐπειδὴ ἑτοῖμα ἦν ἀποπλεῖν· ἡ σελήνη ἐκ-
λείπει· ἐτύγχανε γὰρ πανσέληνος οὖσα· καὶ οἱ ἀθηναῖοι οἵ
τε πλείους ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγούς, ἐνθύμιον ποιού-
μενοι καὶ ὁ νικίας, ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοι-
ούτῳ προσκείμενος, οὐδ' ἂν διαβουλεύσασθαι ἔτι ἔφη, πρὶν
οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι ὅπως ἂν πρό-
τερον κινηθῇ· καὶ τοῖς μὲν ἀθηναίοις μελλήσασι διὰ τοῦτο
ἡ μονὴ ἐγεγένητο· οἱ δὲ συρακούσιοι καὶ αὐτοὶ τοῦτο πυθόμενοι,
πολλῷ μᾶλλον ἐπηρμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν ἀθηναίων·
ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρεισσόνων εἶναι σφῶν
μήτε ναυσὶ μήτε τῷ πεζῷ· οὐ γὰρ ἂν τὸν ἔκπλουν ἐπιβουλεύ-
ειν· καὶ ἅμα οὐ βουλόμενοι αὐτοὺς ἄλλοσέ ποι τῆς σικελίας
καθεζομένους, χαλεπωτέρους εἶναι προσπολεμεῖν· ἀλλ' αὐτοῦ
ὡς τάχιστα καὶ ἐν ᾧ σφίσι ξυμφέρει, ἀναγκάσαι αὐτοὺς ναυ-
μαχεῖν· τὰς οὖν ναῦς ἐπλήρουν· καὶ ἀνεπειρῶντο ἡμέρας
ὅσαι αὐτοῖς ἐδόκουν ἱκαναί· ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν
προτέρᾳ πρὸς τὰ τείχη τῶν ἀθηναίων προσέβαλλον· καὶ ἐ-
πεξελθόντος μέρους τινὸς οὐ πολλοῦ, καὶ τῶν ὁπλιτῶν καὶ
τῶν ἱππέων κατά τινας πύλας, ἀπολαμβάνουσί τε τῶν ὁπλι-

τινάς· καὶ τρεψάμενοι κατακλῄουσιν· οὔσης δὲ στενῆς τῆς ἐ-
σόδου, οἱ ἀθηναῖοι ἵππους τε ἑβδομήκοντα ἀπολλύουσι· καὶ
τῶν ὁπλιτῶν οὐ πολλούς· καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀπεχώρη-
σεν ἡ στρατιὰ τῶν συρακοσίων· τῇ δ' ὑστεραίᾳ ταῖς ναυσὶν ἐκ-
πλέουσιν οὔσαις ἓξ καὶ ἑβδομήκοντα καὶ τῷ πεζῷ ἅμα πρὸς
τὰ τείχη ἐχώρουν· οἱ δ' ἀθηναῖοι ἀντανῆγον ναυσὶν ἓξ καὶ ὀγ-
δοήκοντα· καὶ προσμίξαντες ἐναυμάχουν· καὶ τὸν εὐρυμέ-
δοντα ἔχοντα τὸ δεξιὸν κέρας· καὶ βουλόμενον περικλῄσα-
σθαι τὰς ναῦς τῶν ἐναντίων, καὶ ἐξάγοντα τῷ πλῷ πρὸς τὴν γῆν
μᾶλλον νικήσαντες οἱ συρακούσιοι καὶ οἱ ξύμμαχοι, τὸ μέσον
πρῶτον τῶν ἀθηναίων ἀπολαμβάνουσι, κἀκεῖνον ἐν τῷ κοί-
λῳ καὶ μυχῷ τοῦ λιμένος· καὶ αὐτόν τε διαφθείρουσι· καὶ τὰς
μετ' αὐτοῦ ναῦς ἐπισπομένας· ἔπειτα δὲ καὶ τὰς πάσας ναῦς
ἤδη τῶν ἀθηναίων κατεδίωκόν τε καὶ ἐξώθουν ἐς τὴν γῆν.
ὁ δὲ γύλιππος ὁρῶν τὰς ναῦς τῶν πολεμίων νικωμένας καὶ ἔ-
ξω τῶν σταυρωμάτων καὶ τοῦ ἑαυτῶν στρατοπέδου καταφε-
ρομένας, βουλόμενος διαφθείρειν τοὺς ἐκβαίνοντας· καὶ τὰς
ναῦς ῥᾷον τοὺς συρακοσίους ἀφέλκειν τῆς γῆς φιλίας οὔσης πα-
ρεβοήθει ἐπὶ τὴν χηλὴν μέρος τι ἔχων τῆς στρατιᾶς· καὶ αὐ-
τοὺς οἱ τυρσηνοί, οὗτοι γὰρ ἐφύλασσον τοῖς ἀθηναίοις, ὁρῶν-
τες ἀτάκτως προσφερομένους, ἐπεκβοηθήσαντες καὶ προ-
σπεσόντες τοῖς πρώτοις, τρέπουσι καὶ ἐμβάλλουσιν ἐς τὴν λί-
μνην τὴν λυσιμέλειαν καλουμένην· ὕστερον δὲ πλέονος ἤδη
τοῦ στρατεύματος παρόντος τῶν συρακοσίων καὶ ξυμμάχων,
καὶ οἱ ἀθηναῖοι ἐπιβοηθήσαντες καὶ δείσαντες περὶ ταῖς
ναυσίν, ἐς μάχην τε κατέστησαν πρὸς αὐτούς· καὶ νικήσαντες
ἐπεδίωξαν· καὶ ὁπλίτας τε πολλοὺς ἀπέκτειναν· καὶ τὰς
ναῦς τὰς μὲν πολλὰς διέσωσάν τε καὶ ξυνήγαγον κατὰ τὸ
στρατόπεδον· δυοῖν δεούσαις εἴκοσιν, ἃς οἱ συρακόσιοι

καὶ οἱ ξύμμαχοι ἔλαβον αὐτῶν· καὶ τοὺς ἄνδρας πάντας ἀπέ
κτειναν· καὶ ἐπὶ τὰς λοιπὰς ἐμπρῆσαι βουλόμενοι, ὁλκάδα
παλαιάν, κληματίδων καὶ δᾳδὸς γεμίσαντες, ἦν γὰρ ἐπὶ τοὺς
ἀθηναίους ἄνεμος οὔριος, ἀφεῖσαν τὴν ναῦν πῦρ ἐμβαλόντες.
καὶ οἱ ἀθηναῖοι δείσαντες περὶ ταῖς ναυσίν, ἀντεμηχανήσαντό τε
σβεστήρια κωλύματα· καὶ παύσαντες τὴν φλόγα· καὶ τὸ μὴ
προσελθεῖν ἐγγὺς τὴν ὁλκάδα, τοῦ κινδύνου ἀπηλλάγησαν· με
τὰ δὲ τοῦτο οἱ συρακούσιοι μὲν τῆς τε ναυμαχίας τροπαῖον ἔστη
σαν· καὶ τῆς ἄνω τῆς πρὸς τῷ τείχει ἀπολήψεως τῶν ὁπλιτῶν· ὅ
θεν καὶ τοὺς ἵππους ἔλαβον· ἀθηναῖοι δὲ ἧς τε οἱ τυρσηνοὶ
τροπῆς ἐποιήσαντο τῶν πεζῶν ἐς τὴν λίμνην· καὶ ἧς αὐτοὶ τῷ
ἄλλῳ στρατοπέδῳ· γεγενημένης δὲ τῆς νίκης τοῖς συρακουσί
οις λαμπρᾶς ἤδη καὶ τοῦ ναυτικοῦ· πρότερον μὲν γὰρ ἐ
φοβοῦντο τὰς μετὰ τοῦ δημοσθένους ναῦς ἐπελθούσας, οἱ μὲν
ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν· καὶ ὁ παράλογος αὐτοῖς
μέγας ἦν· πολὺ δὲ μείζων ἔτι τῆς στρατείας ὁ μετάμελος· πό
λεσι γὰρ ταύταις μόναις ὁμοιοτρόποις ἐπελθόντες, δημοκρα
τουμέναις τε ὥσπερ καὶ αὐτοί, καὶ ναῦς καὶ ἵπποις καὶ μεγέθη
ἐχούσαις· οὐ δυνάμενοι ἐπενεγκεῖν, οὔτ' ἐκ πολιτείας τι με
ταβολῆς τὸ διάφορον αὐτοῖς ᾧ προσήγοντο ἄν, οὔτ'
ἐκ παρασκευῆς πολλῷ κρείσσονος, σφαλλόμενοι δὲ τὰ πλείω,
τά τε πρὸ τοῦ αὐτῶν ἠπόρουν, καὶ ἐπειδή γε καὶ ταῖς ναυσὶν
ἐκρατήθησαν, ὃ οὐκ ἂν ᾤοντο, πολλῷ δὴ μᾶλλον ἔτι· οἱ δὲ
συρακούσιοι τόν τε λιμένα εὐθὺς παρέπλεον ἀδεῶς· καὶ τὸ
στόμα αὐτοῦ διενοοῦντο κλείσειν, ὅπως μηδ' εἰ βούλοιντο λά
θοιεν αὐτοὺς οἱ ἀθηναῖοι ἐκπλεύσαντες· οὐ γὰρ περὶ τοῦ αὐ
τοὺς σωθῆναι μόνον ἔτι τὴν ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ
ὅπως ἐκείνους κωλύσωσι· νομίζοντες ὅπερ ἦν ἀπό τε τῶν πα
ρόντων πολὺ σφῶν καθυπέρτερα τὰ πράγματα εἶναι· καὶ

ἢ δύναιντο κρατῆσαι Ἀθηναίους τε καὶ τῶν ξυμμάχων, καὶ κατὰ
γῆν καὶ κατὰ θάλασσαν, καλόν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀ-
γώνισμα φανεῖσθαι· τούς τε ἄλλους Ἕλληνας εὐθὺς τοὺς μὲν
ἐλευθεροῦσθαι· τοὺς δὲ φόβου ἀπολύεσθαι· οὐ γὰρ ἔτι
δυνατὴν ἔσεσθαι τὴν ὑπόλοιπον Ἀθηναίων δύναμιν τὸν
ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν· καὶ αὐ-
τοὶ δόξαντες αἴτιοι εἶναι αὐτῶν, ὑπό τε τῶν ἄλλων ἀνθρώπων
καὶ πολὺ θαυμασθήσεσθαι· καὶ ἦν δὲ ἄξιος ὁ ἀγὼν
κατά γε ταῦτα· καὶ ὅτι οὐχὶ Ἀθηναίων μόνον περιεγίγνον-
το, ἀλλὰ καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων· καὶ οὐδ' αὐτοὶ
αὖ μόνον· ἀλλὰ καὶ μετὰ τῶν ξυμβοηθησάντων σφίσιν·
ἡγεμόνες τε γιγνόμενοι μετὰ τῶν Κορινθίων καὶ Λακεδαι-
μονίων καὶ τὴν σφετέραν πόλιν ἐμπαρασχόντες, προκιν-
δυνεῦσαί τε· καὶ τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες· ἔ-
θνη γὰρ πλεῖστα δὴ ἐπὶ μίαν πόλιν ξυνῆλθε· πλήν γε δὴ
τοῦ ξύμπαντος λόγου τοῦ ἐν τῷδε τῷ πολέμῳ πρὸς τὴν Ἀ-
θηναίων τε πόλιν καὶ Λακεδαιμονίων· Τοσοίδε γὰρ ἑκά-
τεροι ἐπὶ Σικελίαν καὶ περὶ Σικελίαν· τοῖς μὲν ξυγκτησόμενοι
τὴν χώραν· τοῖς δὲ, ξυνδιασώσοντες· ἐπὶ Συρακούσας ἐ-
πολέμησαν· οὐ κατὰ δίκην τι μᾶλλον· οὐδὲ κατὰ ξυγγένειαν
μετ' ἀλλήλων στάντες· ἀλλ' ὡς ἑκάστοις τῆς ξυντυχίας, ἢ κατὰ
τὸ ξυμφέρον ἢ ἀνάγκη ἔσχεν· Ἀθηναῖοι μὲν αὐτοὶ, Ἴωνες
ἐπὶ Δωριέας Συρακοσίους ἑκόντες ἦλθον· καὶ αὐτοῖς τῇ
αὐτῇ φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι· Λήμνιοι καὶ Ἴμβριοι
καὶ Αἰγινῆται, οἳ τότε Αἴγιναν εἶχον· καὶ ἔτι Ἑστιαιῆς οἱ
ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες, ἄποικοι ὄντες ξυνεστράτευσαν·
τῶν δὲ ἄλλων, οἱ μὲν, ὑπήκοοι· οἱ δ' ἀπὸ ξυμμαχίας αὐτόνο-
μοι· εἰσὶ δὲ καὶ μισθοφόροι ξυνεστράτευον· καὶ τῶν μὲν
ὑπηκόων καὶ φόρου ὑποτελῶν, Ἐρετριῆς καὶ Χαλκιδῆς

καὶ στυρῆς καὶ καρύστιοι ἀπ᾽ εὐβοίας ἦσαν· ἀπὸ δὲ νήσων
κεῖοι καὶ ἄνδριοι καὶ τήνιοι· ἐκ δ᾽ ἰωνίας μιλήσιοι καὶ σά
μιοι καὶ χῖοι· καὶ τούτων χῖοι οὐχ ὑποτελεῖς ὄντες φόρου·
ναῦς δὲ παρέχοντες αὐτόνομοι ξυνέσποντο· καὶ τὸ πλεῖστον
ἴωνες ὄντες οὗτοι πάντες καὶ ἀπ᾽ ἀθηναίων, πλὴν καρυστίων,
οὗτοι δ᾽ εἰσὶ δρύοπες· ὑπήκοοι δ᾽ ὄντες καὶ ἀνάγκῃ ὅμως ἴ
ωνές γε ἐπὶ δωριέας ἠκολούθουν· πρὸς δ᾽ αὐτοῖς αἰ
ολῆς· μηθυμναῖοι μὲν ναυσὶ καὶ οὐ φόρῳ ὑπήκοοι· τενέ
διοι δὲ καὶ αἴνιοι ὑποτελεῖς· οὗτοι δὲ αἰολῆς αἰολεῦσι τοῖς
κτίσασι βοιωτοῖς μετὰ συρακοσίων κατ᾽ ἀνάγκην ἐμά
χοντο· πλαταιῆς δὲ καταντικρὺ βοιωτοῖς βοιωτοὶ μόνοι εἰ
κότως κατὰ τὸ ἔχθος· ῥόδιοι δὲ καὶ κυθήριοι δωριῆς ἀμφό
τεροι· οἱ μὲν λακεδαιμονίων ἄποικοι κυθήριοι ἐπὶ
λακεδαιμονίους τοὺς ἅμα γυλίππῳ μετὰ τῶν ἀθηναίων ὅ
πλα ἔφερον· ῥόδιοι δὲ ἀργεῖοι γένος, συρακοσίοις μὲν
δωριεῦσι· γελῴοις δὲ καὶ ἀποίκοις ἑαυτῶν οὖσι μετὰ συ
ρακοσίων στρατευομένοις, ἠναγκάζοντο πολεμεῖν· τῶν τε
περὶ πελοπόννησον νησιωτῶν, κεφαλλῆνες μὲν καὶ ζακύν
θιοι· αὐτόνομοι μέν· κατὰ δὲ τὸ νησιωτικὸν μᾶλλον κατειρ
γόμενοι ὅτι θαλάσσης ἐκράτουν οἱ ἀθηναῖοι ξυνείποντο· κερ
κυραῖοι δὲ οὐ μόνον δωριῆς, ἀλλὰ καὶ κορίνθιοι σαφῶς ἐπὶ
κορινθίους τε καὶ συρακοσίους· τῶν μὲν ἄποικοι ὄντες· τῶν
δὲ ξυγγενεῖς· ἀνάγκῃ μὲν ἐκ τοῦ εὐπρεποῦς· βουλήσει δὲ
κατὰ ἔχθος τῶν κορινθίων· οὐχ ἧσσον εἵποντο· καὶ οἱ μεσ
σήνιοι νῦν καλούμενοι ἐκ ναυπάκτου καὶ ἐκ πύλου, τότε
ὑπ᾽ ἀθηναίων ἐχομένης, ἐς τὸν πόλεμον παρελήφθησαν·
καὶ ἔτι μεγαρέων φυγάδες οὐ πολλοί, μεγαρεῦσι σελινουν
τίοις οὖσι κατὰ ξυμφορὰν ἐμάχοντο· τῶν δὲ ἄλλων ἑκού
σιος μᾶλλον ἡ στρατεία ἐγίγνετο ἤδη· ἀργεῖοι μὲν οὐ τῆς ξυμ

μᾶλλον ἀνάγκῃ ἢ τῆς λακεδαιμονίων τε ἔχθρας· καὶ τῆς παραυτίκα ἑκάστοις ὠφελίας· δωριῆς ἐπὶ δωριέας μετὰ ἀθηναίων ἰώνων ἠκολούθουν· μαντινῆς δὲ καὶ ἄλλοι ἀρκάδων μισθοφόροι ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους ἰέναι εἰωθότες· καὶ τότε τοὺς μετὰ κορινθίων ἐλθόντας ἀρκάδας, οὐδὲν ἧσσον διὰ κέρδος ἡγούμενοι πολεμίους· κρῆτες δὲ καὶ αἰτωλοὶ μισθῷ καὶ οὗτοι πεισθέντες· ξυνέβη δὲ τοῖς κρησὶ τὴν γέλαν ῥοδίοις ξυγκτίσαντας, μὴ ξὺν τοῖς ἀποίκοις· ἀλλ᾽ ἐπὶ τοὺς ἀποίκους ἄκοντας μισθοῦ ἐλθεῖν· καὶ ἀκαρνάνων τινὲς ἅμα μὲν κέρδει· τὸ δὲ πλέον δημοσθένους φιλίᾳ καὶ ἀθηναίων εὐνοίᾳ ξύμμαχοι ὄντες ἐπεκούρησαν· καὶ οἵδε μὲν τῷ ἰονίῳ κόλπῳ ὁριζόμενοι· ἰταλιωτῶν δὲ θούριοι καὶ μεταπόντιοι ἐν τοιαύταις ἀνάγκαις τότε στασιωτικῶν καιρῶν κατειλημμένων, ξυνεστράτευον· καὶ σικελιωτῶν νάξιοι καὶ καταναῖοι· βαρβάρων δὲ ἐγεσταῖοι· οἵπερ ἐπηγάγοντο καὶ σικελῶν τὸ πλέον· καὶ τῶν ἔξω σικελίας· τυρσηνῶν τέ τινες· κατὰ διαφορὰν συρακοσίων· καὶ ἰάπυγες μισθοφόροι· τοσάδε μὲν μετὰ ἀθηναίων ἔθνη ἐστράτευον· συρακοσίοις δὲ ἀντεβοήθησαν καμαριναῖοι ὅμοροι ὄντες· καὶ γελῷοι οἰκοῦντες μετ᾽ αὐτούς· ἔπειτα ἀκραγαντίνων ἡσυχαζόντων, ἐν τῷ ἐπέκεινα ἱδρυμένοι σελινούντιοι· καὶ οἵδε μὲν τῆς σικελίας τὸ πρὸς λιβύην μέρος τετραμμένον νεμόμενοι· ἱμεραῖοι δὲ ἀπὸ τοῦ πρὸς τὸν τυρσηνικὸν πόντον μορίου· ἐν ᾧ καὶ ἕλληνες μόνοι οἰκοῦσιν· οὗτοι δὲ καὶ ἐξ αὐτοῦ μόνοι ἐβοήθησαν· καὶ ἑλληνικὰ μὲν ἔθνη τῶν ἐν σικελίᾳ τοσάδε· δωριῆς τε καὶ οἱ αὐτόνομοι πάντες ξυνεμάχουν· βαρβάρων δὲ σικελοὶ μόνοι ὅσοι μὴ ἀφεστᾶσαν πρὸς τοὺς ἀθηναίους· τῶν δὲ ἔξω σικελίας ἑλλήνων, λακεδαιμόνιοι μὲν ἡγεμόνα σπαρτιάτην

περιεχόμενοι· νεοδαμώδεις δὲ τοὺς ἄλλους καὶ εἵλωτας· δύ
ναται δὲ τὸ νεοδαμῶδες, ἐλεύθερον ἤδη εἶναι· κορίνθιοι
δὲ καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι· καὶ λευκά
διοι καὶ ἀμπρακιῶται κατὰ τὸ ξυγγενές· ἐκ δὲ ἀρκαδίας
μισθοφόροι ὑπὸ κορινθίων ἀποσταλέντες· καὶ σικυώνιοι
ἀναγκαστοὶ στρατεύοντες· καὶ τῶν ἔξω πελοποννήσου βοιωτοί·
πρὸς δὲ τοὺς ἐπελθόντας τούτους οἱ σικελιῶται αὐτοὶ πλέον
πλῆθος κατὰ πάντα παρέσχοντο· ἅτε μεγάλας πόλεις οἰκοῦν
τες· καὶ γὰρ ὁπλῖται πολλοὶ καὶ νῆες καὶ ἵπποι καὶ ἄλλος
ὅμιλος ἄφθονος ξυνελέγη· καὶ πρὸς ἅπαντας αὖθις ὡς
εἰπεῖν τοὺς ἄλλους, συρακούσιοι αὐτοὶ πλείω ἐπορίσαντο διὰ
μέγεθος πόλεως· καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν· αἱ μὲν
γὰρ ἐπικουρίαι ἑκατέρων, τοσαίδε ξυνελέγησαν· καὶ τό
τε ἤδη πᾶσαι ἀμφοτέροις παρῆσαν· καὶ οὐκέτι οὐδὲν οὐδε
τέροις ἐπῆλθεν· οἱ δ' οὖν συρακούσιοι εἰκότως ἐνόμισαν
καλὸν ἀγώνισμα σφίσιν εἶναι ἐπὶ τῇ γεγενημένῃ νίκῃ τῆς ναυμα
χίας, ἑλεῖν τε τὸ στρατόπεδον ἅπαν τῶν ἀθηναίων, τοσοῦτον
ὄν· καὶ μηδὲ καθ' ἕτερα αὐτούς, μήτε διὰ θαλάσσης μήτε τῷ
πεζῷ διαφυγεῖν· ἔκληον οὖν εὐθὺς τόν τε λιμένα τὸν μέγαν
ἔχοντα στόμα ὀκτὼ σταδίων μάλιστα· τριήρεσι πλαγίαις· καὶ
πλοίοις καὶ ἀκάτοις ἐπ' ἀγκυρῶν ὁρμίζοντες· καὶ τἆλλα ἢν
ἔτι ναυμαχεῖν οἱ ἀθηναῖοι τολμήσωσι, παρεσκευάζοντο· καὶ
ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν· τοῖς δὲ ἀθηναίοις τήν τε
ἀπόκλεισιν ὁρῶσι, καὶ τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις,
βουλευτέα ἐδόκει· καὶ ξυνελθόντες οἱ στρατηγοὶ καὶ οἱ ταξί
αρχοι πρὸς τὴν παροῦσαν ἀπορίαν τῶν τε ἄλλων, καὶ ὅτι τὰ ἐπι
τήδεια οὔτε αὐτίκα ἔτι εἶχον· προπέμψαντες γὰρ ἐς κατά
νην ὡς ἐκπλευσούμενοι, ἀπεῖπον μὴ ἐπάγειν, οὔτε τὸ λοιπὸν
ἔμελλον ἕξειν εἰ μὴ ναυκρατήσουσιν, ἐβουλεύσαντο τὰ μὲν

τείχη τῶν ἄνω ἐκλιπεῖν· πρὸς δὲ αὐταῖς ταῖς ναυσὶν ἀπολα
βόντας διατειχίσματι ὅσον οἷόν τε ἐλάχιστον· τοῖς τε σκεύεσι
καὶ τοῖς ἀσθενοῦσιν ἱκανὸν γενέσθαι, τοῦτο μὲν φρουρεῖν·
ἀπὸ δὲ τοῦ ἄλλου πεζοῦ τὰς ναῦς πάσας ὅσαι ἦσαν καὶ δυ
ναταὶ καὶ ἀπλοώτεραι πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι·
καὶ διαναυμαχήσαντες ἢν μὲν νικῶσιν ἐς κατάνην κομίζε
σθαι· ἢν δὲ μή, ἐμπρήσαντες τὰς ναῦς, πεζῇ ξυνταξαμένους
ἀποχωρεῖν ᾗ ἂν τάχιστα μέλλωσι τινὸς χωρίου ἢ βαρβαρικοῦ
ἢ ἑλληνικοῦ φιλίου ἀντιλήψεσθαι· καὶ οἱ μὲν ὡς ἔδοξεν
αὐτοῖς ταῦτα καὶ ἐποίησαν· ἔκ τε γὰρ τῶν ἄνω τειχῶν ὑπο
κατέβησαν· καὶ τὰς ναῦς ἐπλήρωσαν πάσας, ἀναγκάσαν
τες ἐσβαίνειν ὅστις καὶ ὁπωσοῦν ἐδόκει ἡλικίας μετέχων
ἐπιτήδειος εἶναι· καὶ ξυνεπληρώθησαν νῆες αἱ πᾶσαι, δέκα μά
λιστα καὶ ἑκατόν· τοξόται τε ἐπ᾽ αὐταῖς πολλοὺς καὶ ἀκοντι
στὰς τῶν τε ἀκαρνάνων καὶ τῶν ἄλλων ξένων ἐσεβίβαζον· καὶ
τἆλλα ὡς οἷόν τ᾽ ἦν ἐξ ἀναγκαίου καὶ τοιαύτης διανοίας ἐπορί
σαντο· ὁ δὲ νικίας ἐπειδὴ τὰ πολλὰ ἑτοῖμα ἦν, ὁρῶν καὶ
τοὺς στρατιώτας τότε παρὰ τὸ εἰωθὸς πολὺ ταῖς ναυσὶ κρατη
θῆναι ἀθυμοῦντας, καὶ διὰ τὴν τῶν ἐπιτηδείων σπάνιν ὡς τά
χιστα βουλομένους διακινδυνεύειν, ξυγκαλέσας ἅπαντας πα
ρεκελεύσατό τε πρῶτον· καὶ ἔλεξε τοιάδε· Δημηγορία νικί(ου)
α Ἄνδρες στρατιῶται ἀθηναίων τε καὶ τῶν ἄλλων ξυμμάχων· ὁ μὲν
ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς ἅπασιν ἔσται περί τε σωτηρί(ας)
καὶ πατρίδος ἑκάστοις οὐχ ἧσσον ἢ τοῖς πολεμίοις· ἢν γὰρ κρα
τήσωμεν αὐταῖς ναυσίν, ἔστι τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πό
λιν ἐπιδεῖν· ἀθυμεῖν δὲ οὐ χρὴ οὐδὲ πάσχειν ὅπερ οἱ ἀπει
ρότεροι τῶν ἀνθρώπων· οἳ τοῖς πρώτοις ἀγῶσι σφαλέντες, ἔπειτα
διὰ παντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς
ἔχουσιν· ἀλλ᾽ ὅσοι τε ἀθηναίων πάρεστε, πολλῶν ἤδη πολέμων

ἔμπειροι ὄντες. καὶ ὅσοι τῶν ξυμμάχων ξυστρατευόμενοι αἰεί, μνή
σθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων. καὶ τὸ τῆς τύχης κἂν μεθ᾽ ἡμῶν ἐλ
πίσαντες στῆναι. καὶ ὡς ἀναμαχούμενοι ἀξίως τοῦδε τοῦ πλήθους.
ὅσον αὐτοὶ ὑμῶν αὐτῶν ἐφορᾶτε, παρασκευάζεσθε. ἃ δὲ ἀρωγὰ
ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενότητι πρὸς τὸν μέλλοντα ὄχλον
τῶν νεῶν ἔσεσθαι, καὶ πρὸς τὴν ἐκείνων ἐπὶ τῶν καταστρωμάτων
παρασκευήν, οἷς πρότερον ἐβλαπτόμεθα, πάντα καὶ ἡμῖν νῦν
ἐκ τῶν παρόντων μετὰ τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται.
καὶ γὰρ τοξόται πολλοὶ καὶ ἀκοντισταὶ ἐπιβήσονται. καὶ ὄχλος.
ᾧ ναυμαχίαν μὲν ποιούμενοι ἐν πελάγει οὐκ ἂν ἐχρώμεθα διὰ
τὸ βλάπτειν ἂν τὸ τῆς ἐπιστήμης τῇ βαρύτητι τῶν νεῶν. ἐν δὲ τῇ ἐν
θάδε ἠναγκασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται.
ηὕρηται δ᾽ ἡμῖν ὅσα χρὴ ἀντιναυπηγῆσαι. καὶ πρὸς τὰς τῶν ἐπω 15
τίδων αὐτοῖς παχύτητας. ᾧπερ μάλιστα ἐβλαπτόμεθα. χειρῶν
σιδηρῶν ἐπιβολαί, αἳ σχήσουσι τὴν πάλιν ἀνάκρουσιν τῆς προς
πεσούσης νεώς. ἢν τὰ ἐπὶ τούτοις οἱ ἐπιβάται ὑπουργῶσιν. ἐς
τοῦτο γὰρ δὴ ἠναγκάσμεθα, ὥστε πεζομαχεῖν ἀπὸ τῶν νεῶν. καὶ
τὸ μήτε αὐτοὺς ἀνακρούεσθαι, μήτ᾽ ἐκείνους ἐᾶν, ὠφέλιμον
φαίνεται. ἄλλως τε καὶ τῆς γῆς πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν ἐ
πέχῃ πολεμίας οὔσης. ὧν χρὴ μεμνημένους διαμάχεσθαι ὅσον
ἂν δύνησθε. καὶ μὴ ἐξωθεῖσθαι ἐς αὐτήν. ἀλλὰ ξυμπεσούσης
νηὶ νεώς, μὴ πρότερον ἀξιοῦν ἀπολύεσθαι ἢ τοὺς ἀπὸ τοῦ πο
λεμίου καταστρώματος ὁπλίτας ἀπαράξητε. καὶ ταῦτα τοῖς
ὁπλίταις οὐχ ἧσσον τῶν ναυτῶν παρακελεύομαι. ὅσῳ τῶν ἄ
νωθεν μᾶλλον τὸ ἔργον τοῦτο. ὑπάρχει δ᾽ ἡμῖν ἔτι νῦν γε τὰ πλείω
τῷ πεζῷ ἐπικρατεῖν. τοῖς δὲ ναύταις παραινῶ καὶ ἐν τῷ αὐτῷ
τῷδε. καὶ δέομαι μὴ ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς ἄ
γαν, τήν τε παρασκευὴν ἀπὸ τῶν καταστρωμάτων βελτίω νῦν
ἔχοντας καὶ τὰς ναῦς πλείους. ἐκείνην τε τὴν ἡδονὴν ἐνθυ

μεῖσθαι. ὡς ἀξία ἐστὶ διασώσασθαι· οἵ τε ὡς ἀθηναῖοι νομιζόμενοι
καὶ μὴ ὄντες ἡμῶν τῆς τε φωνῆς τῇ ἐπιστήμῃ καὶ τῶν τρόπων τῇ μιμή-
σει. ἐθαυμάζεσθε κατὰ τὴν ἑλλάδα· καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας
οὐκ ἔλαττον κατὰ τὸ ὠφελεῖσθαι· ἔς τε τὸ φοβερὸν τοῖς ὑπηκόοις
καὶ τὸ ἀδικεῖσθαι πολὺ πλέον μετείχετε· ὥστε κοινωνοὶ μόνοι ἐ-
λευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες. δικαίως ἂν αὐτὴν νῦν μὴ
καταπροδίδοτε· καταφρονήσαντες δὲ κορινθίους τε, οὓς πολ-
λάκις νενικήκατε· καὶ σικελιώτας ὧν οὐδ᾽ ἀντιστῆναι
ἕως ἤκμαζε τὸ ναυτικὸν ἡμῖν. ἠξίωσεν ἀμύνασθε αὐτούς· καὶ δεί-
ξατε ὅτι καὶ μετὰ ἀσθενείας καὶ ξυμφορῶν ἡ ἡμετέρα ἐπιστήμη
κρείσσων ἐστὶν εὐτυχούσης ἑτέρας ῥώμης. τούς τε ἀθηναίους ὑμῶν
πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω ὅτι οὔτε ναῦς ἐν τοῖς νεωσοί-
κοις ἄλλας ὁμοίας ταῖσδε· οὔτε ὁπλιτῶν ἡλικίαν ὑπελίπετε.
εἴ τε ξυμβήσεταί τι ἄλλο ἢ τὸ κρατεῖν ὑμῖν. τούς τε ἐνθάδε πολε-
μίους εὐθὺς ἐπ᾽ ἐκεῖνα πλευσομένους· καὶ τοὺς ἐκεῖ ὑπολοίπους
ἡμῶν ἀδυνάτους ἐσομένους. τούς τε αὐτοῦ καὶ τοὺς ἐπελθόντας
ἀμύνασθαι· καὶ οἱ μὲν ἂν ὑπὸ συρακοσίοις εὐθὺς γίγνοισθε
οἷς αὐτοὶ ἴστε οἵᾳ γνώμῃ ἐπήλθετε· οἱ δὲ ἐκεῖ ὑπὸ λακεδαιμονί-
οις· ὥστε ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμφοτέρων ἀγῶνι καθεστῶτες, καρ-
τερήσατε εἴπερ ποτέ· καὶ ἐνθυμεῖσθε καθ᾽ ἑκάστους τε καὶ ξύμ-
παντες· ὅτι οἱ ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι, καὶ πεζοὶ τοῖς
ἀθηναίοις εἰσὶ καὶ νῆες· καὶ ἡ ὑπόλοιπος πόλις· καὶ τὸ μέγα
ὄνομα τῶν ἀθηνῶν· περὶ ὧν εἴ τις τι ἕτερος ἑτέρου προφέρει
ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ ἀποδει-
ξάμενος· αὐτός τε αὑτῷ ὠφέλιμος γένοιτο καὶ τοῖς ξύμπασι
σωτήριος: ὁ μὲν νικίας τοσαῦτα παρακελευσάμενος. εὐθὺς
ἐκέλευε πληροῦν τὰς ναῦς. τῷ δὲ γυλίππῳ καὶ τοῖς συρα-
κοσίοις παρῆν μὲν αἰσθάνεσθαι ὁρῶσι καὶ αὐτὴν τὴν παρα-
σκευήν. ὅτι ναυμαχήσουσιν οἱ ἀθηναῖοι· προηγγέλθη δ᾽ αὐτοῖς

καὶ ἡ ἐπιβολὴ τῶν σιδηρῶν χειρῶν· καὶ προσέτι τὰ ἄλλα ἐξηρ-
τύσαντο ὡς ἕκαστα καὶ πρὸς τοῦτο· τάς γὰρ πρώρας καὶ τῆς
νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθά-
νοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη· καὶ ἐπει-
δὴ πάντα ἑτοῖμα ἦν· παρεκελεύσαντο ἐκείνοις οἵ τε
στρατηγοὶ καὶ γύλιππος καὶ ἔλεξαν τοιάδε· οἱ στρατηγοὶ καὶ γύλιππος

Ὅτι μὲν καλὰ τὰ προειργασμένα, καὶ ὑπὲρ καλῶν τῶν μελ-
λόντων ὁ ἀγὼν ἔσται ὦ συρακόσιοι καὶ ξύμμαχοι, οἵ τε
πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι· οὐδὲ γὰρ ἂν οὕτως αὐτῶν προ-
θύμως ἀντελάβεσθε· καὶ εἴ τις μὴ ἐπὶ ὅσον δεῖ ᾔσθηται,
σημανοῦμεν· ἀθηναίους γὰρ ἐς τὴν χώραν τήνδε ἐλθόντας
πρῶτον μὲν ἐπὶ τῆς σικελίας καταδουλώσει, ἔπειτ᾽ εἰ κατορ-
θώσειαν, καὶ τῆς πελοποννήσου καὶ τῆς ἄλλης ἑλλάδος· καὶ
ἀρχὴν τὴν ἤδη μεγίστην, τῶν τε πρὶν ἑλλήνων καὶ τῶν νῦν κε-
κτημένους πρῶτοι ἀνθρώπων ὑποστάντες, τῷ ναυτικῷ ᾧπερ πάντα
κατέσχον, τὰς μὲν νενικήκατε ναυμαχίας· τὴν δ᾽ ἐκ τοῦ
εἰκότος νῦν νικήσετε· ἄνδρες γὰρ ἐπειδὰν ᾧ ἀξιοῦσι πρού-
χειν κολουθῶσι, τό γ᾽ ὑπόλοιπον αὐτῶν τῆς δόξης· ἀσθενέ-
στερον αὐτὸ ἑαυτοῦ ἐστὶν, ἢ εἰ μηδ᾽ ᾠήθησαν τὸ πρῶτον· καὶ
τῷ παρ᾽ ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι· καὶ παρὰ
ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν· ὃ νῦν ἀθηναίους εἰκὸς
πεπονθέναι, ἡμῶν δὲ τό τε ὑπάρχον πρότερον· ᾧπερ καὶ
ἀνεπιστήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον
νῦν, καὶ τῆς δοκήσεως προσγεγενημένης αὐτῷ, τὸ κρα-
τίστους εἶναι, εἰ τοὺς κρατίστους ἐνικήσαμεν· διπλασία ἑκάστου
ἡ ἐλπίς· μεγίστη καὶ τὴν προθυμίαν παρέχεται· τά τε
τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν, τῷ μὲν
ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι καὶ οὐκ ἀνάρμοστοι πρὸς
ἕκαστον αὐτῶν ἐσόμεθα· οἱ δ᾽ ἐπειδὰν πολλοὶ μὲν ὁπλῖται

ἐπὶ τῶν καταστρωμάτων παρὰ τὸ καθεστηκὸς ὦσι· πολλοὶ δὲ
καὶ ἀκοντισταὶ χερσαῖοι ὡς εἰπεῖν· ἀκαρνᾶνές τε καὶ ἄλλοι
ἐπὶ ναῦς ἀναβάντες οἳ οὐδ' ὅπως καθεζομένους χρὴ τὸ
βέλος ἀφεῖναι εὑρήσουσι· πῶς οὐ σφαλοῦσί τε τὰς ναῦς
καὶ ἐν σφίσιν αὐτοῖς πάντες οὐ κατὰ τὸν αὑτῶν τρόπον κινού
μενοι ταράξονται· ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν οὐκ ὠφε
λήσονται· εἴ τις καὶ τόδε ὑμῶν ὅτι οὐκ ἴσαις ναυμαχήσει πε
φόβηται· ἐν ὀλίγῳ γὰρ πολλαὶ ἀργότεραι μὲν ἐς τὸ δρᾶν τι ὧν
βούλονται ἔσονται· ῥᾷσται δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν
παρεσκεύασται· τὸ δ' ἀληθέστατον γνῶτε· ἐξ ὧν ἡμεῖς οἰόμεθα
σαφῶς πεπύσθαι· ὑπερβαλλόντων γὰρ αὐτοῖς τῶν κακῶν καὶ
βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας ἐς ἀπόνοιαν καθεστή
κασιν· οὐ παρασκευῆς πίστει μᾶλλον ἢ τύχης ἀποκινδυνεῦσαι οὕτως
ὅπως δύνανται· ἵν' ἢ βιασάμενοι ἐκπλεύσωσιν ἢ κατὰ γῆν μετὰ
τοῦτο τὴν ἀποχώρησιν ποιῶνται· ὡς τῶν γε παρόντων οὐκ ἂν
πράξοντες χεῖρον· πρὸς οὖν ἀταξίαν τε τοιαύτην καὶ τύ
χην ἀνδρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων
ὀργῇ προσμίξωμεν· καὶ νομίσωμεν ἅμα μὲν νομιμώ
τατον εἶναι πρὸς τοὺς ἐναντίους· οἳ ἂν ἁπλῶς ἐπὶ τιμωρίᾳ
τοῦ προσπεσόντος δικαιώσωσιν ἀποπλῆσαι τῆς γνώμης
τὸ θυμούμενον· ἅμα δὲ ἐχθροὺς ἀμύνασθαι ἐγγενησό
μενον ἡμῖν, καὶ τὸ λεγόμενόν που ἥδιστον εἶναι· ὡς δὲ ἐχθροὶ
καὶ ἔχθιστοι πάντες ἴστε· οἵ γε ἐπὶ τὴν ἡμετέραν ἦλθον δου
λωσόμενοι· ἐν ᾧ εἰ κατώρθωσαν ἀνδράσι μὲν ἂν τὰ ἄλγιστα
προσέθεσαν· παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρεπέστατα· πό
λει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν· ἀνθ' ὧν μὴ μα
λακισθῆναι τινὰ πρέπει· μήτε τὸ ἀκινδύνως ἀπελθεῖν αὐ
τούς, κέρδος νομίσαι· τοῦτο μὲν γὰρ καὶ ἢν κρατήσωσιν
ὁμοίως δράσουσι· τό, τε δὲ πραξάντων ἐκ τοῦ εἰκότος

ἃ βουλόμεθα. τοῖς δὲ τῇ πόλει ἀθηναίοις καὶ αὐτῇ πάσῃ σικελίᾳ
ἣ καρπουμένη καὶ πρίν, ἐλευθερίαν βεβαιοτέραν παρα-
δοῦναι, καλὸς ὁ ἀγών. καὶ κινδύνων οὗτοι σπανιώτατοι
οἳ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες, πλεῖστα διὰ
τὸ εὐτυχῆσαι ὠφελοῖεν. καὶ οἱ μὲν τῶν συρακοσίων στρα-
τηγοὶ καὶ γύλιππος, τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις
στρατιώταις παρακελευσάμενοι ἀντεπλήρουν ναῦς
εὐθύς, ἐπειδὴ καὶ τοὺς ἀθηναίους ᾔσθοντο. ὁ δὲ νικίας
ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος καὶ ὁρῶν οἷος ὁ κίνδυ-
νος, καὶ ὡς ἐγγὺς ἤδη ἦν, ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνά-
γεσθαι, καὶ νομίσας ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶ-
σι, πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι, καὶ λόγῳ αὐ-
τοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕ-
καστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων καὶ αὐτοὺς ὀνο-
μαστὶ καὶ φυλήν. ἀξιῶν τό τε καθ᾽ ἑαυτὸν ᾧ ὑπῆρχε λαμπρότητος
τι, μὴ προδιδόναι τινὰ καὶ τὰς πατρικὰς ἀρετάς,
ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν. πατρίδος
τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων, καὶ τῆς ἐν αὐτῇ ἀνε-
πιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας. ἄλλα τε λέγων ὅσα
ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες, ἄνθρωποι πρὸς τὸ δοκεῖν
τινὶ ἀρχαιολογεῖν φυλαξάμενοι εἴποιεν ἄν. καὶ ὑπὲρ ἁπάν-
παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πα-
τρῴους προφερόμενα. ἀλλ᾽ ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέ-
λιμα νομίζοντες ἐπιβοῶνται. καὶ ὁ μέν, οὐχ ἱκανὰ μᾶλλον,
ἢ ἀναγκαῖα νομίσας παρῃνῆσθαι ἀποχωρήσας, ἦγε τὸν
πεζὸν πρὸς τὴν θάλασσαν καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον
ἐδύνατο. ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφέλεια ἐς
τὸ θαρσεῖν γίγνοιτο. ὁ δὲ δημοσθένης καὶ μένανδρος
καὶ εὐθύδημος, οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν ἀθηναίων στρατηγοί

ἐπεβίβαζον. ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου οἱ ἀθηναῖοι ἔπλεον
πρὸς τὸ ζεῦγμα τοῦ λιμένος· καὶ τὸν παραλειφθέντα διέκ-
πλουν βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω· προεξαγαγόμενοι δ'
οἱ συρακούσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀ-
ριθμὸν καὶ πρότερον κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύ-
λασσον· καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα· ὅπως πανταχό-
θεν ἅμα προσπίπτοιεν τοῖς ἀθηναίοις· καὶ ὁ πεζὸς αὐτοῖς
ἅμα παρεβοήθει· ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν· ἦρχον δὲ
τοῦ ναυτικοῦ τοῖς συρακουσίοις· σικανὸς μὲν καὶ ἀγάθαρχος
κέρας ἑκάτερος τοῦ παντὸς ἔχων· πυθὴν δὲ καὶ οἱ κορίνθιοι
τὸ μέσον· ἐπειδὴ δὲ οἱ ἄλλοι ἀθηναῖοι προσέμισγον τῷ
ζεύγματι· τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν
τεταγμένων νεῶν πρὸς αὐτῷ καὶ ἐπειρῶντο λύειν τὰς κλήσεις·
μετὰ δὲ τοῦτο πανταχόθεν σφίσι τῶν συρακουσίων καὶ ξυμ-
μάχων ἐπιφερομένων· οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυ-
μαχία ἀλλὰ κατὰ τὸν λιμένα ἐγίγνετο· καὶ ἦν καρτερὰ καὶ
οἵα οὐχ ἑτέρα τῶν προτέρων· πολλὴ μὲν γὰρ ἑκατέροις προ-
θυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν· ὁπότε κελευσθείη· ἐγί-
νετο· πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισ-
μὸς πρὸς ἀλλήλους· οἵ τε ἐπιβάται ἐθεράπευον ὁπότε προσ-
πέσοι ναῦς νηί· μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος
τῆς ἄλλης τέχνης· πᾶς τέ τις ἐν ᾧ προσετέτακτο· αὐτὸς ἕκα-
στος ἠπείγετο πρῶτος φαίνεσθαι· ξυμπεσουσῶν δὲ ἐν ὀλί-
γῳ πολλῶν νεῶν· πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμά-
χησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γε-
νέσθαι· αἱ μὲν ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις
καὶ διέκπλους, ὀλίγαι ἐγίγνοντο· αἱ δὲ προσβολαί, ὡς
τύχοι ναῦς νηὶ ξυμπεσοῦσα ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπι-
πλέουσα, πυκνότεραι ἦσαν· καὶ ὅσον μὲν χρόνον προσφέροιτο

ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι
καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμί-
ξειαν οἱ ἐπιβάται ἐς χεῖρας ἰόντες, ἐπειρῶντο ταῖς ἀλλήλων
ναυσὶν ἐπιβαίνειν. ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχω-
ρίαν. τὰ μὲν ἄλλοις ἐμβεβληκέναι· τὰ δὲ αὐτοὺς ἐμβε-
βλῆσθαι· δύο δὲ περὶ μίαν· καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς,
κατ' ἀνάγκην ξυνηρτῆσθαι καὶ τοῖς κυβερνήταις· τῶν μὲν
φυλακήν· τῶν δ' ἐπιβουλήν· καὶ μὴ καθ' ἓν ἕκαστον· κατὰ
πολλὰ δὲ πανταχόθεν περιεστάναι· καὶ τὸν κτύπον μέγαν ἀπὸ
πολλῶν νεῶν ξυμπιπτουσῶν, ἔκπληξίν τε ἅμα καὶ ἀποστέ-
ρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν· πολ-
λὴ γὰρ δὴ ἡ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευ-
σταῖς κατὰ τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονικίαν ἐ-
γίγνετο. τοῖς μὲν ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπι-
βοῶντες· καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν εἴ ποτε καὶ
αὖθις προθύμως ἀντιλαβέσθαι. τοῖς δὲ συρακοσίοις καὶ
ξυμμάχοις, καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν· καὶ
τὴν οἰκείαν ἑκάστου πατρίδα νικήσαντας, ἐπαυξῆσαι· καὶ
οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ'
ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ
τὸν τριήραρχον ἠρώτων· οἱ μὲν ἀθηναῖοι εἰ τὴν πολεμιω-
τάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου κεκτημένης θαλά-
σσης ἡγούμενοι ἀποχωροῦσιν· οἱ δὲ συρακούσιοι, εἰ οὓς
σαφῶς ἴσασι προθυμουμένους ἀθηναίους παντὶ τρόπῳ
διαφυγεῖν. τούτους αὐτοὶ φεύγοντας φεύγουσιν. ὅ τε ἐκ
τῆς γῆς πεζὸς ἀμφοτέρων ἰσορρόπου τῆς ναυμαχίας καθε-
στηκυίας. πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε.
φιλονικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλέονος ἤδη καλοῦ·
δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι χεῖρω

πράξωσι· πάντων γὰρ δὴ ἀνακειμένων τοῖς ἀθηναίοις ἐς
τὰς ναῦς, ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος· οὐδενὶ ἐοικὼς
καὶ διὰ τὸ ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς
γῆς ἠναγκάζοντο ἔχειν· δι᾽ ὀλίγου γὰρ οὔσης τῆς θέας, καὶ
οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πη
τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἂν καὶ πρὸς
ἀνάκλησιν θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας ἐτρέποντο·
οἱ δ᾽ ἐπὶ τὸ ἡσσώμενον βλέψαντες, ὀλοφυρμῷ τε ἅμα μετὰ
βοῆς ἐχρῶντο καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν γνώ
μην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο· ἄλλοι δὲ καὶ πρὸς ἀντί
παλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυ
νεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περι
δεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ
παρ᾽ ὀλίγον ἢ διέφευγον, ἢ ἀπώλλυντο· ἦν τε ἐν τῷ αὐτῷ
στρατεύματι τῶν ἀθηναίων· ἕως ἀγχώμαλα ἐναυμάχουν,
πάντα ὁμοῦ ἀκοῦσαι· ὀλοφυρμὸς, βοή· νικῶντες· κρατού
μενοι· ἄλλα ὅσ᾽ ἂν ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον
πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι· παραπλήσια δὲ καὶ οἱ
ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον· πρίν γε δὴ οἱ συρακούσιοι καὶ
οἱ ξύμμαχοι ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρε
ψάν τε τοὺς ἀθηναίους, καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ
κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν·
τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι
ἑάλωσαν, κατενεχθέντες, ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ
δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ᾽ ἀπὸ μιᾶς ὁρμῆς, οἰμωγῇ
τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν
ἐπὶ τὰς ναῦς παρεβοήθουν· οἱ δὲ, πρὸς τὸ λοιπὸν τοῦ τείχους
ἐς φυλακήν· ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς
καὶ ὅπῃ σωθήσονται διεσκόπουν· ἦν τε ἐν τῷ παραυτίκα

οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἡ ἔκπληξις. παρα-
πλήσιά τε πεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν πύλῳ· δια-
φθαρεισῶν γὰρ τῶν νεῶν τοῖς λακεδαιμονίοις, προσα-
πώλλυντο αὐτοῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες·
καὶ τότε τοῖς ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσε-
σθαι, ἢν μή τι παράλογον γίγνηται. γενομένης δ' ἰσχυ-
ρᾶς τῆς ναυμαχίας· καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ
ἀνθρώπων ἀπολομένων, οἱ συρακούσιοι καὶ οἱ ξύμμαχοι ἐπι-
κρατήσαντες, τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο·
καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν, τροπαῖον ἔστησαν.
οἱ δὲ ἀθηναῖοι ὑπὸ μεγέθους τῶν παρόντων κακῶν, νεκρῶν
μὲν πέρι ἢ ναυαγίων, οὐδὲ ἐνόουν αἰτῆσαι ἀναίρεσιν· τῆς
δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν· δημοσθένης
δὲ νικίᾳ προσελθών, γνώμην ἐποιεῖτο, πληρώσαντας
ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι ἢν δύνωνται, ἅμα ἕῳ
τὸν ἔκπλουν· λέγων ὅτι πλείους ἔτι αἱ λοιπαὶ εἰσὶ νῆες
χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις· ἦσαν γὰρ τοῖς μὲν ἀθη-
ναίοις περίλοιποι, ὡς ἑξήκοντα· τοῖς δὲ ἐναντίοις ἐλάσ-
σους ἢ πεντήκοντα· καὶ ξυγχωροῦντος νικίου τῇ γνώμῃ· καὶ
βουλομένων πληροῦν αὐτῶν, οἱ ναῦται οὐκ ἤθελον ἐσ-
βαίνειν· διὰ τὸ καταπεπλῆχθαί τε τῇ ἥσσῃ καὶ μὴ ἂν ἔτι
οἴεσθαι κρατῆσαι· καὶ οἱ μὲν, ὡς κατὰ γῆν ἀναχωρήσον-
τες, ἤδη ξύμπαντες τὴν γνώμην εἶχον· ἑρμοκράτης δὲ
ὁ συρακούσιος ὑπονοήσας αὐτῶν τὴν διάνοιαν· καὶ νο-
μίσας δεινὸν εἶναι εἰ τοσαύτη στρατιὰ κατὰ γῆν ὑποχωρήσασα
καὶ καθεζομένη ποι τῆς σικελίας, βουλήσεται αὖθις σφί-
σι τὸν πόλεμον ποιεῖσθαι, ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν,
ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιιδεῖν·
λέγων ταῦτα ἃ καὶ αὐτῷ ἐδόκει· ἀλλὰ ἐξελθόντας ἤδη

πάντας συρακοσίους καὶ τοὺς ξυμμάχους, τάς τε ὁδοὺς ἀποικοδομῆσαι· καὶ τὰ στενόπορα τῶν χωρίων· προφθάσαντας φυλάσσειν· οἱ δὲ, ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου· καὶ ἐδόκει ποιητέα εἶναι· τοὺς δὲ ἀνθρώπους ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους· καὶ ἅμα ἑορτῆς οὔσης· ἔτυχε γὰρ αὐτοῖς ἡρακλεῖ ταύτην τὴν ἡμέραν θυσία οὖσα. οὐ δοκεῖν ἂν ῥαδίως ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ· καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν, σφῶν πείθεσθαι αὐτούς· ἢ ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν· ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα· καὶ οὐκέτι ἔπειθεν αὐτοὺς ὁ ἑρμοκράτης. αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται· δεδιὼς μὴ οἱ ἀθηναῖοι καθ᾽ ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες. τὰ χαλεπώτατα τῶν χωρίων· πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων πρὸς τὸ τῶν ἀθηναίων στρατόπεδον, ἡνίκα ξυνεσκόταζεν· οἱ προσελάσαντες ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι καὶ ἀνακαλεσάμενοί τινας ὡς ὄντες τῶν ἀθηναίων ἐπιτήδειοι· ἦσαν γάρ τινες τῷ νικίᾳ διάγγελοι τῶν ἔνδοθεν· ἐκέλευον φράζειν νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα, ὡς συρακοσίων τὰς ὁδοὺς φυλασσόντων· ἀλλὰ καθ᾽ ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενοι ἀποχωρεῖν· καὶ οἱ μὲν εἰπόντες ἀπῆλθον· καὶ οἱ ἀκούσαντες διήγγελλον τοῖς στρατηγοῖς τῶν ἀθηναίων· οἱ δὲ, πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα. νομίσαντες οὐκ ἀπάτην εἶναι· καὶ ἐπειδὴ καὶ ὣς οὐκ εὐθὺς ὥρμησαν· ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι· ὅπως ξυσκευάσαιντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται ὅτι χρησιμώτατα

καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν· ἀναλαβόντες δὲ αὐτὰ
ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια. ἀφορ-
μᾶσθαι· συρακόσιοι δὲ καὶ γύλιππος τῷ μὲν πεζῷ προ-
εξελθόντες, τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν ᾗ εἰκὸς
ἦν τοὺς ἀθηναίους ἰέναι ἀπεφράγνυσαν· καὶ τῶν ῥείθρων
καὶ τῶν ποταμῶν τὰς διαβάσεις ἐφύλασσον· καὶ ἐς
ὑποδοχὴν τοῦ στρατεύματος ὡς κωλύσοντες, ᾗ ἐδόκει
ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προσπλεύσαντες τὰς ναῦς
τῶν ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον· ἐνέπρησαν
δέ τινας ὀλίγας ὥσπερ διενοήθησαν αὐτοὶ οἱ ἀθηναῖοι·
τὰς δ' ἄλλας καθ' ἡσυχίαν οὐδενὸς κωλύοντος, ὡς ἑκά-
στην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι, ἐκόμιζον ἐς
τὴν πόλιν· μετὰ δὲ τοῦτο ἐπειδὴ ἐδόκει τῷ νικίᾳ καὶ
τῷ δημοσθένει ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνά-
στασις ἤδη τοῦ στρατεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυ-
μαχίας ἐγίγνετο· δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν
πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπε-
χώρουν· καὶ ἀντὶ μεγάλης ἐλπίδος, καὶ αὐτοὶ καὶ
ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ
στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ
τῇ γνώμῃ αἰσθέσθαι· τῶν τε γὰρ νεκρῶν ἀτάφων
ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον,
ἐς λύπην μετὰ φόβου καθίστατο· καὶ οἱ ζῶντες κατα-
λειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τε-
θνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν· καὶ τῶν ἀπολω-
λότων ἀθλιώτεροι· πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλο-
φυρμὸν τραπόμενοι, ἐς ἀπορίαν καθίστασαν· ἄγειν
τε σφᾶς ἀξιοῦντες καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι,
εἴ τινά που ἴδοιεν ἢ ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκηνῶν

ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι καὶ ἐπακολουθοῦντες
ὅσον δύναιντο. εἴ τῳ δὲ προλίποι ἡ ῥώμη καὶ τὸ σῶμα,
οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι.
ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθέν, καὶ ἀπορίᾳ
τοιαύτῃ μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας
τε καὶ μείζω ἢ κατὰ δάκρυα. τὰ μὲν πεπονθότας ἤδη.
τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ πάθωσι. κατήφειά
τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. οὐ-
δὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ, ἐῴκεσαν ὑποφευ-
γούσῃ καὶ ταύτῃ οὐ σμικρᾷ. μυριάδες γὰρ τοῦ ξυμ-
παντὸς ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο
καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅτι τις ἐδύνατο κατὰ
τὸ χρήσιμον. καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππῆς παρὰ τὸ εἰωθός,
αὐτοὶ τὰ σφέτερα αὐτῶν σιτία ὑπὸ τοῖς ὅπλοις. οἱ μὲν
ἀπορίᾳ ἀκολούθων. οἱ δὲ ἀπιστίᾳ. ἀπηυτομολήκεσαν
γὰρ πάλαι τε καὶ οἱ πλεῖστοι παραχρῆμα. ἔφερον δὲ οὐ-
δὲ ταῦτα ἱκανά. σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ
καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἰσομοιρία τῶν κακῶν, ἔχουσά
τινα ὅμως τὸ μετὰ πολλῶν κουφίσιν, οὐδ᾽ ὣς ῥᾳδία ἐν
τῷ παρόντι ἐδοξάζετο. ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρό-
τητος καὶ αὐχήματος τοῦ πρώτου, ἐς οἵαν τελευτὴν
ταπεινότητα ἀφῖκτο. μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦ-
το τῷ ἑλληνικῷ στρατεύματι ἐγένετο. οἷς ἀντὶ μὲν τοῦ ἄλλους
δουλωσομένους ἥκειν αὐτούς, τοῦτο μᾶλλον δεδιότας
μὴ πάθωσι ξυνέβη ἀπιέναι. ἀντὶ δ᾽ εὐχῆς τε καὶ παιά-
νων μεθ᾽ ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφη-
μίσμασιν ἀφορμᾶσθαι. πεζούς τε ἀντὶ ναυβατῶν πο-
ρευομένους. καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ.
ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου.

πάντα ταῦτα αὐτοῖς οἷα ἐφαίνετο· ὁρῶν δὲ ὁ νικίας
τὸ στράτευμα ἀθυμοῦν, καὶ ἐν μεγάλῃ μεταβολῇ ὂν
ἐπιπαριὼν ὡς ἐκ τῶν ὑπαρχόντων, ἐθάρσυνέ τε καὶ πα-
ρεμυθεῖτο· βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις καθ' οὓς
γίγνοιτο ὑπὸ προθυμίας καὶ βουλόμενος, ὡς ἐπὶ πλεῖστον
γεγωνίσκων ὠφελεῖν· —

τί καὶ ἐκ τῶν παρόντων ὦ ἀθηναῖοι καὶ ξύμμαχοι ἐλπίδα
χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν·
μὴ δὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτούς· μήτε ταῖς
ξυμφοραῖς· μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις
κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων· ἀλλ' ὁρᾶτε
δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου· οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστε-
ρός του εἶναι κατά τε τὸν ἴδιον βίον· καὶ ἐς τὰ ἄλλα· νῦν ἐν
τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι
πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιῄτημαι· πολλὰ δὲ ἐς ἀν-
θρώπους δίκαια καὶ ἀνεπίφθονα· ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅ-
μως θρασεῖα τοῦ μέλλοντος· αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν
δὴ φοβοῦσι· τάχα δ' ἂν καὶ λωφήσειαν· ἱκανὰ γὰρ τοῖς
τε πολεμίοις εὐτύχηται· καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρα-
τεύσαμεν· ἀποχρώντως ἤδη τετιμωρήμεθα· ἦλθον γάρ που
καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους καὶ ἀνθρώπεια δρά-
σαντες· ἀνεκτὰ ἔπαθον· καὶ ἡμᾶς εἰκὸς νῦν τά τε ἀπὸ
τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν· οἴκτου γὰρ ἀπ' αὐτῶν
ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου· καὶ ὁρῶντες ὑμᾶς αὐ-
τοὺς οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε· μὴ
καταπέπληχθε ἄγαν· λογίζεσθε δὲ ὅτι αὐτοί τε πόλις εὐθὺς
ἐστὲ ὅποι ἂν καθέζησθε· καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν
ἐν Σικελίᾳ· οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως· οὔτ' ἂν ἱ-
δρυθέντας που ἐξαναστήσειε· τὴν δὲ πορείαν ὥστ' ἀσφαλῆ

καὶ εὔτακτον εἶναι. αὐτοὶ φυλάξατε μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος ἢ ἐν ᾧ ἂν ἀναγκασθῇ χωρείῳ μάχεσθαι τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. σπουδὴ δ᾽ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ. τὰ γὰρ ἐπιτήδεια βραχέα ἔχομεν. καὶ ἢν ἀντιλαβώμεθα του φιλίου χωρείου τῶν σικελῶν, οὗτοι γὰρ ἡμῖν διὰ τὸ συρακοσίων δέος ἔτι βέβαιοί εἰσιν. ἤδη νομίζετε ἐν τῷ ὀχυρῷ εἶναι. προπέμπετε δ᾽ ὡς αὐτοὺς καὶ ἀπαντᾶν εἰρημένον καὶ σιτία ἄλλα κομίζειν. τό τε ξύμπαν γνῶτε ὦ ἄνδρες στρατιῶται. ἀναγκαῖόν τε ὂν ἡμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι ὡς μὴ ὄντος χωρείου ἐγγύς. ὅποι ἂν μαλακισθέντες σωθείητε. καὶ ἢν νῦν διαφύγητε τοὺς πολεμίους. οἵ τε ἄλλοι τευξόμενοι ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ οἱ ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες. ἄνδρες γὰρ πόλις καὶ οὐ τείχη. οὐδὲ νῆες ἀνδρῶν κεναί. ὁ μὲν νικίας τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στράτευμα. καὶ εἴ πῃ ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν. ξυνάγων καὶ καθιστάς. καὶ ὁ δημοσθένης οὐδὲν ἧσσον τοῖς καθ᾽ ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. τὸ δ᾽ ἐχώρει ἐν διπλασίῳ τεταγμένον τὸ νικίου. ἐφεπόμενον δὲ τὸ δημοσθένους. τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται. καὶ ἐπειδή τε ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ ἀνάπου ποταμοῦ, ηὗρον ἐπ᾽ αὐτῷ παρατεταγμένους τῶν συρακοσίων καὶ ξυμμάχων. καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου ἐχώρουν ἐς τὸ ἔμπροσθεν. οἱ δὲ συρακούσιοι παριππεύοντες προσέκειντο καὶ ἐσακοντίζοντες οἱ ψιλοί. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προσελθόντες σταδίους ὡς τεσσαράκοντα

γρ. ἐν πλαισίῳ

ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ ἀθηναῖοι. τῇ δὲ ὑστεραίᾳ πρωῒ ἐπορεύοντο. καὶ προῆλθον ὡς εἴκοσι σταδίους. καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι. καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον. ᾠκεῖτο γὰρ ὁ χῶρος. καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν. ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι οὐκ ἄφθονον ἦν. οἱ δὲ συρακούσιοι ἐν τούτῳ προελθόντες. τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον. ἦν δὲ λόφος καρτερός. καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης. ἐκαλεῖτο δὲ ἀκραῖον λέπας. τῇ δὲ ὑστεραίᾳ οἱ ἀθηναῖοι προῄεσαν. καὶ οἱ τῶν συρακοσίων καὶ ξυμμάχων ἱππῆς. καὶ ἀκοντισταὶ ὄντες πολλοὶ ἑκάτεροι. ἐκώλυον καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ ἀθηναῖοι. ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον. καὶ τὰ ἐπιτήδεια οὐχ ὁμοίως εἶχον. οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν ἀπὸ τῶν ἱππέων. πρωῒ δὲ ἄραντες ἐπορεύοντο αὖθις. καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον. καὶ ηὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων. στενὸν γὰρ ἦν τὸ χωρίον. καὶ προσβαλόντες οἱ ἀθηναῖοι ἐτειχομάχουν. καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, διικνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν. καὶ οὐ δυνάμενοι βιάσασθαι, ἀνεχώρουν πάλιν καὶ ἀνεπαύοντο. ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γιγνόμεναι. καὶ ὕδωρ. οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι. ἀφ' ὧν οἱ ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν. καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ, καὶ ταῦτα πάντα γίγνεσθαι. ἀναπαυομένων δ' αὐτῶν ὁ γύλιππος καὶ οἱ συρακούσιοι, πέμ-

πουσι μέρος τι τῆς στρατιᾶς ἀποτειχιοῦντας αὐτοὺς τὸ ὄπισθεν ᾗ προεληλύθεσαν· ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινὰς διεκώλυσαν· καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ ἀθηναῖοι ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ προυχώρουν· καὶ οἱ συρακούσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ καὶ πολλοὺς κατετραυμάτιζον· καὶ εἰ μὲν ἐπίοιεν οἱ ἀθηναῖοι ὑπεχώρουν· εἰ δ' ἀναχωροῖεν ἐπέκειντο καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες· εἴ πως κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβήσειαν· καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ ἀθηναῖοι· ἔπειτα προελθόντες πέντε ἢ ἓξ σταδίους ἀνεπαύοντο ἐν τῷ πεδίῳ· ἀνεχώρησαν δὲ καὶ οἱ συρακούσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον· τῆς δὲ νυκτὸς τῷ νικίᾳ καὶ δημοσθένει ἐδόκει· ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε· τῶν τε ἐπιτηδείων πάντων ἀπορίᾳ ἤδη· καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντας ὡς πλεῖστα ἀπάγειν τὴν στρατιάν, μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗ διενοήθησαν· ἀλλὰ τοὐναντίον ἢ οἱ συρακούσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν· ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη· οὐκ ἐπὶ κατάνης τῷ στρατεύματι· ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς σικελίας, τὸ πρὸς καμάριναν καὶ γέλαν· καὶ τὰς ταύτῃ πόλεις καὶ ἑλληνίδας καὶ βαρβάρους· καύσαντες οὖν πυρὰ πολλὰ ἐχώρουν ἐν νυκτί· καὶ αὐτοῖς οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι· ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας· καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν ἐμπίπτει ταραχή· καὶ τὸ μὲν νικίου στράτευμα

ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε καὶ προύλαβε πολλῷ· τὸ δὲ
δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ τὸ πλέον ἀπεσπάσθη
τε καὶ ἀτακτότερον ἐχώρει· ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται
ὅμως πρὸς τὴν θάλασσαν· καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν
ἑλωρινὴν καλουμένην ἐπορεύοντο, ὅπως ἐπειδὴ γέ-
νοιντο παρὰ τῷ ποταμῷ τῷ κακυπάρει, παρὰ τὸν ποταμὸν
ἴοιεν ἄνω διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ τοὺς σικελοὺς
ταύτῃ οὓς μετεπέμψαντο ἀπαντήσεσθαι· ἐπειδὴ δ᾽ ἐγένοντο
ἐπὶ τῷ ποταμῷ, ηὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν συ-
ρακοσίων ἀποτειχίζουσάν τε καὶ ἀποσταυροῦσάν τε τὸν πό-
ρον· καὶ βιασάμενοι αὐτὴν διέβησάν τε τὸν ποταμὸν
καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν τὸν ἐρινεόν·
ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον. ἐν τούτῳ οἱ συρακού-
σιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο καὶ ἔ-
γνωσάν τε τοὺς ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ
πολλοὶ τὸν γύλιππον εἶχον ἑκόντα ἀφεῖναι τοὺς ἀθηναίους
καὶ κατὰ τάχος διώκοντες ᾗ οὐ χαλεπῶς ᾐσθάνοντο
κεχωρηκότας, καταλαμβάνουσι περὶ ἀρίστου ὥραν.
καὶ ὥσπερ προσέμιξαν τοῖς μετὰ τοῦ δημοσθένους,
ὑστέροις τε οὖσι καὶ σχολαίτερον καὶ ἀτακτότερον χω-
ροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς
προσπεσόντες ἐμάχοντο· καὶ οἱ ἱππῆς τῶν συρα-
κουσίων ἐκυκλοῦντό τε ῥᾷον, καὶ αὐτοὺς δίχα δὴ ὄν-
τας καὶ ξυνῆγον ἐς ταὐτό· τὸ δὲ νικίου στράτευμα
ἀπεῖχεν ἐν τῷ πρόσθεν καὶ πεντήκοντα σταδίους· θᾶσσόν
τε γὰρ ὁ νικίας ἦγε νομίζων, οὐ τὸ ὑπομένειν ἐν τῷ τοι-
ούτῳ ἑκόντας εἶναι καὶ μάχεσθαι σωτηρίαν· ἀλλὰ τὸ ὡς
τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομένους ὅσα ἀναγ-
κάζοιντο· ὁ δὲ δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν

πόνῳ τε ξυνεχεστέρῳ ὤν· διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐ-
τῷ, πρώτῳ ἐπικεῖσθαι τοὺς πολεμίους· καὶ τότε γνόντες
τοὺς συρακοσίους διώκοντας. οὐ προυχώρει μᾶλλον ἢ
ἐς μάχην ξυνετάσσετο· ἕως ἐνδιατρίβων κυκλοῦταί τε
ὑπ' αὐτῶν· καὶ πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ
ἀθηναῖοι ἦσαν· ἀνειληθέντες γὰρ ἔς τι χωρίον· ᾧ
κύκλῳ μὲν τειχίον περιῆν· ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν
ἐλάας δὲ οὐκ ὀλίγας εἶχεν· ἐβάλλοντο περισταδόν· τοι-
αύταις μὲν προσβολαῖς καὶ οὐ ξυσταδὸν μάχαις οἱ συρα-
κούσιοι εἰκότως ἐχρῶντο· τὸ γὰρ ἀποκινδυνεύειν πρὸς
ἀνθρώπους ἀπονενοημένους. οὐ πρὸς ἐκείνων μᾶλλον ἔτι ἦν
ἢ πρὸς τῶν ἀθηναίων· καὶ ἅμα φειδώ τέ τις ἐγίγνετο
ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ μὴ προαναλωθῆναί τῳ· καὶ
ἐνόμιζον καὶ ὣς ταύτῃ τῇ ἰδέᾳ καταδαμασάμενοι
λήψεσθαι αὐτούς· ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες
πανταχόθεν τοὺς ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη
τεταλαιπωρημένους. τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κα-
κώσει· κήρυγμα ποιοῦνται γύλιππος καὶ οἱ συρακού-
σιοι καὶ οἱ ξύμμαχοι· πρῶτον μὲν τῶν νησιωτῶν εἴ τις
βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώ-
ρησάν τινες πόλεις οὐ πολλαί· ἔπειτα δ' ὕστερον καὶ
πρὸς τοὺς ἄλλους τοὺς μετὰ δημοσθένους ὁμολογία
γίγνεται· ὥστε ὅπλα τε παραδοῦναι καὶ μὴ ἀποθανεῖν μη-
δένα· μήτε βιαίως μήτε δεσμοῖς· μήτε τῆς ἀναγκαιο-
τάτης ἐνδείᾳ διαίτης· καὶ παρέδοσαν οἱ πάντες σφᾶς
αὐτοὺς ἑξακισχίλιοι· καὶ τὸ ἀργύριον ἅπαν ὃ εἶχον
κατέθεσαν ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας· καὶ ἐ-
νέπλησαν ἀσπίδας τέσσαρας· καὶ τούτους μὲν εὐθὺς
ἀπεκόμιζον ἐς τὴν πόλιν· νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ

ἀφικνοῦνται αὐτῇ τῇ ἡμέρᾳ ἐπὶ τὸν ποταμὸν τὸν ἐ-
ρινεόν· καὶ διαβὰς πρὸς μετέωρόν τι καθῖσε τὴν
στρατιάν· οἱ δὲ συρακούσιοι ἅμα ἡμέρᾳ καταλαβόν-
τες αὐτόν, ἔλεγον ὅτι οἱ μετὰ δημοσθένους παραδεδώ-
κοιεν σφᾶς αὐτούς· κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν·
ὁ δ᾽ ἀπιστῶν σπένδεται ἱππέα πέμψαι σκεψόμενον. ὡς
δ᾽ οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπικη-
ρυκεύεται γυλίππῳ καὶ συρακουσίοις εἶναι ἕτοιμος
ὑπὲρ ἀθηναίων ξυμβῆναι, ὅσα ἀνήλωσαν χρήματα
συρακούσιοι ἐς τὸν πόλεμον, ταῦτα ἀποδοῦναι, ὥστε
τὴν μετ᾽ αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρις οὗ δ᾽ ἂν τὰ
χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν ἀθηναίων ὁμήρους
ἕνα κατὰ τάλαντον. οἱ δὲ συρακούσιοι καὶ γύλιππος
οὐ προσεδέχοντο τοὺς λόγους· ἀλλὰ προσπεσόντες καὶ
περιστάντες πανταχόθεν ἔβαλλον· καὶ τούτους μέχρι ὀψέ.
εἶχον δὲ καὶ οὗτοι πονήρως σίτου τε καὶ τῶν ἐπιτηδείων
ἀπορίᾳ. ὅμως δὲ τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχά-
ζον, ἔμελλον πορεύεσθαι· καὶ ἀναλαμβάνουσί τε τὰ
ὅπλα· καὶ οἱ συρακούσιοι αἰσθάνονται καὶ ἐπαιάνι-
σαν. γνόντες δὲ οἱ ἀθηναῖοι ὅτι οὐ λανθάνουσι κατέθεν-
το πάλιν, πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ
διὰ τῶν φυλάκων βιασάμενοι ἐχώρουν τῆς νυκτὸς ᾗ
ἐδύναντο. νικίας δ᾽ ἐπειδὴ ἡμέρα ἐγένετο ἦγε τὴν
στρατιάν· οἱ δὲ συρακούσιοι καὶ οἱ ξύμμαχοι προ-
σέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ
ἀκοντίζοντες· καὶ οἱ ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν
ἀσσίναρον ποταμόν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς παν-
ταχόθεν προσβολῆς, ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου
ὄχλου· οἰόμενοι ῥᾷόν τι σφίσιν ἔσεσθαι ἢν διαβῶσι

τὸν ποταμόν· ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας· καὶ τοῦ πι-
εῖν ἐπιθυμίᾳ· ὡς δὲ γίγνονται ἐπ' αὐτῷ ἐσπίπτουσιν
οὐδενὶ κόσμῳ ἔτι· ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶ-
τος βουλόμενος. καὶ οἱ πολέμιοι ἐπικείμενοι. χαλε-
πὴν ἤδη τὴν διάβασιν ἐποίουν· ἀθρόοι γὰρ ἀναγκα-
ζόμενοι χωρεῖν· ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν·
περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν, εὐθὺς διεφθεί-
ροντο· οἱ δὲ. ἐμπαλασσόμενοι κατέρρεον· ἐς τὰ ἐπὶ
θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ συρακούσιοι·
ἦν δὲ κρημνῶδες· ἔβαλλον ἄνωθεν τοὺς ἀθηναίους, πί-
νοντάς τε τοὺς πολλοὺς ἀσμένως· καὶ ἐν κοίλῳ ὄντι τῷ
ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. οἵ τε πελο-
ποννήσιοι ἐπικαταβάντες. τοὺς ἐν ποταμῷ μάλιστα ἔ-
σφαζον· καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν
ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ᾑματωμένον· καὶ περι-
μάχητον ἦν τοῖς πολλοῖς· τέλος δὲ νεκρῶν τε πολλῶν
ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ ποταμῷ καὶ διεφθαρ-
μένου τοῦ στρατεύματος· τοῦ μὲν, κατὰ τὸν ποταμόν·
τοῦ δὲ. καὶ εἴ τι διαφύγοι ὑπὸ τῶν ἱππέων, νικίας γυ-
λίππῳ ἑαυτὸν παραδίδωσι. πιστεύσας μᾶλλον αὐτῷ
ἢ τοῖς συρακουσίοις· καὶ ἑαυτῷ μὲν χρήσασθαι ἐκέλευ-
εν ἐκεῖνόν τε καὶ λακεδαιμονίους ὅτι βούλονται· τοὺς δὲ
ἄλλους στρατιώτας παύσασθαι φονεύοντας· καὶ ὁ γυ-
λιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευε· καὶ τούς τε
λοιποὺς ὅσοι μὴ ἀπεκρύψαντο· πολλοὶ δὲ οὗτοι ἐγέ-
νοντο, ξυνεκόμισαν ζῶντας· ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν
φυλακὴν διεξῆλθον τῆς νυκτὸς, πέμψαντες τοὺς
διωξομένους, ξυνέλαβον· τὸ μὲν οὖν ἁθροισθὲν τοῦ
στρατεύματος ἐς τὸ κοινὸν οὐ πολὺ ἐγένετο· τὸ δὲ δια-

κλαπὴ πολύ· καὶ δὴ πλήρης πᾶσα ἡ σικελία αὐτῶν·
ἅτε οὐκ ἀπὸ ξυμβάσεως ὥσπερ τῶν μετὰ δημοσθένους
ληφθέντων· μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανον· πλεῖ
στος γὰρ δὴ φόνος οὗτος· καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν
τῷ σικελικῷ πολέμῳ τούτῳ ἐγένετο· καὶ ἐν ταῖς ἄλλαις
ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις· οὐκ ὀλί
γοι ἐτεθνήκεσαν· πολλοὶ δὲ ὅμως καὶ διέφυγον· οἱ μὲν
καὶ παραυτίκα· οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδι
δράσκοντες ὕστερον· τούτοις δ' ἦν ἀναχώρησις ἐς κα
τάνην· ξυναθροισθέντες δὲ οἱ συρακούσιοι καὶ οἱ ξύμ
μαχοι τῶν τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους·
καὶ τὰ σκῦλα ἀναλαβόντες ἀνεχώρησαν ἐς τὴν πό
λιν· καὶ τοὺς μὲν ἄλλους ἀθηναίων καὶ τῶν ξυμμάχων,
ὁπόσους ἔλαβον, κατεβίβασαν ἐς τὰς λιθοτομίας,
ἀσφαλεστάτην εἶναι νομίσαντες τὴν τήρησιν· νικί
αν δὲ καὶ δημοσθένην ἄκοντος γυλίππου ἀπέσφαξαν·
ὁ γὰρ γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζέν οἱ εἶναι
ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι λακε
δαιμονίοις· ξυνέβαινε δὲ τὸν μέν, πολεμιώτατον αὐ
τοῖς εἶναι δημοσθένην· διὰ τὰ ἐν τῇ νήσῳ καὶ πύλῳ·
τὸν δέ, διὰ τὰ αὐτὰ ἐπιτηδειότατον· τοὺς γὰρ ἐκ τῆς
νήσου ἄνδρας τῶν λακεδαιμονίων ὁ νικίας προυθυ
μήθη σπονδὰς πείσας τοὺς ἀθηναίους ποιήσασθαι
ὥστε ἀφεθῆναι· ἀνθ' ὧν οἵ τε λακεδαιμόνιοι ἦσαν
αὐτῷ προσφιλεῖς, κἀκεῖνος οὐχ ἥκιστα πιστεύσας ἑαυ
τὸν γυλίππῳ παρέδωκεν· ἀλλὰ τῶν συρακοσίων τινές
ὡς ἐλέγετο· οἱ μέν, δείσαντες ὅτι πρὸς αὐτὸν ἐκεκοι
νολόγητο· μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτον ταραχὴν
σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ· ἄλλοι δὲ καὶ οὐχ ἥκιστα

τελευτὴ νικίου

οἱ κορίνθιοι μὴ χρήμασι πείσας τινὰς ὅτι πλούσιος ἦν. ἀποδρᾷ· καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντες τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν· καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων. αἰτίᾳ ἐτεθνήκει· ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι. διὰ τὴν νενομισμένην ἐπιτήδευσιν· τοὺς δ' ἐν ταῖς λιθοτομίαις οἱ συρακούσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείριζον· ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας ὀ πολλούς. οἵ τε ἥλιοι πρῶτον καὶ πνῖγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον· καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον. μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον. πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ· καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων. οἳ ἔκ τε τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον ἀπέθνησκον καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί· καὶ λιμῷ ἅμα καὶ δίψει ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας. κοτύλην ὕδατος· καὶ δύο κοτύλας σίτου· ἄλλα τε ὅσα εἰκὸς ἐν τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι. οὐδὲν ὅτι οὐκ ἐπεγένετο αὐτοῖς· καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας. οὕτω διῃτήθησαν ἀθρόοι· ἔπειτα πλὴν ἀθηναίων καὶ εἴ τινες σικελιωτῶν ἢ ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο· ἐλήφθησαν δὲ οἱ ξύμπαντες. ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν· ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων· ξυνέβη τε ἔργον τοῦτο ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε, μέγιστον γενέσθαι· δοκεῖν δ' ἔμοιγε καὶ ὧν ἀκοῇ ἑλληνικῶν ἴσμεν· καὶ τοῖς τε κρατήσασι λαμπρότατον· καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον· κατὰ πάντα γὰρ πάντως

νικηθέντες. καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαν-
τες, πανωλεθρίᾳ δὴ τὸ λεγόμενον, καὶ πεζὸς καὶ νῆες
καὶ οὐδὲν ὅ τι οὐκ ἀπώλετο. καὶ ὀλίγοι ἀπὸ πολλῶν
ἐπ' οἴκου ἀπενόστησαν. ταῦτα μὲν τὰ περὶ σικελίαν γενό-
μενα.

ἐς δὲ τὰς ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ μὲν ἠπίστουν
καὶ τοῖς πάνυ τῶν στρατιωτῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευ-
γόσι, καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω γε ἄγαν. πανσυδὶ διε-
φθάρθαι. ἐπειδὴ δὲ ἔγνωσαν, χαλεποὶ μὲν ἦσαν τοῖς ξυμ-
προθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, ὥσπερ οὐκ αὐ-
τοὶ ψηφισάμενοι. ὠργίζοντο δὲ καὶ τοῖς χρησμολόγοις
τε καὶ μάντεσι, καὶ ὁπόσοι τότε αὐτοὺς θειάσαντες
ἐπήλπισαν. ὡς λήψονται σικελίαν. πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε καὶ περιειστήκει ἐπὶ τῷ γεγενη-
μένῳ. φόβος τε καὶ κατάπληξις μεγίστη δή. ἅμα μὲν
γὰρ στερόμενοι, καὶ ἰδίᾳ ἕκαστος καὶ ἡ πόλις. ὁπλιτῶν
τε πολλῶν καὶ ἱππέων. καὶ ἡλικίας, οἵαν οὐχ ἑτέραν
ἑώρων ὑπάρχουσαν, ἐβαρύνοντο. ἅμα δὲ ναῦς οὐχ
ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανάς, οὐδὲ χρήματα
ἐν τῷ κοινῷ, οὐδ' ὑπηρεσίας ταῖς ναυσίν. ἀνέλπιστοι
ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι. τούς τε ἀπὸ τῆς σικελί-
ας πολεμίους, εὐθὺς σφίσιν ἐνόμιζον τῷ ναυτικῷ ἐπὶ
τὸν πειραιᾶ πλευσεῖσθαι. ἄλλως τε καὶ τοσοῦτον κρα-
τήσαντας, καὶ τοὺς αὐτόθεν πολεμίους. τότε δὴ καὶ
διπλασίως πάντα παρεσκευασμένους, κατὰ κρά-
τος ἤδη καὶ ἐκ γῆς καὶ θαλάσσης ἐπικείσεσθαι. καὶ
τοὺς ξυμμάχους σφῶν μετ' αὐτῶν ἀποστάντας. ὅμως
δὲ ὡς ἐκ τῶν παρόντων. ἐδόκει χρῆναι μὴ ἐνδιδόναι
ὑπαρχόντων

λά παρασκευάζεσθαι καὶ ναυτικὸν ὅθεν ἂν δύνωνται ξύ
λα ξυμποριζαμένους καὶ χρήματα· καὶ τὰ τῶν ξυμμά
χων ἐς ἀσφάλειαν ποιεῖσθαι καὶ μάλιστα τὴν εὔβοιαν· τῶν
τε κατὰ τὴν πόλιν τι ἐς εὐτέλειαν σωφρονίσαι· καὶ ἀρχὴν
τινὰ πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι· οἵτινες περὶ τῶν πα
ρόντων ὡς ἂν καιρὸς ᾖ· προβουλεύσουσι· πάντα τε πρὸς τὸ
παραχρῆμα περιδεές· ὅπερ φιλεῖ δῆμος ποιεῖν, ἑτοῖμοι
ἦσαν εὐτακτεῖν· καὶ ὡς ἔδοξεν αὐτοῖς καὶ ἐποίουν ταῦτα·
καὶ τὸ θέρος ἐτελεύτα. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος
πρὸς τὴν ἐκ τῆς σικελίας τῶν ἀθηναίων μεγάλην κακο
πραγίαν· εὐθὺς οἱ ἕλληνες πάντες ἐπηρμένοι ἦσαν· οἱ
μὲν μηδετέρων ὄντες ξύμμαχοι· ὡς ἤν τις καὶ μὴ πα
ρακαλῇ σφᾶς· οὐκ ἀποστατέον ἔτι τοῦ πολέμου εἴη· ἀλλ'
ἐθελοντὶ ἰτέον ἐπὶ τοὺς ἀθηναίους· νομίσαντες κἂν ἐπὶ
σφᾶς ἕκαστοι ἐλθεῖν αὐτούς· εἰ τὰ ἐν τῇ σικελίᾳ κατώρ
θωσαν· καὶ ἅμα βραχὺν ἔσεσθαι τὸν λοιπὸν πό
λεμον· οὗ μετασχεῖν καλὸν εἶναι· οἱ δ' αὖ τῶν λακεδαιμο
νίων ξύμμαχοι ξυμπροθυμηθέντες ἐπὶ πλέον ἢ πρὶν
ἀπαλλάξεσθαι διὰ τάχους πολλῆς ταλαιπωρίας· μά
λιστα δὲ οἱ τῶν ἀθηναίων ὑπήκοοι ἑτοῖμοι ἦσαν καὶ παρὰ
δύναμιν αὐτῶν ἀφίστασθαι· διὰ τὸ ὀργῶντες κρίνειν τὰ
πράγματα· καὶ μηδ' ὑπολείπειν λόγον αὐτοῖς· ὡς τό γ' ἐπι
ὸν θέρος· οἷοί τ' ἔσονται περιγενέσθαι· ἡ δὲ τῶν λακεδαιμο
νίων πόλις· πᾶσί τε τούτοις ἐθάρσει· καὶ μάλιστα ὅτι οἱ ἐκ
τῆς σικελίας αὐτοῖς ξύμμαχοι· πολλῇ δυνάμει κατὰ
νάγκην ἤδη τοῦ ναυτικοῦ προσγεγενημένου· ἅμα τῷ ἦρι
ὡς εἰκὸς παρέσεσθαι ἔμελλον· πανταχόθεν τε εὐέλπιδες
ὄντες ἀπροφασίστως ἅπτεσθαι διενοοῦντο τοῦ πολέμου·
λογιζόμενοι καλῶς τελευτήσαντος αὐτοῦ· κινδύνων τε

τοιούτων ἀπηλλάχθαι ἄν. τὸ λοιπὸν οἷος καὶ ὁ ἀπὸ τῶν
ἀθηναίων πλεῖστα ἂν αὐτοῖς οἱ τὸ σικελικὸν προσέλα-
βον· καὶ καθελόντες ἐκείνους. αὐτοὶ τῆς πάσης ἑλλάδος
ἤδη ἀσφαλῶς ἡγήσεσθαι· εὐθὺς οὖν ἀρχίδαμος ὁ βασιλεὺς
αὐτῶν ἐν τῷ χειμῶνι τούτῳ ὁρμηθεὶς στρατιᾷ ἐκ δὲ καὶ λα
τά τε τῶν ξυμμάχων ἠργυρολόγησεν ἐς τὸ ναυτικόν· καὶ
[illegible] ἐπὶ τὸν μαλιῶς κόλπον· οἰταίους τε κατὰ τὴν
παλαιὰν ἔχθραν τῆς ἑλλάδος τὴν πόλιν ἀπολαβὼν χρή-
ματα ἐπράξατο· καὶ ἀχαιοὺς τοὺς φθιώτας καὶ τοὺς
ἄλλους τοὺς ταύτῃ θεσσαλῶν ὑπηκόους μεμφομένων καὶ
ἀκόντων θεσσαλῶν, ὁμήρους τέ τινας ἠνάγκασε δοῦναι
καὶ χρήματα· καὶ κατέθετο τοὺς ὁμήρους ἐς κόρινθον. ἐς
τε τὴν ξυμμαχίαν ἐπειρᾶτο προσάγειν. λακεδαιμόνι-
οι δὲ τὴν πρόσταξιν ταῖς πόλεσιν ἑκατὸν νεῶν τῆς ναυπηγί-
ας ἐποιοῦντο· καὶ ἑαυτοῖς μὲν καὶ βοιωτοῖς, πέντε καὶ εἴκοσιν
ἑκατέροις ἔταξαν· φωκεῦσι δὲ καὶ λοκροῖς πέντε καὶ δέ-
κα καὶ κορινθίοις, πέντε καὶ δέκα· ἀρκάσι δὲ καὶ πελ-
ληνεῦσι καὶ σικυωνίοις, δέκα· μεγαρεῦσι δὲ καὶ τροι-
ζηνίοις, καὶ ἐπιδαυρίοις καὶ ἑρμιονεῦσι δέκα· τά τε ἄλ-
λα παρεσκευάζοντο ὡς εὐθὺς πρὸς τὸ ἔαρ ἀρξόμενοι τοῦ
πολέμου. παρεσκευάζοντο δὲ καὶ ἀθηναῖοι ὡς [illegible]
[illegible] ἐν τῷ χειμῶνι τούτῳ· τήν τε ναυπηγίαν ξυλλεξά-
μενοι, καὶ συννοοῦντες, ὅπως αὐτοῖς ἀσ-
φαλὴς ταῖς σιταγωγοῖς ναυσὶν ᾖ τοῦ [illegible] πλοῦ· καὶ τὸν
ἐκ πελοποννήσου [illegible] ἐκπλέοντες, ὃ [illegible]
παραπλέοντες ἐς σικελίαν· καὶ τὰ ἄλλα ἔπουλ [illegible]
[illegible] διακωλύσεσθαι [illegible] ἐς [illegible]
[illegible] τὰ τῶν ξυμμάχων [illegible] ὅπως μὴ
σφῶν ἀποστῶσι· πρασσόντων δὲ ταῦτα ἀμφοτέρων

καὶ οὕτων οὐδὲν ἄλλο ἢ ὥσπερ ἀρχομένων ἐν τῇ παρασκευῇ τοῦ πολέμου. πρῶτοι εὐβοεῖς ὡς ἆγιν περὶ ἀποστάσεως τῶν ἀθηναίων ἐπρεσβεύσαντο, ἐν τῷ χειμῶνι τούτῳ. ὁ δὲ, προσδεξάμενος τοὺς λόγους αὐτῶν, μεταπέμπεται ἐκ λακεδαίμονος ἀλκαμένη τὸν σθενελαΐδου καὶ μέλανθον, ἄρχοντας ἐς τὴν εὔβοιαν. οἱ δ' ἦλθον ἔχοντες τῶν νεοδαμωδῶν ὡς τριακοσίους· καὶ παρεσκεύαζεν αὐτοῖς τὴν διάβασιν. ἐν τούτῳ δὲ καὶ λέσβιοι ἦλθον βουλόμενοι καὶ αὐτοὶ ἀποστῆναι. καὶ ξυμπρασσόντων αὐτοῖς τῶν βοιωτῶν, ἀναπείθεται ἆγις, ὥστε εὔβοιαν μὲν ἐπισχεῖν· τοῖς δὲ λεσβίοις παρεσκεύαζε τὴν ἀπόστασιν· ἀλκαμένη τε ἁρμοστὴν διδούς, ὃς ἐς εὔβοιαν πλεῖν ἔμελλε· καὶ δέκα μὲν βοιωτοὶ ναῦς ὑπέσχοντο· δέκα δὲ ἆγις. καὶ ταῦτα ἄνευ τῆς λακεδαιμονίων πόλεως ἐπράσσετο· ὁ γὰρ ἆγις ὅσον χρόνον ἦν περὶ δεκέλειαν ἔχων τὴν μεθ' ἑαυτοῦ δύναμιν, κύριος ἦν καὶ ἀποστέλλειν εἴ ποί τινα ἐβούλετο στρατιὰν καὶ ξυναγείρειν, καὶ χρήματα πράσσειν. καὶ πολὺ μᾶλλον ὡς εἰπεῖν κατὰ τοῦτον τὸν καιρὸν αὐτοῦ οἱ ξύμμαχοι ὑπήκουον, ἢ τῶν ἐν τῇ πόλει λακεδαιμονίων· δύναμιν γὰρ ἔχων αὐτὸς ἑκασταχόσε δεινὸς παρῆν. καὶ ὁ μὲν, τοῖς λεσβίοις ἔπρασσε· χῖοι δὲ καὶ ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἑτοῖμοι ὄντες, πρὸς μὲν ἆγιν οὐκ ἐτράποντο· ἐς δὲ τὴν λακεδαίμονα· καὶ παρὰ τισσαφέρνους, ὃς βασιλεῖ δαρείῳ τῷ ἀρταξέρξου στρατηγὸς ἦν τῶν κάτω· πρεσβευτὴς ἅμα μετ' αὐτῶν παρῆν· ἐπήγετο γὰρ καὶ ὁ τισσαφέρνης τοὺς πελοποννησίους· καὶ ὑπισχνεῖτο τροφὴν παρέξειν· ὑπὸ βασιλέως γὰρ νεωστὶ ἐτύγχανε πεπραγμένος τοὺς ἐκ τῆς ἑαυτοῦ ἀρχῆς φόρους· οὓς δι' ἀθηναίους ἀπὸ τῶν ἑλληνίδων πόλεων οὐ δυνάμενος πράσσεσθαι ἐπωφείλησε. τούς τε οὖν φο-

μὴ οὐκ ἐνόμιζε κομίσασθαι κακώσας τοὺς ἀθηναίους· καὶ
ἅμα βασιλεῖ ξυμμάχους τοὺς λακεδαιμονίους ποιήσειν·
καὶ ἀμόργην τὸν πισσούθνου υἱὸν νόθον ἀφεστῶτα περὶ
καρίαν ὥσπερ αὐτῷ προσέταξε βασιλεύς, ἢ ζῶντα ἄξειν ἢ
ἀποκτενεῖν· οἱ μὲν οὖν χῖοι καὶ τισσαφέρνης κοινῇ κατὰ
τὸ αὐτὸ ἔπρασσον· καλλίγειτος δὲ ὁ λαοφῶντος μεγαρεὺς
καὶ τιμαγόρας ὁ ἀθηναγόρου κυζικηνὸς φυγάδες τῆς ἑ-
αυτῶν ἀμφότεροι παρὰ φαρναβάζῳ τῷ φαρνάκου κα-
τοικοῦντες, ἀφικνοῦνται περὶ τὸν αὐτὸν καιρὸν ἐς τὴν λα-
κεδαίμονα πέμψαντος φαρναβάζου, ὅπως ναῦς κο-
μίσειαν ἐς τὸν ἑλλήσποντον· καὶ αὐτὸς εἰ δύναιτο· ἅπερ ὁ τισ-
σαφέρνης προυθυμεῖτο τάς τε ἐν τῇ ἑαυτοῦ πόλεις ἀποστή- ἀρχῇ
σειε τῶν ἀθηναίων διὰ τοὺς φόρους· καὶ ἀφ' ἑαυτοῦ βασι-
λεῖ τὴν ξυμμαχίαν τῶν λακεδαιμονίων ποιή-
σειε· πρασσόντων δὲ ταῦτα χωρὶς ἑκατέρων· τῶν τε ἀπὸ τοῦ
φαρναβάζου καὶ τῶν ἀπὸ τισσαφέρνους, πολλὴ ἅμιλλα ἐγί-
γνετο τῶν ἐν τῇ λακεδαίμονι· ὅπως οἱ μὲν ἐς τὴν ἰωνίαν καὶ χῖον
οἱ δ' ἐς τὸν ἑλλήσποντον πρότερον ναῦς καὶ στρατιὰν πεί-
σουσι πέμπειν· οἱ μέντοι λακεδαιμόνιοι τὰ τῶν χίων καὶ τισ-
σαφέρνους. παρὰ πολὺ προσεδέξαντο μᾶλλον· ξυνέπρα-
σσε γὰρ αὐτοῖς καὶ ἀλκιβιάδης ἐνδίῳ ἐφορεύοντι πατρικὸς
ἐς τὰ μάλιστα ξένος ὤν· ὅθεν καὶ τοὔνομα λακωνικὸν ἡ οἰκία
αὐτῶν κατὰ τὴν ξενίαν ἔσχεν· ἔνδιος γὰρ ἀλκιβιάδου
ἐκαλεῖτο· ὅμως δὲ οἱ λακεδαιμόνιοι πρῶτον κατάσκο-
πον ἐς τὴν χῖον πέμψαντες φρύνιν ἄνδρα περίοικον· εἰ αἵ
τε νῆες αὐτοῖς εἰσὶν ὅσασπερ ἔλεγον· καὶ τἆλλα ἡ πόλις ἱκα-
νή ἐστι πρὸς τὴν λεγομένην δόξαν. ἀπαγγείλαντος αὐτοῖς
ὡς εἴη ταῦτα ἀληθῆ ἅπερ ἤκουον. τούς τε χίους καὶ τοὺς ἐ-
ρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο· καὶ τεσσαράκοντα ναῦς

ναῦς ἐκέλευον αὐτοῖς πέμπειν· ὡς ἐκεῖ οὐκ ἐλάσσους
ἢ ἑξήκοντα ἀφ' ὧν οἱ χῖοι ἔλεγον ὑπαρχουσῶν· καὶ τὸ
μὲν πρῶτον δέκα τούτων αὐτοῖς ἔμελλον πέμπειν· καὶ
μελαγχρίδαν ὃς αὐτοῖς ναύαρχος ἦν· ἔπειτα σεισμοῦ
γενομένου ἀντὶ τοῦ μελαγχρίδου χαλκιδέα ἔπεμ-
πον· καὶ ἀντὶ τῶν δέκα νεῶν πέντε παρεσκευάζοντο ἐν τῇ
λακωνικῇ· καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἔνατος δέκατος
καὶ ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν θουκυδίδης
ξυνέγραψε· τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς ἐπειγο-
μένων τῶν χίων ἀποστεῖλαι τὰς ναῦς καὶ δεδιότων μὴ
οἱ ἀθηναῖοι τὰ πρασσόμενα αἴσθωνται, πάντες γὰρ
κρύφα αὐτῶν ἐπρεσβεύοντο, ἀποπέμπουσιν οἱ λακεδαι-
μόνιοι ἄνδρας σπαρτιάτας ἐς κόρινθον τρεῖς, ὅπως
ἀπὸ τῆς ἑτέρας θαλάσσης ὡς τάχιστα ἐπὶ τὴν πρὸς ἀθή-
νας ὑπερενεγκόντας τὰς ναῦς τὸν ἰσθμόν, κελεύσωσι πλεῖν
ἐς χίον πάσας καὶ ἃς ὁ ἆγις παρεσκεύαζεν ἐς τὴν λέσ-
βον· καὶ τὰς ἄλλας· ἦσαν δὲ αἱ ξύμπασαι τῶν ξυμμαχί-
δων νῆες αὐτόθι, μιᾶς δέουσαι τεσσαράκοντα· ὁ μὲν
οὖν καλλίγειτος καὶ τιμαγόρας ὑπὲρ τοῦ φαρναβάζου,
οὐκ ἐκοινώνουν τοῦ στόλου ἐς τὴν χίον· οὐδὲ τὰ χρήμα-
τα ἐδίδοσαν ἃ ἦλθον ἔχοντες ἐς τὴν ἀποστολὴν πέντε
καὶ εἴκοσι τάλαντα· ἀλλ' ὕστερον ἐφ' ἑαυτῶν διενοοῦντο
ἄλλῳ στόλῳ πλεῖν· ὁ δὲ ἆγις ἐπειδὴ ἑώρα τοὺς λακεδαι-
μονίους ἐς τὴν χίον πρῶτον ὡρμημένους, οὐδ' αὐτὸς ἄλλο
τι ἐγίγνωσκεν· ἀλλὰ ξυνελθόντες ἐς κόρινθον οἱ ξύμμαχοι
ἐβουλεύοντο· καὶ ἔδοξε πρῶτον ἐς χίον αὐτοὺς πλεῖν ἄρ-
χοντα ἔχοντας χαλκιδέα· ὃς ἐν τῇ λακωνικῇ τὰς πέντε
ναῦς παρεσκεύαζεν, ἔπειτα ἐς λέσβον· καὶ ἀλκαμένην
ἄρχοντα ὅνπερ ἆγις διενοεῖτο· τὸ τελευταῖον δὲ ἐς τὸν

ἐς ἑλλήσποντον ἀφικέσθαι. προσετέτακτο δὲ ἐς αὐτὸ ἄρ
χων κλέαρχος ὁ ῥαμφίου. διαφέρειν δὲ τὸν ἰσθμὸν
τὰς ἡμισείας τῶν νεῶν πρῶτον, καὶ εὐθὺς ταύτας ἀπο
πλεῖν· ὅπως μὴ οἱ ἀθηναῖοι πρὸς τὰς ἀφορμωμένας
μᾶλλον τὸν νοῦν ἔχωσιν, ἢ τὰς ὕστερον διαφερομένας·
καὶ γὰρ τὸν πλοῦν ταύτῃ ἐκ τοῦ προφανοῦς ἐποιοῦντο·
καταφρονήσαντες τῶν ἀθηναίων ἀδυνασίαν· ὅτι ναυ
τικὸν οὐδὲν αὐτῶν πολὺ πω ἐφαίνετο. ὡς δὲ ἔδοξεν αὐ
τοῖς καὶ διεκόμισαν εὐθὺς μίαν καὶ εἴκοσι ναῦς. οἱ δὲ,
κορίνθιοι ἐπειγομένων αὐτῶν τὸν πλοῦν, οὐ προεθυμή
θησαν ξυμπλεῖν πρὶν ἴσθμια ἃ τότε ἦν διεορτάσωσιν.
ἆγις δὲ αὐτοῖς ἑτοῖμος ἦν· ἐκείνους μὲν μὴ λύειν δὴ τὰς,
ἰσθμιάδας σπονδάς· ἑαυτοῦ δὲ τὸν στόλον ἴδιον ποιή
σασθαι· οὐ ξυγχωρούντων δὲ τῶν κορινθίων, ἀλλὰ δια
τριβῆς ἐγγιγνομένης, οἱ ἀθηναῖοι ᾐσθάνοντο τὰ τῶν χίων,
μᾶλλον· καὶ πέμψαντες ἕνα τῶν στρατηγῶν ἀριστοκράτην
ἐπῃτιῶντο αὐτούς· καὶ ἀρνουμένων τῶν χίων τὸ πιστὸν
ναῦς σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν· οἱ
δ᾽ ἔπεμψαν ἑπτά· αἴτιον δ᾽ ἐγένετο τῆς ἀποστολῆς τῶν νεῶν
οἱ μὲν πολλοὶ τῶν χίων οὐκ εἰδότες τὰ πρασσόμενα· οἱ δὲ
ὀλίγοι ξυνειδότες· τό τε πλῆθος οὐ βουλόμενοί πω πολέμι
ον ἔχειν πρίν τι καὶ ἰσχυρὸν λάβωσι· καὶ τοὺς πελοποννη
σίους οὐκέτι προσδεχόμενοι ἥξειν ὅτι διέτριβον· ἐν δὲ
τούτῳ τὰ ἴσθμια ἐγίγνετο· καὶ οἱ ἀθηναῖοι, ἐπηγγέλθη
σαν γάρ, ἐθεώρουν ἐς αὐτά· καὶ κατάδηλα μᾶλλον αὐ
τοῖς τὰ τῶν χίων ἐφάνη· καὶ ἐπειδὴ ἀνεχώρησαν, πα
ρεσκευάζοντο εὐθὺς ὅπως μὴ λήσωσιν αὐτοὺς αἱ νῆες
ἐκ τῶν κεγχρειῶν ἀφορμηθεῖσαι· οἱ δὲ, μετὰ τὴν ἑορ
τὴν ἀνήγοντο μιᾷ καὶ εἴκοσι ναυσὶν ἐς τὴν χίον, ἄρχοντα

ἀνηγμένην ἔχοντες· καὶ αὐτοῖς οἱ ἀθηναῖοι τὸ πρῶτον ἴσαις
ναυσὶ προσπλεύσαντες, ἐπηγάγοντο ἐς τὸ πέλαγος· ὡς δὲ ἐπὶ πολὺ
οὐκ ἐπηκολούθησαν οἱ πελοποννήσιοι ἀλλὰ ἀπετράποντο, ἐ-
πανεχώρησαν, καὶ οἱ ἀθηναῖοι· τὰς γὰρ τῶν χίων ἑπτὰ ναῦς
ἐν τῷ ἀριθμῷ μετὰ σφῶν ἔχοντες. οὐ πιστὰς ἐνόμιζον· ἀλ-
λ' ὕστερον ἄλλας προσπληρώσαντες ἑπτὰ καὶ τριάκοντα πα-
ραπλέοντας αὐτοὺς, καταδιώκουσιν ἐς πειραιὸν τῆς κο-
ρινθίας· ἔστι δὲ λιμὴν ἐρῆμος καὶ ἔσχατος πρὸς τὰ με-
θόρια τῆς ἐπιδαυρίας· καὶ μίαν μὲν ναῦν ἀπολλύουσι
μετέωρον οἱ πελοποννήσιοι· τὰς δὲ ἄλλας ξυναγαγόν-
τες ὁρμίζουσι· καὶ προσβαλόντων τῶν ἀθηναίων καὶ κατά τε
θάλασσαν ταῖς ναυσὶ καὶ ἐς τὴν γῆν ἀποβάντων, θόρυβος
τε ἐγένετο πολὺς καὶ ἄτακτος· καὶ τῶν νεῶν τὰς πλείους
κατατραυματίζουσιν ἐν τῇ γῇ οἱ ἀθηναῖοι· καὶ τὸν ἄρχοντα
ἀλκαμένην ἀποκτείνουσι· καὶ αὐτῶν τινὲς ἀπέθανον.
διακριθέντες δὲ πρὸς μὲν τὰς πολεμίας ναῦς ἐπέταξαν
ἐφορμεῖν ἱκανάς· ταῖς δὲ λοιπαῖς ἐς τὸ νησίδιον ὁρ-
μίζονται· ἐν ᾧ οὐ πολὺ ἀπέχοντι ἐστρατοπεδεύοντο· καὶ
ἐς τὰς ἀθήνας ἐπὶ βοήθειαν ἔπεμπον· παρῆσαν γὰρ καὶ
τοῖς πελοποννησίοις τῇ ὑστεραίᾳ, οἱ κορίνθιοι βοη-
θοῦντες ἐπὶ τὰς ναῦς· καὶ οὐ πολλῷ ὕστερον καὶ ἄλλοι
πρόσχωροι· καὶ ὁρῶντες τὴν φυλακὴν ἐν χωρίῳ ἐρή-
μῳ ἐπίπονον οὖσαν, ἠπόρουν· καὶ ἐπενόησαν μὲν κα-
τακαῦσαι τὰς ναῦς· ἔπειτα δὲ ἔδοξεν αὐτοῖς ἀνελκύσαι·
καὶ τῷ πεζῷ προσκαθημένους φυλάσσειν· ἕως ἄν τις
παρατύχῃ διαφυγὴ ἐπιτηδεία· ἔπεμψε δὲ αὐτοῖς καὶ ἆγις
αἰσθόμενος ταῦτα, ἄνδρα σπαρτιάτην θέρμωνα· τοῖς δὲ
λακεδαιμονίοις πρῶτον μὲν ἠγγέλθη, ὅτι αἱ νῆες ἀνηγ-
μέναι εἰσὶν ἐκ τοῦ ἰσθμοῦ· εἴρητο γὰρ ὅταν γένηται τοῦτο

ἠγγελμένη ἀπὸ τῶν ἐφόρων ἱππέα πέμψαι· καὶ εὐθὺς τὰς
παρὰ σφῶν πέντε ναῦς καὶ χαλκιδέα ἄρχοντα· καὶ ἀλκι
βιάδην μετ' αὐτοῦ ἐβούλοντο πέμπειν· ἔπειτα ὡρμημένων
αὐτῶν, τὰ περὶ τὴν ἐν τῷ πειραιῷ τῶν νεῶν καταφυγὴν ἠ
γγέλθη· καὶ ἀθυμήσαντες ὅτι πρῶτον ἁπτόμενοι τοῦ ἰωνικοῦ
πολέμου ἔπταισαν, τὰς ναῦς τὰς ἐκ τῆς ἑαυτῶν οὐκέτι δι
ενοοῦντο πέμπειν· ἀλλὰ καί τινας προεξαναχθείσας μετα
καλεῖν· γνοὺς δὲ ὁ ἀλκιβιάδης πείθει αὖθις ἔνδιον καὶ
τοὺς ἄλλους ἐφόρους, μὴ ἀποκνῆσαι τὸν πλοῦν· λέγων ὅτι
φθήσονται πλεύσαντες, πρὶν τὴν τῶν νεῶν ξυμφορὰν
χίους αἰσθέσθαι· καὶ αὐτὸς ὅταν προσβάλῃ ἰωνίᾳ, ῥᾳ
δίως πείσειν τὰς πόλεις ἀφίστασθαι· τήν τε ἀθηναίων λέ
γων ἀσθένειαν, καὶ τὴν τῶν λακεδαιμονίων προθυμίαν·
πιστότερος γὰρ ἄλλων φανεῖσθαι· ἐνδίῳ τε αὐτῷ ἰδίᾳ ἔ
λεγε καλὸν εἶναι δι' ἐκείνου ἀποστῆσαι τε ἰωνίαν· καὶ βα
σιλέα ξύμμαχον ποιῆσαι λακεδαιμονίοις· καὶ μὴ ἄ
γιδος τὸ ἀγώνισμα τοῦτο γενέσθαι· ἐτύγχανε γὰρ τῷ
ἄγιδι αὐτὸς διάφορος ὤν· καὶ ὁ μὲν πείσας τούς τε ἄλλους
ἐφόρους καὶ ἔνδιον, ἀνήγετο ταῖς πέντε ναυσὶ μετὰ
χαλκιδέως τοῦ λακεδαιμονίου· καὶ διὰ τάχους τὸν
πλοῦν ἐποιοῦντο· ἀνεκομίζοντο δὲ ὑπὸ τὸν αὐτὸν χρό
νον τοῦτον, καὶ αἱ ἀπὸ τῆς σικελίας πελοποννησίων ἑ
καίδεκα νῆες αἱ μετὰ γυλίππου ξυμπολεμήσασαι
καὶ περὶ τὴν λευκαδίαν ἀποληφθεῖσαι, καὶ κακωθεῖσαι
ὑπὸ τῶν ἀττικῶν ἑπτὰ καὶ εἴκοσι νεῶν ὧν ἦρχεν ἱπποκλῆς
μενίππου, φυλακὴν ἔχων τῶν ἀπὸ τῆς σικελίας νεῶν·
αἱ γὰρ λοιπαὶ πλὴν μιᾶς διαφυγοῦσαι τοὺς ἀθηναίους,
κατέπλευσαν ἐς κόρινθον. ὁ δὲ χαλκιδεὺς καὶ ὁ ἀλ
κιβιάδης πλέοντες, ὅσοις τε ἐπιτύχοιεν ξυνελάμβανον

τοῦ μὴ ἐξάγγελτοι γενέσθαι. καὶ προσβαλόντες πρῶ(τον)
κωρυκωτῆς ἠπείρου. καὶ ἀφέντες ἐνταῦθα αὐτοὺς,
αὐτοὶ μὲν προξυγγενόμενοι τῶν ξυμπρασσόντων χίων
τισί. καὶ κελεύοντες καταπλεῖν μὴ προειπόντας ἐς
τὴν πόλιν. ἀφικνοῦνται αἰφνίδιοι τοῖς χίοις. καὶ οἱ μὲ(ν)
πολλοὶ ἐν θαύματι ἦσαν καὶ ἐκπλήξει. τοῖς δ' ὀλίγοις
παρεσκεύαστο ὥστε βουλήν τε τυχεῖν ξυλλεγομένην. καὶ
λεγομένων λόγων ἀπό τε τοῦ χαλκιδέως καὶ ἀλκιβιά-
δου. ὡς ἄλλαι τε νῆες πολλαὶ προσπλέουσι. καὶ τὰ περὶ
τῆς πολιορκίας τῶν ἐν τῷ πειραιῷ νεῶν οὐ δηλωσάντων,
ἀφίστανται χῖοι. καὶ αὖθις ἐρυθραῖοι ἀθηναίων. καὶ
μετὰ ταῦτα τρισὶ ναυσὶ πλεύσαντες καὶ κλαζομενὰς
ἀφιστᾶσι. διαβάντες δὲ οἱ κλαζομένιοι εὐθὺς ἐς τὴν
ἤπειρον. τὴν πολίχναν ἐτείχιζον. εἴ τι δέοι σφίσιν αὐτοῖς
ἐκ τῆς νησῖδος ἐν ᾗ οἰκοῦσι πρὸς ἀναχώρησιν. καὶ οἱ
μὲν ἀφεστῶτες πάντες ἐν τειχισμῷ ἦσαν καὶ παρασκευῇ
πολέμου. ἐς δὲ τὰς ἀθήνας ταχὺ ἀγγελία τῆς χίου ἀ-
φικνεῖται. καὶ νομίσαντες μέγαν ἤδη σαφῆ τὸν κίν-
δυνον σφᾶς περιεστάναι. καὶ τοὺς λοιποὺς ξυμμάχους
οὐκ ἐθελήσειν. τῆς μεγίστης πόλεως μεθισταμένης
ἡσυχάζειν. τά τε χίλια τάλαντα. ὧν διὰ παντὸς τοῦ
πολέμου ἐγλίχοντο μὴ ἅψασθαι. εὐθὺς ἔλυσαν τὰς
ἐπικειμένας ζημίας. τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι, ὑπὸ
τῆς παρούσης ἐκπλήξεως. καὶ ἐψηφίσαντο κινεῖν καὶ
ναῦς πληροῦν οὐκ ὀλίγας. τῶν τε ἐν τῷ πειραιῷ ἐφορ-
μουσῶν. τὰς μὲν ὀκτὼ ἤδη πέμπειν. αἳ ἀπολιποῦσαι
τὴν φυλακὴν μετὰ χαλκιδέως διώξασαι καὶ οὐ κα-
ταλαβοῦσαι. ἀνακεχωρήκεσαν. ἦρχε δὲ αὐτῶν
στρομβιχίδης ὁ διοτίμου. ἄλλας δὲ οὐ πολὺ ὕστερον

βοηθεῖν δὲ δώδεκα μετὰ θρασυκλέους ἀπολιπούσας ἐκ τῆς
ταύτας τὴν ἐφόρμησιν· τάς τε τῶν χίων ἑπτὰ ναῦς αἳ
αὐτοῖς ξυνεπολιόρκουν τὰς ἐν τῷ πειραιῷ ἀπαγαγόντες
τοὺς μὲν δούλους ἐξ αὐτῶν ἠλευθέρωσαν· τοὺς δὲ ἐλευ
θέρους κατέδησαν· ἑτέρας δὲ ὀξέως πάσας τὰς ἐπιπλευ
σούσας νεῶν ἐς τὴν ἐφόρμησιν τῶν πελοποννησίων διὰ
ταχέων πληρώσαντες, ἀντέπεμψαν· καὶ ἄλλας διενο
οῦντο τριάκοντα πληροῦν· καὶ πολλὴ ἦν προθυμία·
καὶ ὀλίγον ἐπράσσετο οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ
τὴν χίον· ἐν δὲ τούτῳ στρομβιχίδης ταῖς ὀκτὼ ναυσὶν
ἀφικνεῖται ἐς σάμον· καὶ προσλαβὼν σαμίαν μίαν,
ἔπλευσεν ἐς τέων καὶ ἡσυχάζειν ἠξίου αὐτούς· ἐκ
δὲ τῆς χίου ἐς τὴν τέων καὶ ὁ χαλκιδεὺς μετὰ τριῶν
εἴκοσι νεῶν ἐπέπλει· καὶ ὁ πεζὸς ἅμα καὶ ὁ κλαζο
μενίων καὶ ἐρυθραίων παρῄει· προαισθόμενος δὲ
ὁ στρομβιχίδης, προανήγετο· καὶ μετέωρος ἤδη
ὢν ἐν τῷ πελάγει ὡς ἑώρα πολλὰς τὰς ναῦς πολλὰς τὰς
ἐπὶ τῆς χίου, φυγὴν ἐποιεῖτο ἐπὶ τῆς σάμου· αἱ δὲ ἐ
δίωκον· τὸν δὲ πεζὸν οἱ τήιοι, τὸ πρῶτον οὐκ ἐσδεχόμενοι,
ὡς ἔφυγον οἱ ἀθηναῖοι ἐσάγονται· καὶ ἐπέσχον
μὲν οἱ πολλοί· καὶ χαλκιδέα ἐκ τῆς διώξεως περιμένοντο·
ὡς δὲ ἐχρόνιζε, καθῄρουν αὐτοὶ τὸ τεῖχος ὃ ἐνῳκοδό
μησαν οἱ ἀθηναῖοι τῆς τηίων πόλεως πρὸς ἤπειρον·
ξυγκαθῄρουν δὲ αὐτοῖς καὶ τῶν βαρβάρων ἐπελθόντες
οὐ πολλοί ὧν ἦρχε στάγης ὕπαρχος τισσαφέρνους·
χαλκιδεὺς δὲ καὶ ἀλκιβιάδης ὡς κατεδίωξαν ἐς
σάμον στρομβιχίδην, ἐκ μὲν τῶν ἐκ πελοποννήσου
νεῶν τοὺς ναύτας ὁπλίσαντες, ἐν χίῳ καταλιμπάνουσιν,
ἀντιπληρώσαντες δὲ ταύτας τε ἐκ χίου καὶ ἄλλας εἴκοσι,

ἔπλεον ἐς μίλητον ὡς ἀποστήσοντες. ἐβούλετο γὰρ ὁ ἀλκιβιάδης ὢν ἐπιτήδειος τοῖς προεστῶσι τῶν μιλησίων φθάσαι τάς τε ἀπὸ τῆς πελοποννήσου ναῦς προσαγαγόμενος αὐτούς, καὶ τοῖς χίοις καὶ ἑαυτῷ καὶ χαλκιδεῖ. καὶ τῷ ἀποστείλαντι ἐνδίῳ ὥσπερ ὑπέσχετο τὸ ἀγώνισμα προσθεῖναι. ὅτι πλείστας τῶν πόλεων μετὰ τῆς χίων δυνάμεως καὶ χαλκιδέως ἀποστήσας. λαθόντες οὖν τὸ πλεῖστον τοῦ πλοῦ καὶ φθάσαντες οὐ πολὺ τόν τε στρομβιχίδην καὶ τὸν θρασυκλέα, ὃς ἔτυχεν ἐκ τῶν ἀθηνῶν δώδεκα ναυσὶν ἄρτι παρὼν καὶ ξυνδιώκων, ἀφιστᾶσι τὴν μίλητον. καὶ οἱ ἀθηναῖοι κατὰ πόδας μιᾷ δεούσαις εἴκοσι ναυσὶν ἐπιπλεύσαντες, ὡς αὐτοὺς οὐκ ἐδέξαντο οἱ μιλήσιοι, ἐν λάδῃ τῇ ἐπικειμένῃ νήσῳ ἐφώρμουν. καὶ ἡ πρὸς βασιλέα ξυμμαχία λακεδαιμονίοις ἡ πρώτη, μιλησίων εὐθὺς ἀποστάντων διὰ τισσαφέρνους καὶ χαλκιδέως ἐγένετο ἥδε. ἐπὶ τοῖσδε ξυμμαχίαν ἐποιήσαντο πρὸς βασιλέα καὶ τισσαφέρνην λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον, βασιλέως ἔστω. καὶ ἐκ τούτων τῶν πόλεων ὁπόσα ἀθηναίοις ἐφοίτα χρήματα ἢ ἄλλο τι, κωλυόντων κοινῇ βασιλεὺς καὶ οἱ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. ὅπως μήτε χρήματα λαμβάνωσιν ἀθηναῖοι, μήτε ἄλλο μηδέν. καὶ τὸν πόλεμον τὸν πρὸς ἀθηναίους, κοινῇ πολεμούντων βασιλεὺς καὶ οἱ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. καὶ κατάλυσιν τοῦ πολέμου πρὸς ἀθηναίους μὴ ἐξέστω ποιεῖσθαι. ἢν μὴ ἀμφοτέροις δοκῇ βασιλεῖ καὶ λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. ἢν δέ τινες ἀφιστῶνται ἀπὸ βασιλέως πολέμιοι ἔστων καὶ λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις καὶ ἤν τινες ἀφιστῶνται ἀπὸ λακεδαιμονίων καὶ τῶν ξυμμάχων, πολέμιοι ἔστων βασιλεῖ κατὰ ταὐτά. ἡ μὲν

ἡ ναυμαχία αὕτη ἐγένετο· μετὰ δὲ ταῦτα οἱ χῖοι εὐθὺς δέκα
ἑτέρας πληρώσαντες ναῦς, ἔπλευσαν ἐς ἄναια· βου-
λόμενοι πέρι τε τῶν ἐν μιλήτῳ πυθέσθαι· καὶ τὰς πόλεις
ἅμα ἀφιστάναι· καὶ ἐλθούσης παρὰ χαλκιδέως ἀγγελί(ας)
αὐτοῖς ἀποπλεῖν πάλιν, καὶ ὅτι ἀμόργης παρέσται κατὰ
γῆν στρατιᾷ, ἔπλευσαν ἐς διὸς ἱερόν· καὶ καθορῶσιν ἑκ-
καίδεκα ναῦς ἃς ὕστερον ἔτι θρασυκλέους διομέδων ἔχ(ων)
ἀπ' ἀθηνῶν προσέπλει· καὶ ὡς εἶδον, ἔφευγον μιᾷ μὲν νηὶ
ἐς ἔφεσον· αἱ δὲ λοιπαὶ ἐπὶ τῆς τέω· καὶ τέσσαρας μὲν
κενὰς οἱ ἀθηναῖοι λαμβάνουσι τῶν ἀνδρῶν ἐς τὴν γῆν
φθασάντων· αἱ δ' ἄλλαι ἐς τὴν τηίων πόλιν καταφεύγουσι·
καὶ οἱ μὲν ἀθηναῖοι ἐπὶ τῆς σάμου ἀπέπλευσαν· οἱ δὲ χῖοι
ταῖς λοιπαῖς ναυσὶν ἀναγόμενοι, καὶ ὁ πεζὸς μετ' αὐτῶν
λέβεδον ἀπέστησαν· καὶ αὖθις ἔρας· καὶ μετὰ τοῦτο ἑκάτε-
ροι ἐπ' οἴκου ἀπεκομίσθησαν καὶ ὁ πεζὸς καὶ αἱ νῆες.
ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους αἱ ἐν τῷ πειραιῷ εἴκοσι νῆες τῶν
πελοποννησίων καταδιωχθεῖσαι τότε καὶ ἐφορμούμεναι
ἴσῳ ἀριθμῷ ὑπὸ ἀθηναίων, ἐπέκπλουν ποιησάμενοι αἰ-
φνίδιον, καὶ κρατήσασαι ναυμαχίᾳ τέσσαράς τε ναῦς λαμ-
βάνουσι τῶν ἀθηναίων· καὶ ἀποπλεύσασαι ἐς κεγχρειὰς
τὸν ἐς τὴν χίον καὶ ἰωνίαν πλοῦν αὖθις παρεσκεύαζον.
καὶ ναύαρχος αὐτοῖς ἐκ λακεδαίμονος ἀστύοχος ἐπῆλθ(εν)
ᾧπερ ἐγίγνετο ἤδη πᾶσα ἡ ναυαρχία· ἀναχωρήσαντος
δὲ τοῦ ἐκ τῆς τέω πεζοῦ, καὶ τισσαφέρνης αὐτὸς στρα-
τιᾷ παραγενόμενος, καὶ ἐπικαθελὼν τὸ ἐν τῇ τέῳ τεῖ-
χος, εἴ τι ὑπελείφθη, ἀνεχώρησε· καὶ διομέδων ἀπελθόν-
τος αὐτοῦ, οὐ πολὺ ὕστερον δέκα ναυσὶν ἀθηναίων ἀφι-
κόμενος, ἐσπείσατο τηίοις ὥστε δέχεσθαι καὶ σφᾶς.
καὶ παραπλεύσας ἐπὶ ἔρας, καὶ προσβαλών, ὡς οὐκ ἐ-

λαμβάνουσι τὴν πόλιν, ἀπέπλευσαν. ἐγένετο δὲ κατὰ τὸν χρόνον τοῦτον καὶ ἡ ἐν σάμῳ ἐπανάστασις ὑπὸ τοῦ δήμου τοῖς δυνατοῖς μετὰ ἀθηναίων· οἳ ἔτυχον ἐν τρισὶ ναυσὶ παρόντες. καὶ ὁ δῆμος τῶν σαμίων ἐς διακοσίους μέν τινας τοὺς πάντας τῶν δυνατωτάτων ἀπέκτεινε. τετρακοσίους δὲ φυγῇ ζημιώσαντες· καὶ αὐτοὶ τὴν γῆν αὐτῶν καὶ οἰκίας νειμάμενοι. ἀθηναίων τε σφίσιν αὐτονομίαν μετὰ ταῦτα ὡς βεβαίοις ἤδη ψηφισαμένων, τὰ λοιπὰ διῴκουν τὴν πόλιν· καὶ τοῖς γεωμόροις μετέδοσαν οὔτε ἄλλου οὐδενός· οὔτε ἐκδοῦναι οὔτε ἀγαγέσθαι παρ᾽ ἐκείνων· οὐδ᾽ ἐς ἐκείνους οὐδενὶ ἔτι τοῦ δήμου ἐξῆν· μετὰ δὲ ταῦτα τοῦ αὐτοῦ θέρους οἱ χῖοι ὥσπερ ἤρξαντο· οὐδὲν ἀπολείποντες προθυμίας, ἄνευ τε πελοποννησίων πλήθει παρόντες ἀποστῆσαι τὰς πόλεις· καὶ βουλόμενοι ἅμα ὡς πλείστους σφίσι ξυγκινδυνεύειν, στρατεύονται αὐτοί τε τρισκαίδεκα ναυσὶν ἐπὶ τὴν λέσβον· ὥσπερ ἔκειτο ὑπὸ τῶν λακεδαιμονίων δεύτερον ἐπ᾽ αὐτὴν ἰέναι· καὶ ἐκεῖθεν ἐπὶ τὸν ἑλλήσποντον· καὶ ὁ πεζὸς ἅμα πελοποννησίων τε τῶν παρόντων· καὶ τῶν αὐτόθεν ξυμμάχων παρῄει ἐπὶ κλαζομενῶν τε καὶ κύμης· ἦρχε δ᾽ αὐτοῦ εὐάλας σπαρτιάτης· τῶν δὲ νεῶν, δεινιάδας περίοικος· καὶ αἱ μὲν νῆες καταπλεύσασαι μήθυμναν πρῶτον ἀφιστᾶσι· ἀστύοχος δὲ ὁ λακεδαιμόνιος ναύαρχος τέσσαρσι ναυσὶν ὥσπερ ὥρμητο πλέων ἐκ τῶν κεγχρεῶν ἀφικνεῖται ἐς χίον· καὶ τρίτην ἡμέραν αὐτοῦ ἥκοντος αἱ ἀττικαὶ νῆες πέντε καὶ εἴκοσιν ἔπλεον ἐς λέσβον· ὧν ἦρχε λέων καὶ διομέδων· λέων γὰρ ὕστερον δέκα ναυσὶ προσεβοήθησε ἐκ τῶν ἀθηνῶν· ἀναγόμενος δὲ καὶ ὁ ἀστύοχος τῇ αὐτῇ ἡμέρᾳ ἐς ὀψέ, καὶ προσλαβὼν χίαν ναῦν μίαν ἔπλει ἐς τὴν λέσβον, ὅπως ὠφελοίη εἴ τι δύναιτο

καὶ ἀφικνεῖται ἐπὶ τὴν Πύρραν· ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἐς
Ἔρεσον· ἔνθα πυνθάνεται ὅτι ἡ Μυτιλήνη ὑπὸ τῶν Ἀθηναίων
αὐτοβοεὶ ἑάλωκεν· οἱ γὰρ Ἀθηναῖοι ὥσπερ ἔπλεον ἀπροσ-
δόκητοι κατασχόντες ἐς τὸν λιμένα τῶν τε Χίων νεῶν ἐκρά-
τησαν· καὶ ἀποβάντες τοὺς ἀντιστάντας μάχῃ νικήσαντες
τὴν πόλιν ἔσχον· ἃ πυνθανόμενος ὁ Ἀστύοχος, τάς τε ἐξ Ἐρεσοῦ
καὶ τῶν ἐκ τῆς Μηθύμνης μετ' Εὐβούλου Χίων νεῶν, αἳ τότε
καταλειφθεῖσαι, καὶ ὡς ἡ Μυτιλήνη ἑάλω φεύγουσαι, περι-
έτυχον αὐτῷ τρεῖς· μία γὰρ ἑάλω ὑπὸ τῶν Ἀθηναίων, οὐκέ-
τι ἐπὶ τὴν Μυτιλήνην ὥρμησεν· ἀλλὰ τὴν Ἔρεσον ἀποστήσας,
καὶ ὁπλίσας καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν ὁπλίτας,
πεζῇ παρέπεμπεν ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν ἄρχοντα,
Ἐτεόνικον προστάξας· καὶ αὐτὸς ταῖς μεθ' αὑτοῦ ναυσὶ
καὶ ταῖς τρισὶ ταῖς Χίαις, παρέπλει ἐπὶ τὴν Ἄντισσαν καὶ
Μήθυμναν· ἐλπίζων τοὺς Μηθυμναίους θαρσήσειν τε ἰδόντας,
σφᾶς, καὶ ἐμμενεῖν τῇ ἀποστάσει· ὡς δὲ αὐτῷ τὰ ἐν τῇ Λέσ-
βῳ πάντα ἠναντιοῦτο, ἀπέπλευσε τὸν ἑαυτοῦ στρατὸν
ἀναλαβὼν ἐς τὴν Χίον· ἀπεκομίσθη δὲ πάλιν κατὰ γῆν
καὶ ὁ ἀπὸ τῶν νεῶν πεζός· ὃς ἐπὶ τὸν Ἑλλήσποντον
ἔμελλεν ἰέναι· καὶ ἀπὸ τῶν ἐν Κεγχρειᾷ ξυμμαχίδων Πε-
λοποννησίων νεῶν ἀφικνοῦνται αὐτοῖς, ἓξ μετὰ ταῦτα ἐς
τὴν Χίον· οἱ δ' Ἀθηναῖοι τά τε ἐν τῇ Λέσβῳ πάλιν κατέστησαν-
το· καὶ πλεύσαντες ἐξ αὐτῆς Κλαζομενίων τὴν ἐν τῇ
ἠπείρῳ Πολίχναν τειχιζομένην, ἑλόντες, διεκόμισαν
πάλιν αὐτούς, ἐς τὴν ἐν τῇ νήσῳ πόλιν, πλὴν τῶν αἰτίων τῆς
ἀποστάσεως· οὗτοι δὲ ἐς Δαφνοῦντα ἀπῆλθον· καὶ αὖθις
Κλαζομεναὶ προσεχώρησαν Ἀθηναίοις· τοῦ δ' αὐτοῦ θέρους
οἵ τε ἐπὶ Μιλήτῳ Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν ἐν τῇ Λάδῃ
ἐφορμοῦντες ἀπόβασιν ποιησάμενοι ἐς Πάνορμον τῆς

μιλησίας· χαλκιδέα τὸν λακεδαιμόνιον ἄρχοντα μετ'
ὀλίγων παραβοηθήσαντα ἀποκτείνουσι. καὶ τρόπαιον
ἔστησαν ἡμέρᾳ ὕστερον διαπλεύσαντες ἐς γῆν· ὃ οἱ μιλήσιοι
ὡς οὐ μετὰ κράτους τῆς γῆς σταθὲν ἀνεῖλον. καὶ λέων καὶ
διομέδων ἔχοντες τὰς ἐκ λέσβου ἀθηναίων ναῦς, ἔκ τε
οἰνουσσῶν τῶν πρὸ χίου νήσων καὶ ἐκ σιδούσσης καὶ ἐκ πτε-
λεοῦ, ἃ ἐν τῇ ἐρυθραίᾳ εἶχον τείχη, καὶ ἐκ τῆς λέσβου ὁρ-
μώμενοι τὸν πρὸς τοὺς χίους πόλεμον ἀπὸ τῶν νεῶν ἐποι-
οῦντο· εἶχον δ' ἐπιβάτας τῶν ὁπλιτῶν ἐκ καταλόγου ἀναγ-
καστούς. καὶ ἔν τε καρδαμύλῃ ἀποβάντες καὶ ἐν βολίσκῳ
τοὺς προσβοηθήσαντας τῶν χίων μάχῃ νικήσαντες καὶ πολ-
λοὺς διαφθείραντες, ἀνάστατα ἐποίησαν τὰ ταύτῃ χωρία.
καὶ ἐν φάναις αὖθις ἄλλῃ μάχῃ ἐνίκησαν· καὶ τρίτῃ ἐν
λευκωνίῳ. καὶ μετὰ τοῦτο οἱ μὲν χῖοι ἤδη οὐκέτι ἐπεξῇσαν·
οἱ δὲ τὴν χώραν καλῶς κατεσκευασμένην καὶ ἀπαθῆ
οὖσαν ἀπὸ τῶν μηδικῶν μέχρι τότε, διεπόρθησαν. χῖοι
γὰρ μόνοι μετὰ λακεδαιμονίους ὧν ἐγὼ ᾐσθόμην εὐ-
δαιμονήσαντες ἅμα καὶ ἐσωφρόνησαν. καὶ ὅσῳ ἐπε-
δίδου ἡ πόλις αὐτῶν ἐπὶ τὸ μεῖζον, τόσῳ καὶ ἐκοσμοῦντο
ἐχυρώτερον. καὶ οὐδ' αὐτὴν τὴν ἀπόστασιν, εἰ τοῦτο δοκοῦ-
σι παρὰ τὸ ἀσφαλέστερον πρᾶξαι, πρότερον ἐτόλμησαν
ποιήσασθαι, ἢ μετὰ πολλῶν τε καὶ ἀγαθῶν ξυμμάχων
ἔμελλον κινδυνεύσειν· καὶ τοὺς ἀθηναίους ᾐσθάνοντο
οὐδ' αὐτοὺς ἀντιλέγοντας ἔτι μετὰ τὴν σικελικὴν ξυμ-
φοράν, ὡς οὐ πάνυ πονηρὰ σφῶν βεβαίως τὰ πράγ-
ματα εἴη· εἰ δέ τι ἐν τοῖς ἀνθρωπείοις τοῦ βίου παραλόγοις
ἐσφάλησαν μετὰ πολλῶν οἷς ταὐτὰ ἔδοξε, τὰ τῶν ἀθη-
ναίων ταχὺ ξυναιρεθήσεσθαι, τὴν ἁμαρτίαν ξυνέγνωσαν.
εἰργομένοις οὖν αὐτοῖς τῆς θαλάσσης καὶ κατὰ γῆν πορ-

θουμένοις, ἐνεχείρησάν τινες πρὸς ἀθηναίους ἀγαγεῖν τὴν
πόλιν· οὓς αἰσθόμενοι οἱ ἄρχοντες αὐτοὶ μὲν ἡσύχασαν,
ἀστύοχον δὲ ἐξ ἐρυθρῶν τὸν ναύαρχον μετὰ τεσσάρων
νεῶν αἵπερ ἦσαν αὐτῷ κομίσαντες ἐσκόπουν ὅπως,
μετριώτατα ἢ ὁμήρων λήψει ἢ ἄλλῳ τῷ τρόπῳ καταπαύ-
σουσι τὴν ἐπιβουλήν· καὶ οἱ μὲν ταῦτα ἔπρασσον· ἐκ δὲ
τῶν ἀθηνῶν τοῦ αὐτοῦ θέρους τελευτῶντος, χίλιοι ὁπλῖται
ἀθηναίων καὶ πεντακόσιοι· καὶ χίλιοι ἀργείων· τοὺς
γὰρ πεντακοσίους τῶν ἀργείων ψιλοὺς ὄντας ὥπλισαν οἱ,
ἀθηναῖοι, καὶ χίλιοι τῶν ξυμμάχων ναυσὶ δυοῖν δεού-
σαις πεντήκοντα, ὧν ἦσαν καὶ ὁπλιταγωγοί, φρυνίχου
καὶ ὀνομακλέους· καὶ σκιρωνίδου στρατηγούντων,
κατέπλευσαν ἐς σάμον· καὶ διαβάντες ἐς μίλητον ἐ-
στρατοπεδεύσαντο· μιλήσιοι δὲ ἐξελθόντες αὐτοί τε καὶ
ὀκτακόσιοι ὁπλῖται· καὶ οἱ μετὰ χαλκιδέως ἐλθόντες
πελοποννήσιοι· καὶ τισσαφέρνης παρὼν καὶ ἡ ἵππος αὐτοῦ
ξυνέβαλον τοῖς ἀθηναίοις καὶ ξυμμάχοις· καὶ οἱ μὲν,
ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέρᾳ προεξάξαντες καὶ
καταφρονήσαντες, ὡς ἐπ' ἴωνάς τε καὶ οὐ δεξομένους, ἀ-
τακτότερον χωροῦντες νικῶνται ὑπὸ τῶν μιλησίων· καὶ
διαφθείρονται αὐτῶν ὀλίγῳ ἐλάσσους τριακοσίων ἀνδρῶν·
ἀθηναῖοι δὲ τούς τε πελοποννησίους πρώτους νικήσαντες
καὶ τοὺς βαρβάρους· καὶ τὸν ἄλλον ὄχλον ὠσάμενοι τοῖς
μιλησίοις οὐ ξυμμίξαντες, ἀλλ' ὑποχωρησάντων αὐτῶν
ἀπὸ τῆς τῶν ἀργείων τροπῆς ἐς τὴν πόλιν, ὡς ἑώρων τὸ
ἄλλο σφῶν ἡσσώμενον, πρὸς αὐτὴν τὴν πόλιν τῶν μιλη-
σίων κρατοῦντες ἤδη τὰ ὅπλα τίθενται· καὶ ξυνέβη ἐν τῇ
μάχῃ ταύτῃ τοὺς ἴωνας ἀμφοτέρων τῶν δωριέων κρα-
τῆσαι· τούς τε γὰρ κατὰ σφᾶς πελοποννησίους οἱ ἀθη-

ἐνίκων· καὶ τοὺς ἀργείους οἱ μιλήσιοι· στήσαντες δὲ τρόπαιον
τὸν περιτειχισμὸν ἰσθμώδους ὄντος τοῦ χωρίου, οἱ ἀθηναῖοι
παρεσκευάζοντο· νομίζοντες εἰ προσαγάγοιντο μίλητον,
ῥαδίως ἂν σφίσι καὶ τἆλλα προσχωρῆσαι· ἐν τούτῳ
δὲ περὶ δείλην ἤδη ὀψίαν, ἀγγέλλεται αὐτοῖς τὰς ἀπὸ πελο
ποννήσου καὶ σικελίας πέντε καὶ πεντήκοντα ναῦς ὅσον
οὔπω παρεῖναι· τῶν τε γὰρ σικελιωτῶν ἑρμοκράτους
τοῦ συρακοσίου μάλιστα ἐνάγοντος, ξυνεπιλαβέσθαι
τῆς ὑπολοίπου ἀθηναίων καταλύσεως, εἴκοσι νῆες συ
ρακοσίων ἦλθον· καὶ σελινούσιαι δύο· αἵ τε ἐκ πελο
ποννήσου ἃς παρεσκευάζοντο ἑτοῖμοι ἤδη οὖσαι· καὶ θη
ραμένει τῷ λακεδαιμονίῳ ξυναμφότεραι· ὡς ἀστύοχον
τὸν ναύαρχον προσταχθεῖσαι κομίσαι, κατέπλευσαν ἐς
λέρον πρῶτον κομίσαι τὴν πρὸ μιλήτου νῆσον· ἔπειτα
ἐκεῖθεν αἰσθόμενοι ἐπὶ μιλήτῳ ὄντας ἀθηναίους, ἐς τὸν
ἰασικὸν κόλπον πρότερον πλεύσαντες, ἐβούλοντο εἰδέναι
τὰ περὶ τῆς μιλήτου· ἐλθόντος δὲ ἀλκιβιάδου ἵππῳ ἐς
τειχιοῦσσαν τῆς μιλησίας οἷπερ τοῦ κόλπου πλεύσαντες ηὐ
λίσαντο, πυνθάνονται τὰ περὶ τῆς μάχης· παρῆν γὰρ καὶ ὁ
ἀλκιβιάδης καὶ ξυνεμάχετο τοῖς μιλησίοις καὶ τισσαφέρνει·
καὶ αὐτοῖς παρῄνει, εἰ μὴ βούλονται τά τε ἐν ἰωνίᾳ καὶ τὰ
ξύμπαντα πράγματα διολέσαι, ὡς τάχιστα βοηθεῖν μιλή
τῳ· καὶ μὴ περιιδεῖν ἀποτειχισθεῖσαν· καὶ οἱ μὲν ἅμα τῇ
ἕῳ ἔμελλον βοηθήσειν· φρύνιχος δὲ ὁ τῶν ἀθηναίων στρα
τηγός, ὡς ἀπὸ τῆς λέρου ἐπύθετο τὰ τῶν νεῶν σαφῶς,
βουλομένων τῶν ξυναρχόντων ὑπομείναντας διαναυμα
χεῖν, οὐκ ἔφη οὔτ' αὐτὸς ποιήσειν τοῦτο· οὔτ' ἐκείνοις, οὔτ' ἄλλῳ
οὐδενὶ ἐς δύναμιν ἐπιτρέψειν· ὅπου γὰρ ἔξεστιν ἐν ὑστέ
ρῳ σαφῶς εἰδότας πρὸς ὁπόσας τε ναῦς πολεμίας καὶ ὁπόσαις

πρὸς αὐτὰς ταῖς σφετέραις ἱκανῶς, καὶ καθ᾽ ἡσυχίαν πα-
ρασκευασαμένοις ἔσται ἀγωνίσασθαι, οὐδέποτε τῷ αἰσχρῷ
ὀνείδει εἴξας, ἀλόγως διακινδυνεύσειν· οὐ γὰρ αἰσχρὸν εἶναι
ἀθηναίοις ναυτικῷ μετὰ καιροῦ ὑποχωρῆσαι· ἀλλὰ καὶ
μετὰ ὁτουοῦν τρόπου, αἴσχιον ξυμβήσεσθαι ἢν ἡσσηθῶσι·
καὶ τὴν πόλιν, οὐ μόνον τῷ αἰσχρῷ, ἀλλὰ καὶ τῷ μεγίστῳ
κινδύνῳ περιπίπτειν· ᾗ μόλις ἐπὶ ταῖς γεγενημέναις ξυμ-
φοραῖς ἐνδέχεσθαι μετὰ βεβαίου παρασκευῆς καθ᾽ ἑ-
κουσίαν, ἢ πάνυ γε ἀνάγκῃ προτέρᾳ ποι ἐπιχειρεῖν, ἢ που
δὴ μὴ βιαζομένην γε πρὸς αὐθαιρέτους κινδύνους ἰέναι·
ὡς τάχιστα δὲ ἐκέλευε τούς τε τραυματίας ἀναλαβόντας
καὶ τὸν πεζὸν, καὶ τὴν σκευὴν ὅσα ἦλθον ἔχοντες· ἃ
δὲ ἐκ τῆς πολεμίας εἰλήφασι, καταλιπόντας· ὅπως κοῦ-
φαι ὦσιν αἱ νῆες, ἀποπλεῖν ἐς σάμον· κἀκεῖθεν ἤδη
ξυναγαγόντας πάσας τὰς ναῦς, τοὺς ἐπίπλους, ἤν που και-
ρὸς ᾖ ποιεῖσθαι· ὡς δὲ ἔπεισε, καὶ ἔδρασε ταῦτα, καὶ
ἔδοξεν οὐκ ἐν τῷ αὐτίκα μᾶλλον ὕστερον, οὐκ ἐς τοῦτο μό-
νον, ἀλλὰ καὶ ἐς ὅσα ἄλλα φρύνιχος κατέστη, οὐκ ἀξύ-
νετος εἶναι· καὶ οἱ μὲν ἀθηναῖοι ἀφ᾽ ἑσπέρας εὐθὺς τούτῳ
τῷ τρόπῳ, ἀτελεῖ τῇ νίκῃ ἀπὸ τῆς μιλήτου ἀνέστησαν· καὶ
οἱ ἀργεῖοι κατὰ τάχος καὶ πρὸς ὀργὴν τῆς ξυμφορᾶς,
ἀπέπλευσαν ἐκ τῆς σάμου ἐπ᾽ οἴκου· οἱ δὲ πελοποννήσιοι
ἅμα τῇ ἕῳ ἐκ τῆς τειχιούσσης ἄραντες, ἐπικατάγονται· καὶ
μείναντες ἡμέραν μίαν, τῇ ὑστεραίᾳ καὶ τὰς χίας ναῦς
προσλαβόντες, τὰς μετὰ χαλκιδέως τὸ πρῶτον ξυγκαταδιω-
χθείσας, ἐβούλοντο πλεῦσαι ἐπὶ τὰ σκεύη ἃ ἐξείλοντο
ἐς τειχιοῦσσαν πάλιν· καὶ ὡς ἦλθον, τισσαφέρνης τῷ πε-
ζῷ παρελθὼν, πείθει αὐτοὺς ἐπὶ ἴασον, ἐν ᾗ ἀμόργης
πολέμιος ὢν κατεῖχε, πλεῦσαι· καὶ προσβαλόντες

τὴν ἴασον ὡς ἀφνίδιοι, καὶ οὐ προσδεχομένων· ἀλλ' ἢ ἀττι
κὰς ναῦς εἶναι, αἱροῦσι· καὶ μάλιστα ἐν τῷ ἔργῳ οἱ συρα
κούσιοι ἐπῃνέθησαν· καὶ τόν τε ἀμόργην ζῶντα λαβόντες
πισσούθνου νόθον υἱόν· ἀφεστῶτα δὲ βασιλέως, παρα
διδόασιν οἱ πελοποννήσιοι τισσαφέρνει· ἀπαγαγεῖν εἰ
βούλεται βασιλεῖ· ὥσπερ αὐτῷ προσέταξε· καὶ τὴν ἴασον
διεπόρθησαν· καὶ χρήματα πάνυ πολλὰ ἡ στρατιὰ ἔλαβε
παλαιόπλουτον γὰρ ἦν τὸ χωρίον· τούς τε ἐπικούρους τοὺς
περὶ τὸν ἀμόργην παρὰ σφᾶς αὐτοὺς κομίσαντες, καὶ οὐκ
ἀδικήσαντες, ξυνέταξαν· ὅτι ἦσαν οἱ πλεῖστοι ἐκ πελο
ποννήσου· τό τε πόλισμα τισσαφέρνει παραδόντες· καὶ
τὰ ἀνδράποδα πάντα καὶ δοῦλα καὶ ἐλεύθερα· ὧν
καθ' ἕκαστον στατῆρα δαρεικὸν παρ' αὐτοῦ ξυνέβησαν λα
βεῖν· ἔπειτα ἀνεχώρησαν ἐς τὴν μίλητον· καὶ πεδάριτόν
τε τὸν λέοντος ἐς τὴν χίον ἄρχοντα λακεδαιμονίων πεμ
ψάντων, ἀποστέλλουσι πεζῇ μέχρι ἐρυθρῶν ἔχοντα τὸ
παρὰ ἀμόργου ἐπικουρικόν· καὶ ἐς τὴν μίλητον αὐτοῦ
φίλιππον καθιστᾶσι· καὶ τὸ θέρος ἐτελεύτα. τοῦ δ' ἐπι
γιγνομένου χειμῶνος, ἐπειδὴ τὴν ἴασον κατεστήσατο
ὁ τισσαφέρνης ἐς φυλακήν, παρῆλθεν ἐς τὴν μίλητον·
καὶ μηνὸς μὲν τροφὴν ὥσπερ ὑπέστη ἐν τῇ λακεδαίμονι
ἐς δραχμὴν ἀττικὴν ἑκάστῳ, πάσαις ταῖς ναυσὶ διέ
δωκε· τοῦ δὲ λοιποῦ χρόνου ἐβούλετο τριώβολον διδό
ναι· ἕως ἂν βασιλέα ἐπέρηται· ἢν δὲ κελεύῃ, ἔφη δώ
σειν ἐντελῆ τὴν δραχμήν· ἑρμοκράτους δὲ ἀντειπόντος
τοῦ συρακουσίου στρατηγοῦ, ὁ γὰρ θηριμένης οὐ ναύαρ
χος ὤν· ἀλλὰ ἀστυόχῳ παραδώσων τὰς ναῦς ξυνέπλει,
μαλακὸς ἦν περὶ τοῦ μισθοῦ· ὅμως δὲ παρὰ πέντε ναῦς,
πλέον, ἀνδρὶ ἑκάστῳ ἢ τρεῖς ὀβολοὶ ὡμολογήθησαν·

ταλάντου

γὰρ πέντε ναῦς καὶ πεντήκοντα· τριὰ τάλαντα ἐδίδου
τοῦ μηνός· καὶ τοῖς ἄλλοις ὅσῳ πλείους νῆες ἦσαν τούτου
τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον τοῦτον ἐδίδοτο· τοῦ δ᾽
αὐτοῦ χειμῶνος τοῖς ἐν τῇ σάμῳ ἀθηναίοις· προσαφιγμέναι
γὰρ ἦσαν καὶ οἴκοθεν ἄλλαι νῆες πέντε καὶ τριάκοντα· καὶ
στρατηγοὶ χαρμῖνος καὶ στρομβιχίδης· καὶ εὐκτήμων· καὶ
τὰς ἀπὸ χίου πάσας· καὶ τὰς ἄλλας ξυναγαγόντες, ἐβού
λοντο διακληρωσάμενοι· ἐπὶ μὲν τῇ μιλήτῳ τῷ ναυ
τικῷ ἐφορμεῖν· πρὸς δὲ τὴν χίον καὶ ναυτικὸν καὶ
πεζὸν πέμψαι· καὶ ἐποίησαν οὕτως. στρομβιχίδης
μὲν γὰρ καὶ ὀνομακλῆς καὶ εὐκτήμων τριάκοντα ναῦς
ἔχοντες, καὶ τῶν ἐς μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν
μέρος ἄγοντες ἐν ναυσὶν ὁπλιταγωγοῖς· ἐπὶ χίον
λαχόντες ἔπλεον· οἱ δ᾽ ἄλλοι ἐν σάμῳ μένοντες, τέσσαρ
σι καὶ ἑβδομήκοντα ναυσίν, ἐθαλασσοκράτουν· καὶ ἐ
πίπλουν τῇ μιλήτῳ ἐποιοῦντο· ὁ δ᾽ ἀστύοχος ὡς τότε ἐν τῇ
χίῳ ἔτυχε· διὰ τὴν προδοσίαν τοὺς ὁμήρους καταλεγό
μενος, τούτου μὲν ἐπέσχεν· ἐπειδὴ ᾔσθετο τάς τε με
τὰ θηραμένους ναῦς ἡκούσας καὶ τὰ περὶ τὴν ξυμμα
χίαν βελτίω ὄντα· λαβὼν δὲ ναῦς τάς τε πελοποννησί(ων)
δέκα· καὶ χίας δέκα ἀνάγεται· καὶ προσβαλὼν πτε
λεῷ καὶ οὐχ ἑλών, παρέπλευσεν ἐπὶ κλαζομενάς·
καὶ ἐκέλευσεν αὐτῶν τοὺς τὰ ἀθηναίων φρονοῦντας,
ἀνοικίζεσθαι ἐς τὸν δαφνοῦντα· καὶ προσχωρεῖν σφίσι·
ξυνεκέλευε δὲ καὶ τάμως ἰωνίας ὕπαρχος ὤν, ὡς δ᾽ οὐκ
ἐσήκουον, ἐς βολὴν ποιησάμενος τῇ πόλει, οὔσῃ ἀτειχίστῳ·
καὶ οὐ δυνάμενος ἑλεῖν, ἀπέπλευσεν ἀνέμῳ μεγάλῳ·
αὐτὸς μὲν, ἐς φώκαιαν καὶ κύμην· αἱ δ᾽ ἄλλαι νῆες
κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς κλαζομεναῖς νήσους.

μαραθοῦσσαν καὶ πήλην· καὶ δρύμουσαν· καὶ ὅσα ὑπε-
ξέκειτο αὐτόθι τῶν κλαζομενίων ἡμέρας ἐμμείναντες
διὰ τοὺς ἀνέμους ὀκτὼ· τὰ μὲν, διήρπασαν καὶ ἀνάλω-
σαν· τὰ δὲ ἐσβαλλόμενοι, ἀπέπλευσαν ἐς φώκαιαν
καὶ κύμην· καὶ ἀστύοχον· ὄντος δ' αὐτοῦ ἐνταῦθα λεσβίων
πρέσβεις ἀφικνοῦνται βουλόμενοι ἀποστῆναι· καὶ αὐτὸν
μὲν πείθουσιν· ὡς δ' οἵ τε κορίνθιοι καὶ οἱ ἄλλοι ξύμμαχοι
ἀπρόθυμοι ἦσαν διὰ τὸ πρότερον σφάλμα· ἄρας ἔ-
πλει ἐπὶ τῆς χίου· καὶ χειμασθεισῶν τῶν νεῶν, ὕστερον
ἀφικνοῦνται ἄλλαι ἄλλοθεν ἐς τὴν χίον· καὶ μετὰ τοῦτο
πεδάριτος τότε παριὼν πεζῇ ἐκ τῆς μιλήτου, γενόμενος
ἐν ἐρυθραῖς· διαπεραιοῦται αὐτός τε καὶ ἡ στρατιὰ
ἐς χίον· ὑπῆρχον δὲ αὐτῷ καὶ ἐκ τῶν πέντε νεῶν στρα-
τιῶται ἀπὸ χαλκιδέων ὡς πεντακόσιοι ξὺν ὅπλοις
καταλειφθέντες· ἐπαγγελλομένων δέ τινων λεσβίων
τὴν ἀπόστασιν, προσφέρει τῷ τε πεδαρίτῳ καὶ τοῖς χίοις
ἀστύοχος λόγον· ὡς χρὴ παραγενομένους ταῖς ναυσὶν
ἀποστῆσαι τὴν λέσβον· ἢ γὰρ ξυμμάχους πλείους σφᾶς
ἕξειν ἢ τοὺς ἀθηναίους ἤν τι σφάλλωνται κακώσειν· οἱ δ'
οὐκ ἐσήκουον· οὐδὲ τὰς ναῦς ὁ πεδάριτος ἔφη τῶν χίων
αὐτῷ προήσειν· καὶ ὁ μὲν λαβὼν τάς τε τῶν κορινθίων
πέντε καὶ ἕκτην μεγαρίδα καὶ μίαν ἑρμιονίδα· καὶ
ἃς αὐτὸς λακωνικὰς ἦλθεν ἔχων· ἔπλει ἐπὶ τῆς μιλήτου
πρὸς τὴν ναυαρχίαν· πολλὰ ἀπειλήσας τοῖς χίοις ἦ μὴν
μὴ ἐπιβοηθήσειν ἤν τι δέωνται· καὶ προσβαλὼν κω-
ρύκῳ τῆς ἐρυθραίας ἐνηυλίσατο· οἱ δ' ἀπὸ τῆς σάμου
ἀθηναῖοι ἐπὶ τὴν χίον πλέοντες τῇ στρατιᾷ· καὶ αὐτοὶ κατὰ τὸ
ἐπὶ θάτερα λόφου διειργόμενοι καθωρμίσαντο· καὶ
ἐλάνθανον ἀλλήλους· ἐλθούσης δὲ παρὰ πεδαρίτου

ἐπιστολῆς. ὡς ἐρυθραίων ἄνδρες αἰχμάλωτοι ἐκ σάμου
ἐπὶ προδοσίᾳ. ἐς ἐρυθρὰς ἥκουσιν ἀφειμένοι. ἀνά-
γεται ὁ ἀστύοχος εὐθὺς ἐς τὰς ἐρυθρὰς πάλιν. καὶ παρὰ το-
σοῦτον ἐγένετο αὐτῷ μὴ περιπεσεῖν τοῖς ἀθηναίοις. δι-
απλεύσας δὲ ὁ πεδάριτος παρ' αὐτόν, καὶ ἀναζητήσαντες
τὰ περὶ τῶν δοκούντων προδιδόναι. ὡς ηὗρον ἅπαν ἐπὶ
σωτηρίᾳ τῶν ἀνδρῶν ἐκ τῆς σάμου προφασισθέν, ἀπολύσαν-
τες τῆς αἰτίας, ἀπέπλευσαν. ὁ μὲν ἐς τὴν χίον. ὁ δὲ ἐς
τὴν μίλητον ἐκομίσθη ὥσπερ διενοεῖτο. ἐν τούτῳ δὲ καὶ ἡ
τῶν ἀθηναίων στρατιὰ ταῖς ναυσὶν ἐκ τοῦ κωρύκου περιπλέ-
ουσα κατὰ ἀργῖνον, ἐπιτυγχάνει τρισὶ ναυσὶ τῶν χίων μα-
κραῖς. καὶ ὡς εἶδον, ἐπεδίωκον. καὶ χειμών τε
μέγας ἐπιγίγνεται. καὶ αἱ μὲν τῶν χίων μόλις κατα-
φεύγουσιν ἐς τὸν λιμένα. αἱ δὲ τῶν ἀθηναίων, αἱ μὲν
μάλιστα ὁρμήσασαι τρεῖς διαφθείρονται. καὶ ἐκπί-
πτουσι πρὸς τὴν πόλιν τῶν χίων. καὶ ἄνδρες οἱ μὲν ἁ-
λίσκονται. οἱ δ' ἀποθνῄσκουσιν. αἱ δ' ἄλλαι καταφεύ-
γουσιν ἐς τὸν ὑπὸ τὸν μίμαντα λιμένα φοινικοῦντα κα-
λούμενον. ἐντεῦθεν δ' ὕστερον ἐς τὴν λέσβον καθορμι-
σάμενοι, παρεσκευάζοντο ἐς τὸν τειχισμόν. ἐκ δὲ τῆς πε-
λοποννήσου τοῦ αὐτοῦ χειμῶνος. ἱπποκράτης ὁ λακε-
δαιμόνιος ἐκπλεύσας. δέκα μὲν θουρίαις ναυσὶν ὧν
ἦρχε δωριεὺς ὁ διαγόρου τρίτος αὐτός. μιᾷ δὲ λακω-
νικῇ. μιᾷ δὲ συρακοσίᾳ. καταπλεῖ ἐς κνίδον. ἡ δ'
ἀφειστήκει ἤδη ἀπὸ τισσαφέρνους. καὶ αὐτοὺς οἱ ἐν τῇ μιλή-
τῳ ὡς ᾔσθοντο. ἐκέλευον ταῖς μὲν ἡμισέαις τῶν νεῶν
κνίδον φυλάσσειν. ταῖς δὲ περὶ τριόπιον οὔσαις, τὰς
ἀπ' αἰγύπτου ὁλκάδας προσβαλούσας ξυλλαμβάνειν.
ἔστι δὲ τὸ τριόπιον ἄκρα τῆς κνιδίας. προύχουσα ἀπο-

λωνος ἱερόν. πυθόμενοι δὲ οἱ ἀθηναῖοι καὶ πλεύσαντες
ἐκ τῆς σάμου. λαμβάνουσι τὰς ἐπὶ τῷ τριοπίῳ φρουρούσας
ἓξ ναῦς. οἱ δ' ἄνδρες ἀποφεύγουσιν ἐξ αὐτῶν. καὶ μετὰ
τοῦτο ἐς τὴν κνίδον καταπλεύσαντες, καὶ προσβαλόντες
τῇ πόλει ἀτειχίστῳ οὔσῃ, ὀλίγου εἷλον. τῇ δ' ὑστεραίᾳ αὖθις
προσέβαλον. καὶ ὡς ἄμεινον φραξαμένων αὐτῶν ἀπὸ
νυκτὸς. καὶ ἐπεσελθόντων αὐτοῖς τῶν ἀπὸ τοῦ τριοπί
ου ἐκ τῶν νεῶν διαφυγόντων, οὐκέθ' ὁμοίως ἔβλαπτον. ἀ
πελθόντες δὲ καὶ δῃώσαντες τὴν τῶν κνιδίων γῆν, ἐς
τὴν σάμον ἀπέπλευσαν. ὑπὸ τὸν αὐτὸν χρόνον ἀστυόχου
ἥκοντος ἐς τὴν μίλητον ἐπὶ τὸ ναυτικόν, οἱ πελοποννή
σιοι εὐπόρως ἔτι εἶχον ἅπαντα τὰ κατὰ τὸ στρατόπεδον
καὶ γὰρ μισθὸς ἐδίδοτο ἀρκούντως. καὶ τὰ ἐκ τῆς ἰα
σοῦ μεγάλα χρήματα διαρπασθέντα, ὑπῆν τοῖς στρατι
ώταις. οἵ τε μιλήσιοι προθύμως τὰ τοῦ πολέμου ἔφερον.
πρὸς δὲ τὸν τισσαφέρνην ἐδόκουν ὅμως τοῖς πελοποννη
σίοις αἱ πρῶται ξυνθῆκαι αἱ πρὸς χαλκιδέα γενόμεναι,
ἐνδεεῖς εἶναι. καὶ πρὸς σφῶν μᾶλλον. καὶ ἄλλας ἐπὶ
θηραμένους παρόντος ἐποίουν. καὶ εἰσὶν αἵδε. ξυνθῆ
και λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς βασιλέα
δαρεῖον. καὶ τοὺς παῖδας τοῦ βασιλέως καὶ τισσαφέρνην
σπονδὰς εἶναι καὶ φιλίαν κατὰ τάδε. ὁπόση χώρα βα
σιλέως καὶ πόλεις εἰσὶ δαρείου ἢ τοῦ πατρὸς ἦσαν ἢ τῶν
προγόνων, ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ. μηδὲ
κακῷ μηδενί. μήτε λακεδαιμονίους, μήτε τοὺς ξυμμά
χους τοὺς λακεδαιμονίων, μήτε φόρους πράσσεσθαι ἐκ τῶν
πόλεων τούτων. μήτε λακεδαιμονίους, μήτε τοὺς ξυμμά
χους τῶν λακεδαιμονίων, μηδὲ δαρεῖον βασιλέα. μηδὲ
ὧν ὁ βασιλεὺς ἄρχει, ἐπὶ λακεδαιμονίους. μηδὲ ξυμ

μαχοις ἰέναι ἐπὶ πολέμῳ· μηδὲ κακώσει μηδενί· ἢν δέ τι
δέωνται λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι βασιλέως· ἢ βασι
λεὺς λακεδαιμονίων ἢ τῶν ξυμμάχων· ὅτι ἂν πείθωσιν ἀλ
λήλους τοῦτο ποιοῦσι καλῶς ἔχειν· τὸν δὲ πόλεμον τὸν πρὸς
ἀθηναίους καὶ τοὺς ξυμμάχους· κοινῇ ἀμφοτέρους πολε
μεῖν· ἢν δὲ κατάλυσιν ποιῶνται, κοινῇ ἀμφοτέρους ποι
εῖσθαι· ὁπόσον δ' ἂν στρατιὰ ἐν τῇ χώρᾳ τῇ βασιλέως ᾖ, μετα
πεμψαμένου βασιλέως· τὴν δαπάνην βασιλέα παρέ
χειν· ἢν δέ τις τῶν πόλεων ὁπόσαι ξυνέθεντο βασιλεῖ· ἐπὶ
τὴν βασιλέως ἴῃ χώραν, τοὺς ἄλλους κωλύειν· καὶ ἀμύνειν
βασιλεῖ κατὰ τὸ δυνατόν· καὶ ἤν τις τῶν ἐν τῇ βασιλέως
χώρᾳ, ἢ ὅσης βασιλεὺς ἄρχει ἐπὶ τὴν λακεδαιμονίων ἴῃ
ἢ τῶν ξυμμάχων, βασιλεὺς κωλυέτω· καὶ ἀμυνέτω κατὰ
τὸ δυνατόν· μετὰ δὲ ταύτας τὰς ξυνθήκας θηραμέ
νης μὲν παραδοὺς ἀστυόχῳ τὰς ναῦς, ἀποπλέων ἐν κέλητι
ἀφανίζεται· οἱ δ' ἐκ τῆς λέσβου ἀθηναῖοι ἤδη διαβεβη
κότες ἐς τὴν χίον τῇ στρατιᾷ, καὶ κρατοῦντες γῆς καὶ θαλάσσης
δελφίνιον ἐτείχιζον χωρίον· ἄλλως τε ἐχυρὸν ἀπὸ γῆς καὶ
λιμένας ἔχον· καὶ τῆς τῶν χίων πόλεως, οὐ πολὺ ἀπέχον·
οἱ δὲ χῖοι ἐν ταῖς πρὶν μάχαις πολλαῖς πεπληγμένοι, καὶ
ἄλλως ἐν σφίσιν αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι, ἀλλὰ καὶ
τῶν μετὰ τυδέως τοῦ ἴωνος ἤδη ὑπὸ πεδαρίτου ἐπ' ἀτ
τικισμῷ τεθνεώτων, καὶ τῆς ἄλλης πόλεως κατ' ἀνάγκην ἐς
ὀλίγους κατεχομένης, ὑπόπτως διακείμενοι ἀλλήλοις, ἡ
σύχαζον· καὶ οὔτ' αὐτοὶ διὰ ταῦτα· οὔθ' οἱ μετὰ πεδαρίτου
ἐπίκουροι, ἀξιόμαχοι αὐτοῖς ἐφαίνοντο· ἐς μέντοι τὴν
μίλητον ἔπεμπον· κελεύοντες σφίσι τὸν ἀστύοχον βοη
θεῖν· ὡς δ' οὐχ ὑπήκουεν, ἐπιστέλλει περὶ αὐτοῦ ἐς τὴν λα
κεδαίμονα ὁ πεδάριτος ὡς ἀδικοῦντος· καὶ τὰ μὲν

εὐτυχίᾳ· ἐς τοῦτο καθεστήκει τοῖς ἀθηναίοις. αἱ δὲ τῆς σά-
μου νῆες αὐτοῖς, ἐπίπλους μὲν ἐποιοῦντο ταῖς ἐν τῇ μιλή-
τῳ, ἐπεὶ δὲ μὴ ἀντανάγοιεν ἀναχωροῦντες πάλιν ἐς τὴν σάμον,
ἡσύχαζον. ἐκ δὲ τῆς πελοποννήσου ἐν τῷ αὐτῷ χειμῶνι αἱ τῷ
φαρναβάζῳ ἀπὸ καλλιγείτου τοῦ μεγαρέως καὶ τιμαγόρου
τοῦ κυζικηνοῦ πρασσόντων, παρασκευασθεῖσαι ὑπὸ λακε-
δαιμονίων ἑπτὰ καὶ εἴκοσι νῆες, ἄρασαι ἔπλεον ἐπ' ἰω-
νίας περὶ ἡλίου τροπάς· καὶ ἄρχων ἐπέπλει αὐτῶν, ἀντισθέ-
νης σπαρτιάτης· ξυνέπεμψαν δὲ οἱ λακεδαιμόνιοι καὶ ἕν-
δεκα ἄνδρας σπαρτιατῶν ξυμβούλους ἀστυόχῳ· ὧν εἷς ἦν
λίχας ὁ ἀρκεσιλάου· καὶ εἴρητο αὐτοῖς ἐς μίλητον ἀφι-
κομένους, τῶν τε ἄλλων ξυνεπιμελεῖσθαι ᾗ μέλλει ἄριστα
ἕξειν· καὶ τὰς ναῦς ταύτας ἢ αὐτὰς ἢ πλείους ἢ καὶ ἐλάσσους
ἐς τὸν ἑλλήσποντον ὡς φαρνάβαζον ἢν δοκῇ ἀποπέμπειν·
κλέαρχον τὸν ῥαμφίου· ὃς ξυνέπλει ἄρχοντα προστάξαν-
τας· καὶ ἀστύοχον ἢν δοκῇ τοῖς ἕνδεκα ἀνδράσι παύειν τῆς
ναυαρχίας· ἀντισθένη δὲ καθιστάναι· πρὸς γὰρ τὰς τοῦ
πεδαρίτου ἐπιστολὰς ὑπώπτευον αὐτόν· πλέουσαι οὖν
αἱ νῆες ἀπὸ μαλέας πελάγιαι μήλῳ προσέβαλον· καὶ
περιτυχόντες ναυσὶ δέκα ἀθηναίων τὰς τρεῖς λαμβάνουσι
κενὰς καὶ κατακαίουσι· μετὰ δὲ τοῦτο δεδιότες μὴ αἱ
διαφυγοῦσαι τῶν ἀθηναίων ἐκ τῆς μήλου, νῆες, ὅπερ ἐγέ-
νετο, μηνύσωσι τοῖς ἐν τῇ σάμῳ τὸν ἐπίπλουν αὐτῶν πρὸς τὴν
κρήτην πλεύσαντες, καὶ μακρότερον τὸν πλοῦν διὰ φυλακῆς
ποιησάμενοι, ἐς τὴν καῦνον τῆς ἀσίας κατῆραν. ἐντεῦθεν
δὴ ὡς ἐν ἀσφαλεῖ ὄντες, ἀγγελίαν ἔπεμπον ἐπὶ τὰς ἐν τῇ
μιλήτῳ ναῦς, τοῦ ξυμπαρακομισθῆναι. οἱ δὲ χῖοι καὶ πε-
δάριτος κατὰ τὸν αὐτὸν χρόνον οὐδὲν ἧσσον, καίπερ δια-
μέλλοντα τὸν ἀστύοχον πέμποντες ἀγγέλους ἠξίουν σφί-

πολιορκουμένοις βοηθῆσαι ἁπάσαις ταῖς ναυσί· καὶ μὴ
περιιδεῖν τὴν μεγίστην τῶν ἐν ἰωνίᾳ ξυμμαχίδων πόλεων
ἔκ τε θαλάσσης εἰργομένην· καὶ κατὰ γῆν λῃστείαις πορθου-
μένην· οἱ γὰρ οἰκέται τοῖς χίοις πολλοὶ ὄντες· καὶ μιᾷ γε πό-
λει πλὴν λακεδαιμονίων πλεῖστοι γενόμενοι· καὶ ἅμα διὰ
τὸ πλῆθος χαλεπωτέρως ἐν ταῖς ἀδικίαις κολαζόμενοι,
ὡς ἡ στρατιὰ τῶν ἀθηναίων βεβαίως ἔδοξε μετὰ τειχίσεως ἱ-
δρῦσθαι. εὐθὺς αὐτομολίᾳ τε ἐχώρησαν οἱ πολλοὶ πρὸς
αὐτούς· καὶ τὰ πλεῖστα κακὰ ἐπιστάμενοι τὴν χώραν οὗ-
τοι ἔδρασαν. ἔφασαν οὖν οἱ χῖοι ἕως ἔτι ἐλπὶς
καὶ δυνατὸν κωλῦσαι τειχιζομένου τοῦ δελφινίου, καὶ
ἀτελοῦς ὄντος καὶ στρατοπέδου καὶ ναυσίν, ἔρυμα μεῖ-
ζον προσπεριβαλλομένου, βοηθῆσαι σφίσιν· ὁ δὲ ἀ-
στύοχος καίπερ οὐ διανοούμενος διὰ τὴν τότε ἀπειλήν, ὡς
ἑώρα καὶ τοὺς ξυμμάχους προθύμους ὄντας, ὥρμητο ἐς τὸ
βοηθεῖν· ἐν τούτῳ δὲ ἐκ τῆς καύνου παραγίγνεται ἀγγελία
ὅτι αἱ ἑπτὰ καὶ εἴκοσι νῆες καὶ οἱ τῶν λακεδαιμονίων ξύμ-
βουλοι πάρεισι· καὶ νομίσας πάντα ὕστερα εἶναι τἆλλα,
πρὸς τὸ ναῦς τε ὅπως θαλασσοκρατοῖεν μᾶλλον τοσαύτας
ξυμπαρακομίσαι, καὶ τοὺς λακεδαιμονίους, οἳ ἧκον κα-
τάσκοποι αὐτοῦ ἀσφαλῶς περαιωθῆναι, εὐθὺς ἀφεὶς τὸ
ἐς τὴν χίον, ἔπλει ἐς τὴν καῦνον· καὶ ἐς κῶν τὴν μεροπί-
δα ἐν τῷ παράπλῳ ἀποβάς· τήν τε πόλιν ἀτείχιστον οὖσαν, καὶ
ὑπὸ σεισμοῦ ὃς αὐτοῖς ἔτυχε μέγιστός γε δὴ ὧν μεμνήμεθα
γενόμενος ξυμπεπτωκυῖαν, ἐκπορθεῖ, τῶν ἀνθρώπων ἐς τὰ ὄ-
ρη πεφευγότων, καὶ τὴν χώραν καταδρομαῖς λείαν ἐ-
ποιεῖτο· πλὴν τῶν ἐλευθέρων· τούτους δὲ ἀφίει· ἐκ δὲ
τῆς κῶ ἀφικόμενος ἐς τὴν κνίδον νυκτός, ἀναγκάζεται
ὑπὸ τῶν κνιδίων παραινούντων μὴ ἐκβιβάσαι τοὺς ναύτας

ἀλλ᾽ ὥσπερ εἶχε πλεῖν εὐθὺς ἐπὶ τὰς τῶν ἀθηναίων ναῦς εἴ-
κοσι, ἃς ἔχων χαρμῖνος εἷς τῶν ἐν σάμῳ στρατηγῶν, ἐ-
φύλασσε ταύτας· καὶ ἑπτὰ καὶ εἴκοσι ναῦς ἐκ τῆς πελοπον-
νήσου προσπλεούσας· ἐφ᾽ ἅσπερ καὶ ὁ ἀστύοχος παρέπλει·
ἐπύθοντο δὲ οἱ ἐν τῇ σάμῳ τὸν ἐκ τῆς μιλήτου τὸν ἐπίπλουν
αὐτῶν· καὶ ἡ φυλακὴ τῷ χαρμίνῳ περὶ τὴν σύμην· καὶ χάλ-
κην· καὶ ῥόδον· καὶ περὶ τὴν λυκίαν ἦν· ἤδη γὰρ ᾐσθά-
νετο καὶ ἐν τῇ καύνῳ οὔσας αὐτάς· ἐπέπλει οὖν ὥσπερ εἶχε
πρὸς τὴν σύμην ὁ ἀστύοχος, πρὶν ἔκπυστος γενέσθαι, εἴ πως
περιλάβοι που μετεώρους τὰς ναῦς· καὶ αὐτὸν ὑετός τε
καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ξυννέφελα ὄντα· πλάνησιν τῶν
νεῶν ἐν τῷ σκότει καὶ ταραχὴν παρέσχε· καὶ ἅμα τῇ ἕῳ
διεσπασμένου τοῦ ναυτικοῦ· καὶ τοῦ μὲν φανεροῦ
ἤδη ὄντος τοῖς ἀθηναίοις τοῦ εὐωνύμου κέρως, τοῦ δὲ
ἄλλου περὶ τὴν νῆσον ἔτι πλανωμένου, ἐπανάγονται κα-
τὰ τάχος ὁ χαρμῖνος καὶ οἱ ἀθηναῖοι ἐλάσσοσιν ἢ ταῖς
εἴκοσι ναυσί, νομίσαντες ἅσπερ ἐφύλασσον ναῦς
τὰς ἀπὸ τῆς καύνου ταύτας εἶναι· καὶ προσπεσόντες εὐθὺς
κατέδυσάν τε τρεῖς· καὶ κατετραυμάτισαν ἄλλας· καὶ ἐν
τῷ ἔργῳ ἐπεκράτουν, μέχρις οὗ ἐπεφάνησαν αὐτοῖς
παρὰ δόξαν αἱ πλείους τῶν νεῶν· καὶ πανταχόθεν ἀπε-
κλῄοντο· ἔπειτα δὲ ἐς φυγὴν καταστάντες ἓξ μὲν ναῦς
ἀπολλύουσι· ταῖς δὲ λοιπαῖς καταφεύγουσιν ἐς τεῦτ-
λουσσαν νῆσον· ἐντεῦθεν δὲ ἐς ἁλικαρνασσόν· μετὰ
δὲ τοῦτο οἱ μὲν πελοποννήσιοι ἐς κνίδον κατάραντες,
καὶ ξυμμιγεισῶν τῶν ἐκ τῆς καύνου ἑπτὰ καὶ εἴκοσι
νεῶν αὐτοῖς, ξυμπάσαις πλεύσαντες, καὶ τροπαῖον
ἐν τῇ σύμῃ στήσαντες, πάλιν ἐς τὴν κνίδον καθωρμίσαντο.
οἱ δὲ ἀθηναῖοι ταῖς ἐν τῆς σάμου ναυσί πάσαις, ὡς ᾔσθοντο

τὰ τῆς ναυμαχίας πλεύσαντες εἰς τὴν σύμμαχον. καὶ ἐπὶ τῷ
τὸ ἐν τῇ Κνίδῳ ναυτικὸν οὐχ ὁρμίσαντες, οὐδὲ ἐκεῖνοι ἐπε-
κείνους. λαβόντες δὲ τὰ ἐκ τῆς συμμαχίδος τῶν νεῶν καὶ
λωζομένοις τοῖς ἐν τῇ ἑτέρᾳ προσβαλόντες, ἀπέπλευσαν
εἰς τὴν Σάλμον. ἅπασαι δὲ δὴ οὐ θέλουσαι ἐν τῇ Κνίδῳ αὐτῶν πλο-
πονησίων νῆες, ἐπεσκεύαζον τότε ἤδη. καὶ περὶ τὸν
Καταφέρνην, παρεγένετο γὰρ λόγους εἶπον οὗτοι· οἱ ἐν
δίκῃ ἄνδρες τῶν Λακεδαιμονίων. ἐπεὶ δὲ τῶν ἤδη πε-
πραγμένων ἔτι μὴ ἤρεσκον αὐτοῖς καὶ περὶ τοῦ μέλλοντος
πολέμου ὅτῳ τρόπῳ ἄλεισα καὶ ξυμφορώτατα ἀμφοτέ-
ροις πολεμήσεται. μάλιστα δὲ ὁ λέγων εἰς ὅ,τι τὰ πο-
σύμμαχα. καὶ τὰς σπονδὰς οὐ δεῖ τε ἔχειν οὔτε τὰς θήρας
ἐφ' ἧς καλῶς ζητεῖσθαι. ἀγαθὸν ἦν εἶναι ἡ χώρας ὅ-
σης βασιλεὺς καὶ οἱ πρόγονοι ἦρχον πρότερον, ταύτης
καὶ νῦν ἀξιώσει κρατεῖν. ἐκεῖ γὰρ καὶ νήσους ἀπαλλο-
παγίνου βουλεύει. καὶ θεσσαλίαν καὶ λοκρούς· καὶ τὰ μα-
χεῖ βοιωτῶν. καὶ αὐτῷ μυθολογίας αὖ ἅμα δὴ καὶ ἀρχὴν
τοῖς Ἕλλησι τοὺς Λακεδαιμονίους πείθεσθαι. ἑτέρας
ὅπου ἐκέλευε βελτίους αὐτοῦ δέχεσθαι ἢ ταύταις χρούσθαι(?) ... ρασ-
θαι. οὐ δὲ τῆς σοφίας ἐπὶ τούτοις δέχεσθαι οὐδέν. ἀτα
ναυτῶν δὲ ὅμως Καταφέρνης ἀπεχώρησε ἀπάντων
δι' ὀργῆς καὶ ἄπρακτος. οἱ δὲ τὴν Ῥόδον ἐπικηρυσσο-
μένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν, τὴν γνώμην ἔχον-
πλεῖν. ἐλπίζοντες νῆσον τε οὖσαν ἀδύνατον καὶ ναυβάταις
πλήθει καὶ πεζῶν προσάξεσθαι. καὶ ἀμφισβητοῦντες οἱ
τοῖ ἀπὸ τῆς παρούσης ξυμμαχίας δυνατοὶ ἔσεσθαι
Καταφέρνη μὴ αὐτοῦ ὄντες χρήματα τρέφειν ναυτ.
πλεύσαντες ὅθεν εὐθὺς ἐν τῷ αὐτῷ χειμῶνι ἐκ τῆς Κνίδου,
καὶ προσβαλόντες καὶ μέρει τῆς Ῥοδίας, πρῶτον ναυσὶν

τέσσαρσι καὶ ἐνενήκοντα, ἐξεφόβησαν μὲν τοὺς πολλοὺς
οὐκ εἰδότας τὰ πρασσόμενα· καὶ ἔφευγον· ἄλλως τε καὶ
ἀτειχίστου οὔσης τῆς πόλεως· ἔπειτα ξυγκαλέσαντες οἱ λα
κεδαιμόνιοι τούτους τε καὶ τοὺς ἐκ τοῖν δυοῖν πολέοιν
λίνδου τε καὶ ἰηλυσοῦ ῥοδίους, ἔπεισαν ἀποστῆναι ἀθη
ναίων· καὶ προσεχώρησε ῥόδος πελοποννησίοις· οἱ δὲ
ἀθηναῖοι κατὰ τὸν καιρὸν τοῦτον, ταῖς ἐκ τῆς σάμου ναυσὶ
αἰσθόμενοι ἔπλευσαν μὲν βουλόμενοι φθάσαι· καὶ ἐ
φάνησαν πελάγιοι· ὕστερον δὲ οὐ πολλῷ, τὸ μὲν
παραχρῆμα ἀπέπλευσαν ἐς χάλκην· ἐντεῦθεν δὲ ἐς σάμον
ὕστερον δὲ ἐκ τῆς χάλκης· καὶ ἐκ τῆς κῶ· καὶ ἐκ τῆς σάμου
τοὺς ἐπίπλους ποιούμενοι ἐπὶ τὴν ῥόδον ἐπολέμουν· οἱ
δὲ χρήματα μὲν ἐξέλεξαν ἐς δύο καὶ τριάκοντα τάλαντα
οἱ πελοποννήσιοι παρὰ τῶν ῥοδίων· τὰ δ' ἄλλα ἡσύχαζον
ἡμέρας ὀγδοήκοντα ἀνελκύσαντες τὰς ναῦς· ἐν δὲ τούτῳ
καὶ ἔτι πρότερον πρὶν ἐς τὴν ῥόδον αὐτοὺς ἀναστῆναι τάδε
ἐπράσσετο· ἀλκιβιάδης μετὰ τὸν χαλκιδέως θάνατον
καὶ τὴν ἐν μιλήτῳ μάχην τοῖς πελοποννησίοις ὕποπτος
ὤν, καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς πρὸς ἀστύοχον
ἐκ λακεδαίμονος ὥστε ἀποκτεῖναι, ἦν γὰρ τῷ ἄγιδι
ἐχθρός· καὶ ἄλλως ἄπιστος ἐφαίνετο, πρῶτον μὲν ὑπο
χωρεῖ δείσας παρὰ τισσαφέρνην· ἔπειτα ἐκάκου πρὸς
αὐτὸν ὅσον ἐδύνατο μάλιστα τῶν πελοποννησίων τὰ
πράγματα· καὶ διδάσκαλος πάντων γιγνόμενος τήν τε
μισθοφορὰν ξυνέτεμεν, ἀντὶ δραχμῆς ἀττικῆς ὥστε
τριώβολον καὶ τοῦτο μὴ ξυνεχῶς δίδοσθαι, λέγειν κε
λεύων τὸν τισσαφέρνην πρὸς αὐτούς· ὡς ἀθηναῖοι ἐκ
πλέονος χρόνου ἐπιστήμονες ὄντες τοῦ ναυτικοῦ τριώ
βολον τοῖς ἑαυτῶν διδόασιν· οὐ τοσοῦτον πενίᾳ ὅσον, ἵνα

αὐτῶν μὴ οἱ ναῦται ἐκ περιουσίας ὑβρίζοντες, οἱ μὲν τὰ
σώματα χείρω ἔχωσι δαπανῶντες ἐς τοιαῦτα ἀφ' ὧν ἡ ἀσθέ-
νεια ξυμβαίνει· οἱ δὲ τὰς ναῦς ἀπολείποντες, ἐς ὁμηρεί-
αν τὸν προσοφειλόμενον μισθόν· καὶ τοὺς τριηράρχους καὶ
τοὺς στρατηγοὺς τῶν πόλεων ἐδίδασκεν· ὥστε δόντα
χρήματα αὐτὸν πεῖσαι· ὥστε ξυγχωρῆσαι ταῦτα ἑαυτῷ πλὴν
τῶν συρακοσίων· τούτων δὲ ἑρμοκράτης ἠναντιοῦτο
μόνος ὑπὲρ τοῦ ξύμπαντος ξυμμαχικοῦ· τάς τε πόλεις
δεομένας χρημάτων ἀπήλασε, αὐτὸς ἀντιλέγων ὑπὲρ τοῦ
τισσαφέρνους· ὡς οἱ μὲν χῖοι ἀναίσχυντοι εἶεν πλουσιώτα-
τοι ὄντες τῶν ἑλλήνων· ἐπικουρίᾳ δὲ ὅμως σῳζόμενοι
ἀξιοῦσι καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασιν, ἄλλους ὑπὲρ τῆς
ἐκείνων ἐλευθερίας κινδυνεύειν· τὰς δ' ἄλλας πόλεις ἔφη
ἀδικεῖν· αἳ ἐς ἀθηναίους πρότερον ἢ ἀποστῆναι ἀνα-
λοῦντες, εἰ μὴ καὶ νῦν τοσαῦτα καὶ ἔτι πλείω ὑπὲρ σφῶν αὐ-
τῶν ἐθελήσουσιν ἐσφέρειν· τόν τε τισσαφέρνην ἀπέφαι-
νε νῦν μὲν τοῖς ἰδίοις χρήμασι πολεμοῦντα, εἰκότως φει-
δόμενον· ἢν δέ ποτε τροφὴ καταβῇ παρὰ βασιλέως, ἐν-
τελῆ αὐτοῖς ἀποδώσειν τὸν μισθόν· καὶ τὰς πόλεις τὰ
εἰκότα ὠφελήσειν· παρῄνει δὲ καὶ τῷ τισσαφέρνει, μὴ
ἄγαν ἐπείγεσθαι τὸν πόλεμον διαλῦσαι· μηδὲ βουλη-
θῆναι κομίσαντα ἢ ναῦς φοινίσσας ἃς παρεσκευάζετο, ἢ ἕλ-
λησι πλέοσι μισθὸν πορίζοντα τοῖς αὐτοῖς τῆς τε γῆς καὶ
θαλάσσης τὸ κράτος δοῦναι· ἔχειν δὲ ἀμφοτέρους ἐᾶν
δίχα τὴν ἀρχὴν καὶ βασιλεῖ ἐξεῖναι, ἐπὶ τοὺς αὐτῷ λυ-
πηροὺς τοὺς ἑτέρους ἐπάγειν· γενομένης δ' ἂν καθ' ἓν τῆς
ἐς γῆν καὶ θάλασσαν ἀρχῆς, ἀπορεῖν ἂν αὐτὸν οἷς τοὺς
κρατοῦντας ξυγκαθαιρήσει· ἢν μὴ αὐτὸς βούληται μεγά-
λῃ δαπάνῃ καὶ κινδύνῳ ἀναστάς ποτε διαγωνίσασθαι.

εὐτελεῖ τε ῥᾳδίως δὲ τὰ δεινὰ βραχεῖ μορίῳ τῆς δαπάνης· καὶ ἅμα
μετὰ τῆς ἑαυτοῦ ἀσφαλείας αὐτοὺς περὶ ἑαυτοὺς τοὺς ἕλληνας
κατατρίψαι· ἐπιτηδειοτέρους τε ἔφη τοὺς ἀθηναίους εἶναι
κοινωνοὺς αὐτῷ τῆς ἀρχῆς· ἧσσον γὰρ τῶν κατὰ γῆν ἐφίεσθαι
τόν λόγον τε ξυμφορώτατον καὶ τὸ ἔργον ἔχοντας πολεμεῖν·
τοὺς μὲν γὰρ ἂν ξυγκαταδουλοῦν ἂν σφίσι τε αὐτοῖς τὸ τῆς
θαλάσσης μέρος, καὶ ἐκείνῳ ὅσοι ἐν τῇ βασιλέως ἕλλη-
νες οἰκοῦσι· τοὺς δὲ τοὐναντίον ἐλευθερώσαντας ἥκειν· καὶ
οὐκ εἰκὸς εἶναι λακεδαιμονίους ἀπὸ μὲν σφῶν τῶν ἑλλή-
νων ἐλευθεροῦν τοὺς ἕλληνας· ἀπὸ δὲ ἐκείνων τῶν βαρβά-
ρων, ἢν μή ποτε αὐτοὺς μὴ ἐξέλωσι, μὴ ἐλευθερῶσαι·
τρίβειν οὖν ἐκέλευε πρῶτον ἀμφοτέρους· καὶ ἀποτε-
μόμενον ὡς μέγιστα ἀπὸ τῶν ἀθηναίων, ἔπειτα ἤδη τοὺς
πελοποννησίους ἀπαλλάξαι ἐκ τῆς χώρας· καὶ διενοεῖτο
τὸ πλέον οὕτως ὁ τισσαφέρνης ὅσα γε ἀπὸ τῶν ποιουμένων
ἦν εἰκάσαι· τῷ ἀλκιβιάδῃ διὰ ταῦτα ὡς εὖ περὶ τούτων
παραινοῦντι προσθεὶς ἑαυτὸν ἐς πίστιν, τήν τε τροφὴν
κακῶς ἐπόριζε τοῖς πελοποννησίοις· καὶ ναυμαχεῖν
οὐκ εἴα· ἀλλὰ καὶ τὰς φοινίσσας ναῦς φάσκων ἥξειν
καὶ ἐκ περιόντος ἀγωνιεῖσθαι, ἔφθειρε τὰ πράγματα·
καὶ τὴν ἀκμὴν τοῦ ναυτικοῦ αὐτῶν ἀφείλετο γενομένην,
καὶ πάνυ ἰσχυράν· τά τε ἄλλα καταφανέστερον ἢ
ὥστε λανθάνειν οὐ προθύμως· ὁ δὲ ἀλκιβιάδης ταῦτα ἅ-
μα μὲν τῷ τισσαφέρνει καὶ τῷ βασιλεῖ ὢν παρ᾽ ἐκείνοις ἄ-
ριστα εἶναι νομίζων παρῄνει· ἅμα δὲ τὴν ἑαυτοῦ κάθο-
δον ἐς τὴν πατρίδα ἐπιθεραπεύων, εἰδὼς εἰ μὴ διαφθερεῖ
αὐτὴν ὅτι ἔσται ποτὲ αὐτῷ πείσαντι κατελθεῖν· πείσειν δ᾽
ἐνόμιζε μάλιστα ἐκ τοῦ τοιούτου· εἰ τισσαφέρνης φαί-
νοιτο αὐτῷ ἐπιτήδειος ὤν· ὅπερ καὶ ἐγένετο· ἐπειδὴ

γὰρ ᾔσθοντο αὐτὸν ἰσχύοντα παρ' αὐτῷ· οἱ ἐν τῇ Σάμῳ ἀθη-
ναίων στρατιῶται. τὰ μὲν, καὶ ἀλκιβιάδου προσπέμ-
ψαντος λόγους ἐς τοὺς δυνατωτάτους αὐτῶν ἄνδρας ὥστε
μνησθῆναι περὶ αὐτοῦ ἐς τοὺς βελτίστους τῶν ἀνθρώπων· ὅτι
ἐπ' ὀλιγαρχίᾳ βούλεται καὶ οὐ πονηρίᾳ· οὐδὲ δημοκρα-
τίᾳ τῇ αὐτὸν ἐκβαλούσῃ, κατελθὼν καὶ παρασχὼν
τισσαφέρνην φίλον αὐτοῖς ξυμπολιτεύειν· τὸ δὲ πλέον
καὶ ἀπὸ σφῶν αὐτῶν οἱ ἐν τῇ Σάμῳ τριήραρχοί τε τῶν ἀθη-
ναίων καὶ δυνατώτατοι, ὥρμηντο ἐς τὸ καταλῦσαι τὴν
δημοκρατίαν· καὶ ἐκινήθη πρότερον ἐν τῷ στρατοπέδῳ
τοῦτο· καὶ ἐς τὴν πόλιν ἐντεῦθεν ὕστερον, τῷ τε ἀλκιβιάδῃ
διαβάντες τινὲς ἐκ τῆς Σάμου ἐς λόγους ἦλθον· καὶ ὑπο-
τείνοντος αὐτοῦ καὶ τισσαφέρνην μὲν πρῶτον, ἔπειτα
καὶ βασιλέα φίλον ποιήσειν· εἰ μὴ δημοκρατοῖντο· οὕτω
γὰρ ἄν, πιστεῦσαι μᾶλλον βασιλέα πολλὰς ἐλπίδας εἶχον·
αὐτοί τε αὐτοῖς οἱ δυνατοὶ τῶν πολιτῶν τὰ πράγματα οἵ-
περ καὶ ταλαιπωροῦνται μάλιστα ἐς αὐτοὺς περιποιήσειν·
καὶ τῶν πολεμίων ἐπικρατήσειν· ἔς τε τὴν Σάμον ἐλθόντες,
ξυνίστασάν τε τῶν ἀνθρώπων τοὺς ἐπιτηδείους ἐς ξυνωμοσίαν· καὶ
τοὺς πολλοὺς φανερῶς ἔλεγον· ὅτι βασιλεὺς σφίσι φίλος
ἔσοιτο· καὶ χρήματα παρέξοι· ἀλκιβιάδου τε κατελθόντος·
καὶ μὴ δημοκρατουμένων· καὶ ὁ μὲν ὄχλος εἰ καί τι πα-
ραυτίκα ἤχθετο τοῖς πρασσομένοις, διὰ τὸ εὔπορον τῆς
ἐλπίδος τοῦ βασιλέως μισθοῦ, ἡσύχαζεν· οἱ δὲ ξυνιστάν-
τες τὴν ὀλιγαρχίαν ἐπειδὴ τῷ πλήθει ἐκοίνωσαν, αὖθις
καὶ σφίσιν αὐτοῖς καὶ τοῦ ἑταιρικοῦ τῷ πλέονι· τὰ ἀπὸ
τοῦ ἀλκιβιάδου ἐσκόπουν· καὶ τοῖς μὲν ἄλλοις ἐφαίνετο
εὔπορα καὶ πιστά· φρυνίχῳ δὲ στρατηγῷ ἔτι ὄντι οὐ-
δὲν ἤρεσκεν· ἀλλ' ὅ τε ἀλκιβιάδης ὅπερ καὶ ἦν· καὶ οὐ μᾶλλον

μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεῖσθαι ἐδόκει αὐτῷ καὶ
ἄλλο σκοπεῖσθαι ἢ ὅτῳ τρόπῳ ἐκ τοῦ παρόντος κόσμου τὴν πό-
λιν μεταστήσας ὑπὸ τῶν ἑταίρων παρακληθεὶς κάτεισι· σφί-
σι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα ὅπως μὴ στασιάσωσι τῷ
βασιλεῖ· καὶ οὐκ εὔπορον εἶναι· καὶ πελοποννησίων ἤδη
ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων καὶ πόλεις ἐχόντων ἐν τῇ αὐ-
τοῦ ἀρχῇ οὐκ ἐλαχίστας ἀθηναίοις προσθέμενον οἷς οὐ
πιστεύει πράγματα ἔχειν· ἐξὸν πελοποννησίους, ὑφ' ὧν
δὲ κακὸν οὐδὲν πέπονθε φίλους ποιήσασθαι· τάς τε ξυμμα-
χίδας πόλεις αἷς ὑπεσχῆσθαι δὴ σφᾶς ὀλιγαρχίαν, ὅτι
δὴ καὶ αὐτοὶ οὐ δημοκρατήσονται εὖ εἰδέναι ἔφη ὅτι
οὐδὲν μᾶλλον σφίσιν, οὔθ' αἱ ἀφεστηκυῖαι προσχωρήσουσιν
οὔθ' αἱ ὑπάρχουσαι βεβαιότεραι ἔσονται· οὐ γὰρ βουλή-
σεσθαι αὐτοὺς μετ' ὀλιγαρχίας ἢ δημοκρατίας δουλεύειν
μᾶλλον ἢ μεθ' ὁποτέρου ἂν τύχωσι τούτου ἐλευθέρους
εἶναι· τούς τε καλοὺς κἀγαθοὺς ὀνομαζομένους, οὐκ ἐ-
λάσσω αὐτοὺς νομίζειν σφίσι πράγματα παρέξειν τοῦ δήμου
ποριστὰς ὄντας καὶ ἐσηγητὰς τῶν κακῶν τῷ δήμῳ· ἐξ ὧν
τὰ πλείω αὐτοὺς ὠφελεῖσθαι· καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶναι,
καὶ ἄκριτοι ἂν καὶ βιαιότερον ἀποθνήσκειν· τὸν δὲ δῆ-
μον σφῶν τε καταφυγὴν εἶναι, καὶ ἐκείνων σωφρονιστήν·
καὶ ταῦτα παρ' αὐτῶν τῶν ἔργων ἐπισταμένας τὰς πόλεις σα-
φῶς· αὐτὸς εἰδέναι ὅτι οὕτω νομίζουσιν· οὔκουν ἑαυτῷ
τῶν ἀπὸ ἀλκιβιάδου καὶ ἐν τῷ παρόντι πρασσομένων ἀρέ-
σκειν οὐδέν· οἱ δὲ ξυλλεγέντες τῶν ἐν τῇ ξυμμαχίᾳ, ὥσπερ
καὶ τὸ πρῶτον αὐτοῖς ἐδόκει, τά τε παρόντα ἐδέχοντο· καὶ
ἐς τὰς ἀθήνας πρέσβεις πείσανδρον καὶ ἄλλους, παρεσ-
κευάζοντο πέμπειν· ὅπως περί τε τῆς τοῦ ἀλκιβιάδου
καθόδου πράσσοιεν, καὶ τῆς τοῦ ἐκεῖ δήμου καταλύσεως·

καὶ τὸν τισσαφέρνην φίλον τοῖς ἀθηναίοις ποιήσειν.
γνοὺς δὲ ὁ φρύνιχος ὅτι ἔσοιτο περὶ τῆς τοῦ ἀλκιβιάδου
καθόδου λόγος. καὶ ὅτι ἀθηναῖοι ἐνδέξονται αὐτήν. δεί-
σας πρὸς τὴν ἐναντίωσιν τῶν λεχθέντων ὑφ' αὑτοῦ, μὴ
ἢν κατέλθῃ ὡς κωλυτὴν ὄντα κακῶς δρᾷ. τρέπεται ἐπὶ
τοιόνδε τι. πέμπει ὡς τὸν ἀστύοχον τὸν λακεδαιμονίων ναύ-
αρχον. ἔτι ὄντα τότε περὶ τὴν μίλητον κρύφα ἐπιστείλας,
ὅτι ἀλκιβιάδης αὐτῶν τὰ πράγματα φθείρει. τισσαφέρ-
νην ἀθηναίοις φίλον ποιῶν. καὶ τἆλλα σαφῶς ἐγγρά-
ψας. ξυγγνώμην δὲ εἶναι ἑαυτῷ περὶ ἀνδρὸς πολεμίου.
καὶ μετὰ τοῦ τῆς πόλεως ἀξυμφόρου κακόν τι βουλεύειν.
ὁ δὲ ἀστύοχος τὸν μὲν ἀλκιβιάδην ἄλλως τε καὶ οὐκέτι
ὁμοίως ἐς χεῖρας ἰόντας, οὐδὲ διενοεῖτο τιμωρεῖσθαι.
ἀνελθὼν δὲ παρ' αὐτὸν ἐς μαγνησίαν καὶ παρὰ τισ-
σαφέρνην. ἅμα λέγει αὐτοῖς τὰ ἐπισταλέντα ἐκ
τῆς σάμου. καὶ γίνεται αὐτοῖς μηνυτής. προσέθηκέ τε
ὡς ἐλέγετο ἐπὶ ἰδίοις κέρδεσι τισσαφέρνει ἑαυτὸν κοινοῦν
περὶ τούτων καὶ περὶ τῶν ἄλλων. διόπερ καὶ περὶ τῆς μισθο-
φορᾶς οὐκ ἐντελοῦς οὔσης, μαλακωτέρως ἀνθήπτετο. ὁ
δὲ ἀλκιβιάδης πέμπει ἀθεὶς κατὰ φρυνίχου γράμματα
ἐς τὴν σάμον πρὸς τοὺς ἐν τέλει ὄντας. οἷα δέδρακε. καὶ
ἀξιῶν αὐτὸν ἀποθνήσκειν. θορυβούμενος δὲ ὁ φρύνιχος
καὶ πάνυ ἐν τῷ μεγίστῳ κινδύνῳ ὢν διὰ τὸ μήνυμα, ἀπο-
στέλλει αὖθις πρὸς τὸν ἀστύοχον. τά τε πρότερα μεμφόμενος
ὅτι οὐ καλῶς ἐκρύφθη. καὶ νῦν ὅτι ὅλον τὸ στράτευμα τὸ
τῶν ἀθηναίων ἕτοιμος εἴη τὸ ἐν τῇ σάμῳ παρασχεῖν αὐτοῖς
διαφθεῖραι. γράψας καθ' ἕκαστα. ἀτειχίστου οὔσης σά-
μου, ᾧ ἂν τρόπῳ αὐτὰ πράξειε. καὶ ὅτι ἀνεπίφθονόν οἱ
ἤδη εἴη περὶ τῆς ψυχῆς δι' ἐκείνους κινδυνεύοντι. καὶ τοῦτο καὶ

ἄλλο τι πάντ' ἂν δέξασθαι μᾶλλον, ἢ ὑπὸ τῶν ἐχθίστων αὐτὸν δια-
φθαρῆναι. ὁ δὲ ἀστύοχος μηνύει καὶ ταῦτα τῷ ἀλκιβιάδῃ.
καὶ ὡς προῄσθετο αὐτὸν ὁ φρύνιχος ἀδικοῦντα, καὶ ὅ-
σον οὐ παροῦσαν τὴν ἀπὸ τοῦ ἀλκιβιάδου περὶ τούτων ἐπιστο-
λήν, αὐτὸς προφθάσας τῷ στρατεύματι ἐξάγγελος γίγνεται
ὡς οἱ πολέμιοι μέλλουσιν ἀτειχίστου οὔσης τῆς σάμου. καὶ
ἅμα τῶν νεῶν οὐ πασῶν ἔνδον ὁρμουσῶν ἐπιθήσεσθαι τῷ
στρατοπέδῳ. καὶ ταῦτα σαφῶς πεπυσμένος εἴη. καὶ χρῆ-
ναι τειχίζειν τε σάμον ὡς τάχιστα. καὶ τἆλλα ἐν φυλακῇ
ἔχειν. ἐστρατήγει δὲ καὶ κύριος ἦν αὐτὸς πράσσων ταῦ-
τα. καὶ οἱ μὲν τὸν τειχισμόν τε παρεσκεύαζοντο. καὶ ἐκ
τοῦ τοιούτου, καὶ μέλλουσα σάμος θᾶσσον ἐτειχίσθη. αἱ δὲ
παρὰ τοῦ ἀλκιβιάδου ἐπιστολαί, οὐ πολὺ ὕστερον ἧκον ὅτι
προδίδοται τὸ στράτευμα ὑπὸ φρυνίχου. καὶ οἱ πολέ-
μιοι μέλλουσιν ἐπιθήσεσθαι. δόξας δὲ ἀλκιβιάδης οὐ
πιστὸς εἶναι. ἀλλὰ τὰ ἀπὸ τῶν πολεμίων προειδώς, τῷ φρυ-
νίχῳ ὡς ξυνειδότι κατ' ἔχθραν ἀνατιθέναι, οὐδὲν ἔβλα-
ψεν αὐτόν. ἀλλὰ καὶ ξυνεμαρτύρησε μᾶλλον ταῦτα ἐξαγ-
γείλας. μετὰ δὲ τοῦτο ἀλκιβιάδης μὲν τισσαφέρνην πα-
ρεσκεύαζε καὶ ἀνέπειθεν ὅπως φίλος ἔσται τοῖς ἀθηναίοις
δεδιότα μὲν τοὺς πελοποννησίους ὅτι πλέοσι ναυσὶ τῶν ἀθη-
ναίων παρῆσαν. βουλόμενον δὲ ὅμως εἰ δύναιτό πως
πεισθῆναι. ἄλλως τε καὶ ἐπειδὴ τὴν ἐν τῇ κνίδῳ διαφορὰν
περὶ τῶν θηραμένους σπονδῶν ᾔσθετο τῶν πελοποννησίων.
ἤδη γὰρ κατὰ τοῦτον τὸν καιρὸν ἐν τῇ ῥόδῳ ὄντων αὐτῶν
ἐγεγένητο. ἐν ᾗ τὸν τοῦ ἀλκιβιάδου λόγον πρότερον εἰ-
ρημένον περὶ τοῦ ἐλευθεροῦν τοὺς λακεδαιμονίους τὰς
ἁπάσας πόλεις ἐπηλήθευσε λίχας. οὐ φάσκων ἀνε-
κτὸν εἶναι ξυγκεῖσθαι κρατεῖν βασιλέα τῶν πόλεων,

ὧν ποτὲ καὶ πρότερον ἢ αὐτὸς ἢ οἱ πρέσβεις ἦρχον. καὶ ὁ μὲν
ἀλκιβιάδης ἅτε περὶ μεγάλων ἀγωνιζόμενος, προθύμως
τὸν τισαφέρνην θεραπεύων προσέκειτο. οἱ δὲ μετὰ τοῦ πει-
σάνδρου πρέσβεις, τῶν ἀθηναίων ἀποσταλέντες ἐκ τῆς σά-
μου καὶ ἀφικόμενοι ἐς τὰς ἀθήνας λόγους ἐποιοῦντο ἐν
τῷ δήμῳ. κεφαλαιοῦντες ἐκ πολλῶν. μάλιστα δὲ ὡς
ἐξείη αὐτοῖς ἀλκιβιάδην καταγαγοῦσι, καὶ μὴ τὸν αὐτὸν
τρόπον δημοκρατουμένοις, βασιλέα ξύμμαχον ἔχειν
καὶ πελοποννησίων περιγενέσθαι. ἀντιλεγόντων δὲ πολ-
λῶν καὶ ἄλλων περὶ τῆς δημοκρατίας, καὶ τῶν ἀλκιβιά-
δου ἅμα ἐχθρῶν διαβοώντων. ὡς δεινὸν εἴη εἰ τοὺς νό-
μους βιασάμενος κάτεισι. καὶ εὐμολπιδῶν καὶ κηρύκων
περὶ τῶν μυστικῶν δι᾽ ἅπερ ἔφυγε μαρτυρομένων, καὶ ἐπιθει-
αζόντων μὴ κατάγειν, ὁ πείσανδρος παρελθὼν πρὸς
πολλὴν ἀντιλογίαν καὶ σχετλιασμὸν ἠρώτα ἕνα ἕκα-
στον αὐτὸν παράγων τῶν ἀντιλεγόντων, εἴ τινα ἐλπίδα
ἔχει σωτηρίας τῇ πόλει πελοποννησίων. ναῦς τε οὐκ ἐ-
λάσσους σφῶν ἐν τῇ θαλάσσῃ ἀντιπρῴρους ἐχόντων, καὶ
πόλεις ξυμμαχίδας πλείους. βασιλέως τε αὐτοῖς καὶ τισ-
σαφέρνους χρήματα παρεχόντων. σφίσι τε οὐκέτι ὄντων
εἰ μή τις πείσει βασιλέα μεταστῆναι παρὰ σφᾶς. ὁπότε
δὲ μὴ φαῖεν ἐπερωτώμενοι, ἐνταῦθα δὴ σαφῶς ἔλεγεν
αὐτοῖς, ὅτι τοῦτο τοίνυν οὐκ ἔστιν ἡμῖν γενέσθαι, εἰ μὴ πο-
λιτεύσομέν τε σωφρονέστερον. καὶ ἐς ὀλίγους μᾶλλον τὰς
ἀρχὰς ποιήσομεν, ἵνα πιστεύῃ ἡμῖν βασιλεύς. καὶ μὴ
περὶ πολιτείας τὸ πλέον βουλεύσομεν ἐν τῷ παρόντι, ἢ περὶ σωτη-
ρίας. ὕστερον γὰρ ἐξέσται ἡμῖν καὶ μεταθέσθαι ἢν μὴ
τι ἀρέσκῃ. ἀλκιβιάδην τε κατάξομεν. ὃς μόνος τῶν νῦν
οἷός τε τοῦτο κατεργάσασθαι. ὁ δὲ δῆμος τὸ μὲν πρῶτον

ἀκούων, χαλεπῶς ἔφερε τὸ περὶ ὀλιγαρχίας· σαφῶς δὲ δι-
δασκόμενος ὑπὸ τοῦ Πεισάνδρου μὴ εἶναι ἄλλην σωτηρίαν,
δείσας καὶ ἅμα ἐπελπίζων ὡς μεταβαλεῖται, ἐνέδωκε· καὶ
ἐψηφίσαντο πλεύσαντα τὸν Πείσανδρον, καὶ δέκα ἄν-
δρας μετ' αὐτοῦ πράσσειν ὅπῃ ἂν αὐτοῖς δοκοίη ἄριστα
ἕξειν τά τε πρὸς τὸν Τισσαφέρνην καὶ τὸν Ἀλκιβιάδην·
ἅμα τε διαβαλόντος καὶ Φρυνίχου τοῦ Πεισάνδρου πα-
ρέλυσεν ὁ δῆμος τῆς ἀρχῆς· καὶ τὸν ξυνάρχοντα Σκιρω-
νίδην· ἀντέπεμψαν δὲ στρατηγοὺς ἐπὶ τὰς ναῦς, Διο-
μέδοντα καὶ Λέοντα· τὸν δὲ Φρύνιχον ὁ Πείσανδρος
φάσκων Ἴασον προδοῦναι, καὶ Ἀμόργην διέβαλεν·
οὐ νομίζων ἐπιτήδειον εἶναι τοῖς πρὸς τὸν Ἀλκιβιάδην
πρασσομένοις· καὶ ὁ μὲν Πείσανδρος τάς τε ξυνωμοσί-
αις αἵπερ ἐτύγχανον πρότερον ἐν τῇ πόλει οὖσαι, ἐπὶ δίκαις καὶ
ἀρχαῖς ἁπάσας ἐπελθὼν καὶ παρακελευσάμενος, ὅπως
ξυστραφέντες καὶ κοινῇ βουλευσάμενοι, καταλύσουσι τὸν
δῆμον· καὶ τἆλλα παρασκευάσας ἐπὶ τοῖς παροῦσιν ὥστε μη-
κέτι διαμέλλεσθαι αὐτὸς μετὰ τῶν δέκα ἀνδρῶν τὸν
πλοῦν, ὡς τὸν Τισσαφέρνην ποιεῖται· ὁ δὲ Λέων καὶ ὁ Δι-
ομέδων ἐν τῷ αὐτῷ χειμῶνι ἀφιγμένοι ἤδη ἐπὶ τὰς τῶν Ἀ-
θηναίων ναῦς, ἐπίπλουν τῇ Ῥόδῳ ἐποιήσαντο· καὶ τὰς
μὲν ναῦς καταλαμβάνουσιν ἀνειλκυσμένας τῶν Πελοπον-
νησίων· ἐς δὲ τὴν γῆν ἀπόβασίν τινα ποιησάμενοι, καὶ
τοὺς προσβοηθήσαντας Ῥοδίων νικήσαντες μάχῃ, ἀπε-
χώρησαν ἐς τὴν Χάλκην· καὶ τὸν πόλεμον ἐντεῦθεν ~~ἐκ τῆς~~
μᾶλλον ἢ ἐκ τῆς Κῶ ἐποιοῦντο· εὐφυλακτότερα γὰρ αὐ-
τοῖς ἐγίγνετο· εἴ ποι ἀπαίροι τὸ τῶν Πελοποννησίων
ναυτικόν· ἦλθε δὲ ἐς τὴν Ῥόδον καὶ Ξενοφαντίδας
Λάκων παρὰ Πεδαρίτου ἐκ Χίου· λέγων ὅτι τὸ τεῖχος

τῶν ἀθηναίων ἤδη ἐπιτετειχίσθαι, καὶ ἢν μὴ βοηθή-
σωσι πάσαις ταῖς ναυσὶν ἀπολεῖται τὰ ἐν χίῳ πράγματα·
οἱ δέ, διενοοῦντο βοηθήσειν. ἐν τούτῳ δὲ ὁ πεδάριτος
αὐτός τε καὶ τὸ περὶ αὐτὸν ἐπικουρικὸν ἔχων καὶ τοὺς χί-
ους πανστρατιᾷ προσβαλὼν τῷ τῶν ἀθηναίων τῷ περὶ τὰς ναῦς
ἐρύματι, αἱρεῖ τέ τι αὐτοῦ καὶ νεῶν τινῶν ἀνειλκυσ-
μένων ἐκράτησε. ἐπεκβοηθησάντων δὲ τῶν ἀθηναίων
καὶ τρεψαμένων τοὺς χίους πρώτους, νικᾶται καὶ τὸ ἄλλο
τὸ περὶ τὸν πεδάριτον· καὶ αὐτός ἀποθνῄσκει καὶ τῶν
χίων πολλοί· καὶ ὅπλα ἐλήφθη πολλά· μετὰ δὲ ταῦτα
οἱ μὲν χῖοι ἔκ τε γῆς καὶ θαλάσσης ἔτι μᾶλλον ἢ πρότε-
ρον ἐπολιορκοῦντο καὶ ὁ λιμὸς αὐτόθι ἦν μέγας. οἱ
δὲ περὶ τὸν πείσανδρον ἀθηναίων πρέσβεις. ἀφικόμενοι
ὡς τὸν τισσαφέρνην λόγους ποιοῦνται περὶ τῆς ὁμολογί-
ας. ἀλκιβιάδης δέ· οὐ γὰρ αὐτῷ πάνυ τὰ ἀπὸ τισσαφέρνους
βέβαια ἦν. φοβουμένου τοὺς πελοποννησίους μᾶλλον,
καὶ ἔτι βουλομένου καθάπερ καὶ ὑπ' ἐκείνου ἐδιδά-
σκετο τρίβειν ἀμφοτέρους, τρέπεται ἐπὶ τοιόνδε
εἶδος, ὥστε τὸν τισσαφέρνην ὡς μέγιστα αἰτοῦντα πα-
ρὰ τῶν ἀθηναίων μὴ ξυμβῆναι. δοκεῖ δέ μοι καὶ ὁ τισ-
σαφέρνης τὸ αὐτὸ βουληθῆναι. αὐτὸς μὲν διὰ τὸ δέος
ὁ δὲ ἀλκιβιάδης ἐπειδὴ ἑώρα ἐκεῖνον καὶ ὣς οὐ ξυμ-
βησείοντα δοκεῖν τοῖς ἀθηναίοις ἐβούλετο μὴ ἀδύνα-
τος εἶναι πεῖσαι· ἀλλ' ὡς πεπεισμένῳ τισσαφέρνει καὶ βου-
λομένῳ προσχωρῆσαι, τοὺς ἀθηναίους μὴ ἱκανὰ διδόναι.
ᾔτει γὰρ τοσαῦτα ὑπερβάλλων ὁ ἀλκιβιάδης λέγων αὐτὸς
ὑπὲρ παρόντος τοῦ τισσαφέρνους, ὥστε τῶν ἀθηναίων καίπερ
ἐπὶ πολὺ ὅτι αἰτοίη ξυγχωρούντων. ὅμως αἴτιον γενέσθαι·
ἰωνίαν τε γὰρ πᾶσαν ἠξίου δίδοσθαι· καὶ αὖθις νήσους

τε τὰς ἐπικειμένας καὶ ἄλλα· οἷς οὐκ ἐναντιουμένων τῶν
ἀθηναίων· τέλος ἐν τῇ τρίτῃ ἤδη ξυνόδῳ δείσας μὴ πάνυ
φωραθῇ ἀδύνατος ὤν· ναῦς ἠξίου ἐᾶν βασιλέα ποιεῖ-
σθαι καὶ παραπλεῖν τὴν ἑαυτοῦ γῆν ὅπῃ ἂν, καὶ ὅσαις ἂν
βούληται· ἐνταῦθα δὴ οὐκέτι, ἀλλ᾽ ἄπορα νομίσαντες
οἱ ἀθηναῖοι· καὶ ὑπὸ τοῦ ἀλκιβιάδου ἐξηπατῆσθαι, δι᾽ ὀρ-
γῆς ἀπελθόντες κομίζονται ἐς τὴν σάμον· τισσαφέρνης δὲ
εὐθὺς μετὰ ταῦτα καὶ τῷ αὐτῷ χειμῶνι· παρέρχεται ἐς τὴν
καῦνον βουλόμενος τοὺς πελοποννησίους πάλιν τε κομίσαι
ἐς τὴν μίλητον· καὶ ξυνθήκας ἔτι ἄλλας ποιησάμενος ἃς
ἂν δύνηται· τροφήν τε παρέχειν, καὶ μὴ παντάπασιν ἐκπεπο-
λεμῶσθαι· δεδιὼς μὴ ἢν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς
τροφῆς ἢ τοῖς ἀθηναίοις ἀναγκασθέντες ναυμαχεῖν ἡσ-
σηθῶσιν, ἢ κενωθεισῶν τῶν νεῶν ἄνευ ἑαυτοῦ· γένηται
τοῖς ἀθηναίοις ἃ βούλονται· ἔτι δὲ ἐφοβεῖτο μάλιστα,
μὴ τῆς τροφῆς ζητήσει πορθήσωσι τὴν ἤπειρον· πάντων
οὖν τούτων λογισμῷ καὶ προνοίᾳ, ὥσπερ ἐβούλετο ἐπανι-
σοῦν τοὺς ἕλληνας πρὸς ἀλλήλους· μεταπεμψάμενος οὖν
τοὺς πελοποννησίους τροφήν τε αὐτοῖς δίδωσι· καὶ σπον-
δὰς τάσδε τρίτας σπένδεται· τρίτῳ καὶ δεκάτῳ ἔτει δα-
ρείου βασιλεύοντος· ἐφορεύοντος δὲ ἀλεξιππίδα ἐν λα-
κεδαίμονι· ξυνθῆκαι ἐγένοντο ἐν μαιάνδρου πεδίῳ
λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς τισσαφέρνην
καὶ ἱεραμένην καὶ τοὺς φαρνάκου παῖδας περὶ τῶν βα-
σιλέως πραγμάτων καὶ λακεδαιμονίων καὶ τῶν ξυμ-
μάχων· χώραν τὴν βασιλέως ὅση τῆς ἀσίας ἐστί, βασιλέως
εἶναι· καὶ περὶ τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς
ὅπως βούλεται· λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμά-
χους μὴ ἰέναι ἐπὶ χώραν βασιλέως ἐπὶ κακῷ μηδενί· μὴ

δὲ βασιλέα ἐπὶ τὴν λακεδαιμονίων χώραν μηδὲ τῶν
ξυμμάχων ἐπὶ κακῷ μηδενί· ἢν δέ τις λακεδαιμονίων
ἢ τῶν ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ τὴν βασιλέως χώραν
τοὺς λακεδαιμονίους ἢ τοὺς ξυμμάχους· βασιλεὺς κωλυέτω·
τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις τισσαφέρνην
παρέχειν κατὰ τὰ ξυγκείμενα, μέχρις οὗ αἱ νῆες αἱ
βασιλέως ἔλθωσι· λακεδαιμονίους καὶ τοὺς ξυμμάχους
ἐπὴν αἱ βασιλέως νῆες ἀφίκωνται, τὰς ἑαυτῶν ναῦς ἢν
βούλωνται ἐφ' ἑαυτοῖς εἶναι· ἢν δὲ παρὰ τισσαφέρνους
ἐθέλωσι λαμβάνειν τὴν τροφήν, τισσαφέρνην παρέχειν·
λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους τελευτῶντος τοῦ
πολέμου, τὰ χρήματα τισσαφέρνει ἀποδοῦναι ὁπόσα
ἂν λάβωσιν· ἐπὴν δὲ αἱ βασιλέως νῆες ἀφίκωνται
αἵ τε λακεδαιμονίων νῆες καὶ αἱ τῶν ξυμμάχων· καὶ αἱ
βασιλέως κοινῇ τὸν πόλεμον πολεμούντων· καθ' ὅτι ἂν
τισσαφέρνει δοκῇ καὶ λακεδαιμονίοις καὶ τοῖς ξυμ-
μάχοις· ἢν δὲ καταλύειν βούλωνται πρὸς τοὺς ἀθηναίους
ἐν ὁμοίῳ καταλύεσθαι· αἱ μὲν σπονδαὶ αὗται ἐγένοντο·
καὶ μετὰ ταῦτα παρεσκευάζετο τισσαφέρνης· τάς τε φοι-
νίσσας ναῦς ἄξων ὥσπερ εἴρητο· καὶ τἆλλα ὅσαπερ ὑπέσχε-
το καὶ ἐβούλετο· παρασκευαζόμενος οὖν δῆλος ἦν· βοι-
ωτοὶ δὲ τελευτῶντος ἤδη τοῦ χειμῶνος, ὠρωπὸν εἷλον
προδοσίᾳ ἀθηναίων ἐμφρουρούντων· ξυνέπραξαν δὲ
ἐρετριέων τε ἄνδρες καὶ αὐτῶν ὠρωπίων ἐπιβουλεύον-
τες ἀπόστασιν τῆς εὐβοίας· ἐπὶ γὰρ τῇ ἐρετρίᾳ τὸ χωρίον
ὂν ἀδύνατα ἦν ἀθηναίων ἐχόντων μὴ οὐ μεγάλα βλάπτειν
καὶ ἐρετρίαν καὶ τὴν ἄλλην εὔβοιαν· ἔχοντες οὖν ἤδη
τὸν ὠρωπὸν ἀφικνοῦνται ἐς ῥόδον οἱ ἐρετριῆς, ἐπικα-
λούμενοι ἐς τὴν εὔβοιαν τοὺς πελοποννησίους· οἱ δὲ πρὸς τὴν

τῆς Χίου καλουμένης βοήθειαν, μέλλησιν ὥρμηντο· καὶ ἄραντες πάσαις ταῖς ναυσὶν ἐκ τῆς Ῥόδου ἔπλεον· καὶ γενόμενοι ἐπὶ τὸ Τριόπιον, καθορῶσι τὰς τῶν Ἀθηναίων ναῦς πελαγίας ἀπὸ τῆς Χάλκης πλεούσας· καὶ ὡς οὐδέτεροι ἀλλήλοις ἐπέπλεον, ἀφικνοῦνται οἱ μὲν ἐς τὴν Σάμον· οἱ δὲ ἐς τὴν Μίλητον· καὶ ἑώρων οὐκέτι ἄνευ ναυμαχίας, οἷόν τε εἶναι ἐς τὴν Χίον βοηθῆσαι· καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος· καὶ εἰκοστὸν ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε ὃν Θουκυδίδης ξυνέγραψε. Τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ, Δερκυλίδας τε ἀνὴρ Σπαρτιάτης στρατιὰν ἔχων οὐ πολλήν, παρεπέμφθη πεζῇ ἐς Ἑλλήσποντον, Ἄβυδον ἀποστήσων· εἰσὶ δὲ Μιλησίων ἄποικοι· καὶ οἱ Χῖοι ἐν ὅσῳ αὐτοῖς ὁ Ἀστύοχος ἠπόρει ὅπως βοηθήσοι, ναυμαχῆσαι πιεζόμενοι τῇ πολιορκίᾳ ἠναγκάσθησαν· ἔτυχον δὲ ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου ἐκ τῆς Μιλήτου, Λέοντά τε ἄνδρα Σπαρτιάτην, ὃς Ἀντισθένει ἐπιβάτης ξυνῆλθε· τοῦτον κεκομισμένοι μετὰ τὸν Πεδαρίτου θάνατον ἄρχοντα καὶ ναῦς δώδεκα, αἳ ἔτυχον φύλακες Μιλήτου οὖσαι· ὧν ἦσαν Θούριαι πέντε· καὶ Συρακόσιαι τέσσαρες καὶ μία Ἀναιῖτις· καὶ μία Μιλησία· καὶ Λέοντος μία. ἐπεξελθόντων δὲ τῶν Χίων πανδημεὶ καὶ καταλαβόντων τι ἐρυμνὸν χωρίον, καὶ τῶν νεῶν αὐτοῖς ἅμα ἓξ καὶ τριάκοντα ἐπὶ τὰς τῶν Ἀθηναίων δύο καὶ τριάκοντα ἀναγομένων ἐναυμάχησαν· καὶ καρτερᾶς γενομένης τῆς ναυμαχίας οὐκ ἔλασσον ἔχοντες ἐν τῷ ἔργῳ οἱ Χῖοι καὶ οἱ ξύμμαχοι, ἤδη γὰρ καὶ ὀψὲ ἦν, ἀνεχώρησαν ἐς τὴν πόλιν. μετὰ δὲ τοῦτο εὐθὺς τοῦ Δερκυλίδου πεζῇ ἐκ τῆς Μιλήτου παρεξελθόντος, Ἄβυδος ἐν τῷ Ἑλλησπόντῳ ἀφίσταται πρὸς Δερκυλίδαν καὶ Φαρνάβαζον· καὶ Λάμψακος

δυοῖν ἡμέραιν ὕστερον· στρομβιχίδης δὲ ἐκ τῆς χίου
πυθόμενος, κατὰ τάχος βοηθεῖ ναυσὶν ἀθηναίων
τέσσαρσι καὶ εἴκοσιν, ὧν καὶ στρατιώτιδες ἦσαν ὁπλίτας
ἄγουσαι· καὶ ἐπεξελθόντων τῶν λαμψακηνῶν μάχῃ κρα-
τήσας, καὶ αὐτοβοεὶ λάμψακον ἀτείχιστον οὖσαν λα-
βὼν ἑλών, καὶ σκεύη μὲν καὶ ἀνδράποδα ἁρπαγὴν
ποιησάμενος, τοὺς δὲ ἐλευθέρους πάλιν κατοικίσας,
ἐπ' ἄβυδον ἦλθε· καὶ οὔτε προσεχώρουν· οὔτε προσ-
βάλλων ἐδύνατο ἑλεῖν, ἐς τὸ ἀντιπέρας τῆς ἀβύδου ἀ-
ποπλεύσας σηστὸν πόλιν τῆς χερσονήσου ἥν ποτε μῆδοι
εἶχον καθίσταται φρούριον καὶ φυλακὴν τοῦ παντὸς
ἑλλησπόντου· ἐν τούτῳ δὲ οἵ τε χῖοι θαλασσοκράτορες
μᾶλλον ἐγένοντο· καὶ οἱ ἐν τῇ μιλήτῳ· καὶ ὁ ἀστύοχος
πυθόμενος τὰ περὶ τὴν ναυμαχίαν καὶ τὸν στρομβιχί-
δην καὶ τὰς ναῦς ἀπεληλυθότα ἐθάρσησε· καὶ παρα-
πλεύσας δυοῖν νεοῖν ἀστύοχος ἐς χίον, κομίζεται αὐτόθεν
τὰς ναῦς· καὶ ξυμπάσαις ἤδη ἐπίπλουν ποιεῖται ἐπὶ τὴν
σάμον· καὶ ὡς αὐτῷ διὰ τὸ ἀλλήλοις ὑπόπτως ἔχειν οὐκ
ἀντανήγοντο ἀπέπλευσε πάλιν ἐς τὴν μίλητον· ὑπὸ γὰρ
τοῦτον τὸν χρόνον καὶ ἔτι πρότερον ἡ ἐν ταῖς ἀθήναις
δημοκρατία κατελέλυτο· ἐπειδὴ γὰρ οἱ περὶ τὸν πείσαν-
δρον πρέσβεις παρὰ τοῦ τισσαφέρνους ἐς τὴν σάμον
ἦλθον, τά τε ἐν αὐτῷ τῷ στρατεύματι ἔτι βεβαιότερον
κατέλαβον· καὶ αὐτῶν τῶν σαμίων προὔτρεψαν αὐτῶν,
τοὺς δυνατούς, ὥστε πειρᾶσθαι μετὰ σφῶν ὀλιγαρχη-
θῆναι, καίπερ ἐπαναστάντας αὐτοὺς ἀλλήλοις ἵνα μὴ ὀλι-
γαρχῶνται, καὶ ἐν σφίσιν αὐτοῖς ἅμα οἱ ἐν τῇ σάμῳ τῶν
ἀθηναίων κοινολογούμενοι ἐσκέψαντο· ἀλκιβιάδην
μὲν ἐπειδήπερ οὐ βούλεται, ἐᾶν· καὶ γὰρ οὐκ ἐπιτήδειον

αὐτοῦ εἶναι ἐς ὀλιγαρχίαν ἐλθεῖν. αὐτοὺς δὲ ἐπὶ σφῶν
αὐτῶν ὡς ἤδη καὶ κινδυνεύοντας ὁρᾶν ὅτῳ τρόπῳ μὴ
ἀνεθήσεται τὰ πράγματα καὶ τὰ τοῦ πολέμου ἅμα ἀντέ-
χειν· καὶ ἐσφέρειν αὐτοὺς ἐκ τῶν ἰδίων οἴκων προθύμως
χρήματα. καὶ ἤν τι ἄλλο δέῃ, ὡς οὐκέτι ἄλλοις ἢ σφίσιν αὐ-
τοῖς ταλαιπωροῦντας. παρακελευσάμενοι οὖν τοιαῦτα
τὸν μὲν πείσανδρον εὐθὺς τότε καὶ τῶν πρέσβεων τοὺς ἡ-
μίσεις ἀπέστελλον ἐπ' οἴκου πράξοντας τἀκεῖ. καὶ εἴρητο
αὐτοῖς τῶν ὑπηκόων πόλεων αἷς ἂν προσίσχωσιν, ὀλιγαρ-
χίαν καθιστάναι. τοὺς δ' ἡμίσεις ἐς τἆλλα τὰ ὑπήκοα χω-
ρία. ἄλλους ἄλλῃ διέπεμπον. καὶ διειτρεφῆ ὄντα περὶ
χῖον, ᾑρημένον δὲ ἐς τὰ ἐπὶ θρᾴκης ἄρχειν, ἀπέστελλον
ἐπὶ τὴν ἀρχήν. καὶ ἀφικόμενος ἐς τὴν θάσον. τὸν δῆμον
κατέλυσε. καὶ ἀπελθόντος αὐτοῦ οἱ θάσιοι δευτέρῳ
μηνὶ μάλιστα τὴν πόλιν ἐτείχιζον. ὡς τῆς μὲν μετὰ ἀθη-
ναίων ἀριστοκρατίας οὐδὲν ἔτι προσδεόμενοι. τὴν δὲ
ἀπὸ λακεδαιμονίων ἐλευθερίαν. ὁσημέραι προσ-
δεχόμενοι. καὶ γὰρ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν ἀθη-
ναίων παρὰ τοῖς πελοποννησίοις. καὶ αὕτη μετὰ τῶν ἐν τῇ
πόλει ἐπιτηδείων κατὰ κράτος ἔπρασσε. ναῦς τε κομίσαι
καὶ τὴν θάσον ἀποστῆσαι. ξυνέβη οὖν αὐτοῖς μάλιστα ἃ
ἐβούλοντο. τὴν πόλιν τε ἀκινδύνως ὀρθοῦσθαι. καὶ τὸν
ἐναντιωσόμενον δῆμον καταλελύσθαι. περὶ μὲν οὖν τὴν
θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν καθιστᾶσι τῶν ἀθηναίων
ἐγένετο. δοκεῖν δέ μοι καὶ ἐν ἄλλοις πολλοῖς τῶν ὑπηκόων.
σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν
πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν
τὴν ὑπὸ τῶν ἀθηναίων ὕπουλον αὐτονομίαν, οὐ προτι-
μήσαντες. οἱ δὲ ἀμφὶ τὸν πείσανδρον παραπλέοντες,

τε ὥσπερ ἐδέδοκτο· τοὺς δήμους ἐν ταῖς πόλεσι κατέλυον· καὶ
ἅμα ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες σφίσιν αὐ-
τοῖς ξυμμάχους, ἦλθον ἐς τὰς ἀθήνας· καὶ καταλαμβά-
νουσι τὰ πλεῖστα τοῖς ἑταίροις προειργασμένα· καὶ γὰρ ἀν-
δροκλέα τέ τινα τοῦ δήμου μάλιστα προεστῶτα, ξυστάν-
τες τινὲς τῶν νεωτέρων, κρύφα ἀποκτείνουσιν· ὅσπερ καὶ
τὸν ἀλκιβιάδην οὐχ ἥκιστα ἐξήλασε· καὶ αὐτὸν κατ' ἀμ-
φότερα, τῆς τε δημαγωγίας ἕνεκα καὶ οἰόμενοι τῷ ἀλ-
κιβιάδῃ ὡς κατιόντι· καὶ τοὺς πέρσας φίλον ποιήσοντι
χαριεῖσθαι, μᾶλλόν τι διέφθειραν· καὶ ἄλλους τινὰς ἀνε-
πιτηδείους τῷ αὐτῷ τρόπῳ κρύφα ἀνήλωσαν· λόγος τε
ἐκ τοῦ φανεροῦ προείργαστο αὐτοῖς· ὡς οὔτε μισθοφορη-
τέον εἴη ἄλλους, ἢ τοὺς στρατευομένους· οὔτε μεθεκτέον τῶν
πραγμάτων πλέοσιν, ἢ πεντακισχιλίοις· καὶ τούτοις οἳ
ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν ὠφελεῖν οἷοί
τε ὦσιν· ἦν δὲ τοῦτο εὐπρεπὲς πρὸς τοὺς πλείους· ἐπεὶ
ἕξειν γε τὴν πόλιν οἵπερ καὶ μεθιστάναι ἔμελλον· δῆμος μέντοι
ὅμως ἔτι καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου ξυνελέγετο· ἐβού-
λευον δὲ οὐδὲν, ὅτι μὴ τοῖς ξυνεστῶσι δοκοίη· ἀλλὰ καὶ οἱ
λέγοντες ἐκ τούτων ἦσαν· καὶ τὰ ῥηθησόμενα πρότερον
αὐτοῖς προυσκέπτετο· ἀντέλεγέ τε οὐδεὶς ἔτι τῶν ἄλλων,
δεδιὼς καὶ ὁρῶν πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντεί-
ποι, εὐθὺς ἐκ τρόπου τινὸς ἐπιτηδείου ἐτεθνήκει· καὶ τῶν
δρασάντων οὔτε ζήτησις· οὔτε εἰ ὑποπτεύοιντο, δικαίωσις
ἐγίγνετο· ἀλλ' ἡσυχίαν εἶχεν ὁ δῆμος καὶ κατάπληξιν
τοιαύτην· ὥστε κέρδος ὁ μὴ πάσχων τι βίαιον, εἰ καὶ σιγῴη,
ἐνόμιζε· καὶ τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγούμενοι εἶναι
ἢ ὅσον ἐτύγχανεν ὄν, ἡσσῶντο ταῖς γνώμαις· καὶ ἐξευ-
ρεῖν αὐτὸ ἀδύνατοι ὄντες διὰ τὸ μέγεθος τῆς πόλεως,

καὶ διὰ τὴν ἀλλήλων ἀγνωσίαν οὐκ εἶχον αὐτὸ ἐξευρεῖν. κα-
τὰ δὲ τὸ αὐτὸ τοῦτο καὶ προσολοφύρασθαί τινι ἀγανακτήσαντα
ὥστε ἀμύνασθαι ἐπιβουλεύσαντα. ἀδύνατον ἦν· ἢ γὰρ
ἀγνῶτα ἂν ηὗρεν ᾧ ἐρεῖ· ἢ γνώριμον ἄπιστον· ἀλλήλοις γὰρ
ἅπαντες ὑπόπτως προσῇσαν οἱ τοῦ δήμου ὡς μετέχον-
τά τινα τῶν γιγνομένων· ἐνῆσαν γὰρ καὶ οὓς οὐκ ἄν ποτέ τις
ᾤετο ἐς ὀλιγαρχίαν τραπέσθαι· καὶ τὸ ἄπιστον οὗτοι μέγιστον
πρὸς τοὺς πολλοὺς ἐποίησαν· καὶ πλεῖστα ἐς τὴν τῶν ὀλί-
γων ἀσφάλειαν ὠφέλησαν· βέβαιον τὴν ἀπιστίαν τῷ
δήμῳ πρὸς ἑαυτὸν καταστήσαντες· ἐν τούτῳ οὖν τῷ καιρῷ
οἱ περὶ τὸν πείσανδρον ἐλθόντες. εὐθὺς τῶν λοιπῶν εἴχοντο·
καὶ πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην,
δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας· τού-
τους δὲ ξυγγράψαντας γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον
ἐς ἡμέραν ῥητήν· καθ᾽ ὅτι ἄριστα ἡ πόλις οἰκήσεται· ἔπειτα
ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε παρῆν. ξυνέκλῃσαν τὴν ἐκκλη-
σίαν ἐς τὸν κολωνόν· ἔστι δὲ ἱερὸν ποσειδῶνος ἔξω πό-
λεως· ἀπέχον σταδίους μάλιστα δέκα· καὶ ἐσήνεγκαν
οἱ ξυγγραφεῖς ἄλλο μὲν οὐδέν· αὐτὸ δὲ τοῦτο· ἐξεῖναι
μὲν ἀθηναίων ἀνατεὶ εἰπεῖν γνώμην, ἣν ἄν τις βούληται· ἢν δέ
τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ
βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν· ἐνταῦθα δὴ
λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμί-
αν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου· μήτε μισθοφορεῖν· προ-
έδρους τε ἑλέσθαι πέντε ἄνδρας· τούτους δὲ ἑλέσθαι ἑ-
κατόν· καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς· ἐλ-
θόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας ἐς τὸ βουλευτήριον,
ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν αὐτοκράτορας· καὶ
τοὺς πρυτάνεις χιλίους δὲ ξυλλέγειν. ὁπόταν αὐτοῖς δοκῇ·

ἦν δὲ ὁ μὲν τὴν γνώμην ταύτην εἰπὼν πείσανδρος, καὶ τἆλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον· ὁ μέντοι ἅπαν τὸ πρᾶγμα ξυνθεὶς ὅτῳ τρόπῳ κατέστη ἐς τοῦτο, καὶ ἐκ πλείστου ἐπιμεληθεὶς ἀντιφῶν ἦν· ἀνὴρ ἀθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ τε οὐδενὸς ὕστερος· καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος· καὶ ἃ γνοίη εἰπεῖν· καὶ ἐς μὲν δῆμον οὐ παριών· οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ' ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος· τοὺς μέντοι ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα εἷς ἀνὴρ ὅστις ξυμβουλεύσαιτό τι, δυνάμενος ὠφελεῖν· καὶ αὐτός τε ἐπειδὴ μετέστη ἡ δημοκρατία, καὶ ἐς ἀγῶνας κατέστη μετὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐκακοῦτο, ἄριστα φαίνεται) τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων αἰτιαθείς, ὡς ξυγκατέστησε θανάτου δίκην ἀπολογησάμενος· παρέσχε δὲ καὶ φρύνιχος ἑαυτὸν πάντων διαφερόντως προθυμότατον ἐς τὴν ὀλιγαρχίαν· δεδιὼς τὸν ἀλκιβιάδην· καὶ ἐπιστάμενος εἰδότα αὐτόν, ὅσα ἐν τῇ σάμῳ πρὸς τὸν ἀστύοχον ἔπραξε· νομίζων οὐκ ἄν ποτε αὐτὸν κατὰ τὸ εἰκὸς ὑπὸ ὀλιγαρχίας κατελθεῖν· πολύ δὲ πρὸς τὰ δεινὰ ἐπειδήπερ ὑπέστη φερεγγυώτατος ἐφάνη· καὶ θηραμένης ὁ τοῦ ἅγνωνος, ἐν τοῖς ξυγκαταλύουσι τὸν δῆμον πρῶτος ἦν· ἀνὴρ οὔτε εἰπεῖν, οὔτε γνῶναι ἀδύνατος· ὥστε ἀπ' ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν τὸ ἔργον· οὐκ ἀπεικότως καίπερ μέγα ὂν προυχώρησεν· χαλεπὸν γὰρ ἦν τὸν ἀθηναίων δῆμον ἐπὶ ἑκατοστῷ ἔτει, μάλιστα ἐπειδὴ οἱ τύραννοι κατελύθησαν, ἐλευθερίας παῦσαι· καὶ οὐ μόνον μὴ ὑπήκοον ὄντα· ἀλλὰ καὶ ὑπὲρ ἥμισυ τοῦ χρόνου τούτου, αὐτὸν ἄλλων ἄρχειν εἰωθότα· ἐπειδὴ δὲ ἡ ἐκκλησία

οὐδενὸς αὐτοῦ ἀντειπόντος ἀλλὰ κυρώσαντες ταῦτα διελύθη. τοὺς
τετρακοσίους τρόπῳ τοιῷδε ὕστερον ἤδη ἐς τὸ βουλευτή-
ριον ἐσήγαγον. ἦσαν δὲ Ἀθηναῖοι πάντες αἰεί. οἱ μὲν ἐ-
πὶ τείχει. οἱ δὲ, ἐν τάξει τῶν ἐν δεκελείᾳ πολεμίων ἕνε-
κα. ἐφ᾽ ὅπλοις. τῇ οὖν ἡμέρᾳ ἐκείνῃ τοὺς μὲν ξυνειδό-
τας, εἴασαν ὥσπερ εἰώθεσαν ἀπελθεῖν. τοῖς δὲ ἐν τῇ ξυ-
νωμοσίᾳ εἴρητο ἡσυχῇ μὴ ἐπ᾽ αὐτοῖς τοῖς ὅπλοις ἀλλ᾽
ἄπωθεν περιμένειν. καὶ ἤν τις ἐνιστῆται τοῖς ποιουμένοις
λαβόντας τὰ ὅπλα μὴ ἐπιτρέπειν. ἦσαν δὲ καὶ ἄν-
δριοι. καὶ τήνιοι. καὶ καρυστίων τριακόσιοι. καὶ αἰ-
γινητῶν τῶν ἐποίκων. οὓς οἱ ἀθηναῖοι ἔπεμψαν οἱ-
κήσοντας ἐπ᾽ αὐτὸ τοῦτο ἥκοντες ἐν τοῖς ἑαυτῶν ὅπλοις
οἷς ταὐτὰ προείρητο. τούτων δὲ διατεταγμένων οὕτως
ἐλθόντες οἱ τετρακόσιοι μετὰ ξιφιδίου ἀφανοῦς ἕ-
καστος. καὶ οἱ εἴκοσι καὶ ἑκατὸν μετ᾽ αὐτῶν ἕλληνες
νεανίσκοι οἷς ἐχρῶντο εἴ τι που δέοι χειρουργεῖν. ἐπέ-
στησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς οὖσιν ἐν τῷ βου-
λευτηρίῳ. καὶ εἶπον αὐτοῖς ἐξιέναι λαβοῦσι τὸν μι-
σθόν. ἔφερον δὲ αὐτοῖς τοῦ ὑπολοίπου χρόνου παν-
τὸς αὐτοί. καὶ ἐξιοῦσιν ἐδίδοσαν. ὡς δὲ τούτῳ τῷ τρό-
πῳ ἥ τε βουλὴ οὐδὲν ἀντειποῦσα ὑπεξῆλθε καὶ οἱ
ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον ἀλλ᾽ ἡσύχαζον. οἱ δὲ
τετρακόσιοι ἐσελθόντες ἐς τὸ βουλευτήριον. τότε μὲν
πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν, καὶ ὅσα
πρὸς τοὺς θεοὺς εὐχαῖς καὶ θυσίαις καθιστάμενοι ἐς
τὴν ἀρχὴν ἐχρήσαντο. ὕστερον δὲ πολὺ μεταλλάξαν-
τες τῆς τοῦ δήμου διοικήσεως. πλὴν τοὺς φεύγοντας
οὐ κατῆγον τοῦ ἀλκιβιάδου δὲ ἕνεκα. τά τε ἄλλα
ἔνεμον κατὰ κράτος τὴν πόλιν. καὶ ἄνδρας τέ

τινας ἀπέκτειναν οὐ πολλούς· οἱ ἐδόκουν ἐπιτήδειοι
εἶναι ἀπεξαιρεθῆναι· καὶ ἄλλους ἐδίωξαν· τοὺς δὲ, καὶ
μετεστήσαντο· πρόσθε ἄγιν τὸν Λακεδαιμονίων βασι-
λέα ὄντα αὐτοῦ ἐν Δεκελείᾳ ἐπικηρυκεύοντο λέγοντες
διαλλαγῆναι βούλεσθαι· καὶ εἰκὸς εἶναι αὐτοῖς σπεῖσ·
καὶ οὐ μάλιστα τῷ ἀπίστῳ δήμῳ μᾶλλον ξυγχωρεῖν· ὁ
δὲ, νομίζων τὴν πόλιν οὐχ ἡσυχάζειν· οὐ πεισθεὶς οὕτω
τὸν δῆμον τὴν πάλαι ἂν ἐλευθερίαν παραδῶσιν·
εἴ τε στρατιὰν πολλὴν ἴδοι σφῶν οὐκ ἤδη ἡσυχάσειν· οὐ
δὲ αὐτῷ παρὸν τῇ πάνυ πιστεύων μὴ οὐ καί τι ταράττεσθαι
αὐτούς, τοῖς μὲν ἀπὸ τῶν τετρακοσίων ἐλθοῦσιν, οὐδὲν
ξυμβατικὸν ἀπεκρίνατο· προσμεταπεμψάμενος
δὲ ἐκ Πελοποννήσου στρατιὰν πολλήν, οὐ πολλῷ ὕστερον,
καὶ αὐτὸς τῇ ἐκ τῆς Δεκελείας φρουρᾷ μετὰ τῶν ἐλθόν-
των. κατέβη πρὸς αὐτὰ τὰ τείχη τῶν Ἀθηναίων· ἐλ-
πίσας ἢ ταραχθέντας αὐτοὺς μᾶλλον ἂν χειρωθῆναι,
σφίσιν ᾗ βούλονται, ἢ καὶ αὐτοβοεὶ ἂν διὰ τὸν ἔνδο-
θέν τε καὶ ἔξωθεν κατὰ τὸ εἰκὸς γενησόμενον θόρυ-
βον. τῶν γὰρ μακρῶν τειχῶν, διὰ τὴν κατ' αὐτὰ ἐρη-
μίαν, λήψεσθαι ὡς οὐκ ἂν ἀμυνόντων· ὡς δὲ προσέμιξεν
ἐγγύς. καὶ οἱ Ἀθηναῖοι τὰ μὲν ἔνδοθεν, οὐδ' ὁπωστιοῦν
ἐκίνησαν· τοὺς δὲ ἱππέας ἐκπέμψαντες καὶ μέρος τι
τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ τοξοτῶν. ἄνδρας κατέ-
βαλον αὐτῶν διὰ τὸ ἐγγὺς προσελθεῖν· καὶ ὅπλων τε
καὶ νεκρῶν ἐκράτησαν, οὕτω δὴ γνούς. ἀπήγαγε πά-
λιν τὴν στρατιάν· καὶ αὐτὸς μὲν καὶ οἱ μετ' αὐτοῦ, κατὰ
χώραν αὐτοῦ ἐν Δεκελείᾳ, ἔμενον· τοὺς δὲ ἐπελθόντας
ὀλίγας τινὰς ἡμέρας ἐν τῇ γῇ μείναντας, ἀπέπεμψεν
ἐπ' οἴκου· μετὰ δὲ τοῦτο παρά τε τὸν Ἆγιν ἐπρεσβεύοντο

οἱ τετρακόσιοι οὐδὲν ἧσσον· καὶ ἐκείνου μᾶλλον ἤδη προσ-
δεχομένου καὶ παραινοῦντος ἐκπέμπουσι· καὶ ἐς τὴν
Λακεδαίμονα περὶ ξυμβάσεως πρέσβεις βουλόμενοι δι-
αλλαγῆναι· πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας
παραμυθησομένους τὸ στρατόπεδον· καὶ διδάξοντας ὡς
οὐκ ἐπὶ βλάβῃ τῆς πόλεως· καὶ τῶν πολιτῶν ἡ ὀλιγαρχία
κατέστη ἀλλ' ἐπὶ σωτηρίᾳ τῶν ξυμπάντων πραγμάτων.
πεντακισχίλιοί τε ὅτι εἶεν· καὶ οὐ τετρακόσιοι μόνοι οἱ
πράσσοντες· καίτοι οὔπω ποτὲ Ἀθηναίους διὰ τὰς στρατείας
καὶ τὴν ὑπερόριον ἀσχολίαν, ἐς οὐδὲν πρᾶγμα οὕτω
μέγα ἐλθεῖν βουλεύσοντας, ἐν ᾧ πεντακισχιλίους ξυνελ-
θεῖν· καὶ τἆλλα ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν, ἀπέ-
πεμψαν αὐτοὺς μετὰ τὴν αὑτῶν κατάστασιν· δείσαντες
μὴ ὅπερ ἐγένετο ναυτικὸς ὄχλος, οὔτε αὐτὸς μένειν ἐν τῷ
ὀλιγαρχικῷ κόσμῳ ἐθέλῃ, σφᾶς τε μὴ ἐκεῖθεν ἀρ-
ξαμένου τοῦ κακοῦ μεταστήσωσιν· ἐν γὰρ τῇ Σάμῳ ἐνε-
ωτερίζετο ἤδη τὰ περὶ τὴν ὀλιγαρχίαν· καὶ ξυνέβη τοι-
άδε γενέσθαι ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον, ὅνπερ οἱ τε-
τρακόσιοι ξυνίσταντο· οἱ γὰρ τότε τῶν Σαμίων ἐπανα-
στάντες τοῖς δυνατοῖς καὶ ὄντες δῆμος μεταβαλλόμενοι
αὖθις καὶ πεισθέντες ὑπό τε τοῦ Πεισάνδρου ὅτε ἦλθε,
καὶ τῶν ἐν τῇ Σάμῳ ξυνεστώτων Ἀθηναίων, ἐγένοντο
τε ὡς τριακοσίοις ξυνωμόται, καὶ ἔμελλον τοῖς ἄλλοις
ὡς δήμῳ ὄντι, ἐπιθήσεσθαι· καὶ Ὑπέρβολόν τέ τινα
τῶν Ἀθηναίων μοχθηρὸν ἄνθρωπον ὠστρακισμένον, οὐ διὰ
δυνάμεως καὶ ἀξιώματος φόβον, ἀλλὰ διὰ πονηρίαν
καὶ αἰσχύνην τῆς πόλεως, ἀποκτείνουσι· μετὰ Χαρμίνου
τε ἑνὸς τῶν στρατηγῶν· καί τινων τῶν παρὰ σφίσιν Ἀθη-
ναίων πίστιν διδόντες αὐτοῖς· καὶ ἄλλα μετ' αὐτῶν τοιαῦτα

ξυνέπραξαν· τοῖς τε πλέοσιν ὥρμηντο ἐπιτίθεσθαι· οἱ
δὲ, αἰσθόμενοι τῶν τε στρατηγῶν λέοντι καὶ διομέδοντι.
οὗτοι γὰρ οὐχ ἑκόντες διὰ τὸ τιμᾶσθαι ὑπὸ τοῦ δήμου ἔφερον
τὴν ὀλιγαρχίαν· τὸ μέλλον σημαίνουσι· καὶ θρασυβού
λῳ καὶ θρασύλλῳ· τῷ μὲν τριηραρχοῦντι· τῷ δὲ ὁπλι
τεύοντι· καὶ ἄλλοις οἳ ἐδόκουν αἰεὶ μάλιστα ἐναντιοῦσθαι
τοῖς ξυνεστῶσι· καὶ οὐκ ἠξίουν περιιδεῖν αὐτοὺς· σφᾶς τε
διαφθαρέντας· καὶ σάμον ἀθηναίοις ἀλλοτριωθεῖσαν·
δι' ἣν μόνην μέχρι νῦν ἡ ἀρχὴ αὐτοῖς ἐς τοῦτο ξυνέμεινε·
οἱ δὲ, ἀκούσαντες τῶν τε στρατιωτῶν ἕνα ἕκαστον μετήεσαν
μὴ ἐπιτρέπειν, καὶ οὐχ ἥκιστα τοὺς παράλους ἄνδρας
ἀθηναίους τε καὶ ἐλευθέρους πάντας ἐν τῇ νηὶ πλέοντας·
καὶ αἰεὶ δήποτε ὀλιγαρχίᾳ καὶ μὴ παρούσῃ ἐπικειμένους·
ὅ τε λέων καὶ διομέδων αὐτοῖς ναῦς τινας ὁπότε ποι πλέ
οιεν κατέλειπον φύλακας· ὥστε ἐπειδὴ αὐτοῖς ἐπετίθεντο
οἱ τριακόσιοι, βοηθησάντων πάντων τούτων, μάλιστα δὲ
τῶν παράλων, περιεγένοντο οἱ τῶν σαμίων πλέονες·
καὶ τριάκοντα μέν τινας ἀπέκτειναν τῶν τριακοσίων τρεῖς
δὲ τοὺς αἰτιωτάτους, φυγῇ ἐζημίωσαν· τοῖς δ' ἄλλοις οὐ
μνησικακοῦντες, δημοκρατούμενοι τὸ λοιπὸν ξυνεπο
λίτευον· τὴν δὲ πάραλον ναῦν καὶ χαιρέαν ἐπ' αὐτῆς τὸν
ἀρχεστράτου ἄνδρα ἀθηναῖον γενόμενον ἐς τὴν μετα
στάσιν πρόθυμον ἀποπέμπουσιν· οἵ τε σάμιοι καὶ οἱ στρα
τιῶται κατὰ τάχος ἐς τὰς ἀθήνας ἀγγελοῦντα τὰ γεγενη
μένα, οὐ γὰρ ᾔδεσάν πω τοὺς τετρακοσίους ἄρχοντας,
καὶ καταπλευσάντων αὐτῶν, τῶν μὲν παράλων τινὰς
οἱ τετρακόσιοι δύο ἢ τρεῖς ἔδησαν· τοὺς δὲ ἄλλους ἀφε
λόμενοι τὴν ναῦν, καὶ μεταβιβάσαντες ἐς ἄλλην στρατιῶ
τιν ναῦν, ἔταξαν φρουρεῖν περὶ εὔβοιαν· ὁ δὲ χαιρέας

διευς διαλαθών πως· ὡς εἶδε τὰ προϊόντα, πάλιν ἐς τὴν Σά
μον ἐλθὼν· ἀγγέλλει τοῖς στρατιώταις· ἐπὶ τὸ μεῖζον πάντα
δεινώσας τὰ ἐκ τῶν Ἀθηνῶν· ὡς πληγαῖς τε πάντας ζημι
οῦσι· καὶ ἀντειπεῖν ἔστιν οὐδὲν πρὸς τοὺς ἔχοντας τὴν πο
λιτείαν· καὶ ὅτι αὐτῶν καὶ γυναῖκες καὶ παῖδες ὑβρί
ζονται· καὶ διανοοῦνται ὁπόσοι ἐν Σάμῳ στρατεύονται
μὴ ὄντες τῆς σφετέρας γνώμης τούτων πάντων τοὺς προ
σήκοντας λαβόντες εἵρξειν· ἵνα ἢν μὴ ὑπακούσωσι, τε
θνήκωσι· καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος ἔλεγεν·
οἱ δὲ ἀκούοντες ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα ποιή
σαντας· καὶ ἐπὶ τῶν ἄλλων τοὺς μετασχόντας, τὸ μὲν πρῶτον
ὥρμησαν βάλλειν· ἔπειτα μέντοι ὑπὸ τῶν διὰ μέσου κω
λυθέντες καὶ διδαχθέντες μὴ τῶν πολεμίων ἀντιπρῴ
ρων ἐγγὺς ἐφορμούντων ἀπολέσωσι τὰ πράγματα, ἐπαύ
σαντο· μετὰ δὲ τοῦτο λαμπρῶς ἤδη ἐς δημοκρατίαν
βουλόμενοι μεταστῆσαι τὰ ἐν τῇ Σάμῳ, ὅ τε Θρασύβουλος
ὁ τοῦ Λύκου, καὶ Θράσυλλος, οὗτοι γὰρ μάλιστα προεστή
κεσαν τῆς μεταβολῆς, ὥρκωσαν πάντας τοὺς στρατιώτας
τοὺς μεγίστους ὅρκους· καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας
μάλιστα, ἦ μὴν δημοκρατήσεσθαί τε καὶ ὁμονοήσειν· καὶ
τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν,
καὶ τοῖς τετρακοσίοις πολεμίοις τε ἔσεσθαι, καὶ οὐδὲν
ἐπικηρυκεύσεσθαι· ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες
τὸν αὐτὸν ὅρκον οἱ ἐν τῇ ἡλικίᾳ καὶ τὰ πράγματα πάντα
καὶ τὰ ἀποβησόμενα ἐκ τῶν κινδύνων ξυνεκοινώσαν
το οἱ στρατιῶται τοῖς Σαμίοις· νομίζοντες οὔτε ἐκείνοις
ἀποστροφὴν σωτηρίας, οὔτε σφίσιν εἶναι· ἀλλ᾽ ἐάν
τε οἱ τετρακόσιοι κρατήσωσιν· ἐάν τε οἱ ἐκ Μιλήτου πο
λέμιοι διαφθαρήσεσθαι· ἐς φιλονικίαν τε καθέστασαν

τὸν χρόνον τοῦτον οἱ μὲν τὴν πόλιν ἀναγκάζοντες δη-
μοκρατεῖσθαι· οἱ δὲ τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι. ἐποί-
ησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται· ἐν ᾗ τοὺς μὲν
προτέρους στρατηγοὺς καὶ εἴ τινας τῶν τριηράρχων ὑπώ-
πτευον, ἔπαυσαν· ἄλλους δὲ ἀνθείλοντο καὶ τριηράρχους
καὶ στρατηγούς· ὧν Θρασύβουλός τε καὶ Θράσυλλος
ὑπῆρχον. καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφί-
σιν αὐτοῖς ἀνιστάμενοι· καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ
πόλις αὐτῶν ἀφέστηκε· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν
τῶν πλεόνων καὶ ἐς πάντα ποριμωτέρων μεθεστάναι. ἐχόν-
των γὰρ σφῶν τὸ πᾶν ναυτικόν, τάς τε ἄλλας πόλεις ὧν ἦρ-
χον ἀναγκάσειν, τὰ χρήματα ὁμοίως διδόναι· καὶ
εἰ ἐκεῖθεν ὡρμῶντο· πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον
οὐκ ἀσθενῆ· ἀλλ' ἣ παρ' ἐλάχιστον δὴ ἦλθε τὸ τῶν Ἀθηναίων
κράτος τῆς θαλάσσης ὅτε ἐπολέμει ἀφελέσθαι. τούς
τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμυνεῖσθαι οὗπερ καὶ
πρότερον· καὶ δυνατώτεροι εἶναι σφεῖς ἔχοντες τὰς
ναῦς πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει· καὶ δι'
ἑαυτοὺς τε ἐν τῇ Σάμῳ προκαθημένους καὶ πρότερον αὐ-
τοὺς κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου· καὶ νῦν ἐς τοιοῦ-
τον καταστήσεσθαι μὴ βουλομένων σφίσι πάλιν τὴν
πολιτείαν ἀποδοῦναι· ὥστε αὐτοὶ καὶ δυνατώτεροι εἶναι
εἴργειν ἐκείνους τῆς θαλάσσης, ἢ ὑπ' ἐκείνων εἴργεσθαι.
βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον ᾧ πρὸς τὸ περιγίγνε-
σθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν· καὶ οὐ-
δὲν ἀπολωλεκέναι· οἵ γε μήτε ἀργύριον ἔτι εἶχον πέμ-
πειν ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται· μήτε βούλευμα
χρηστόν, οὗπερ ἕνεκα πόλις στρατοπέδων κρατεῖ· ἀλλὰ
καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι τοὺς πατρίους νόμους

καταλύοντας· αὐτοὺς δυνήσεσθαι καὶ ἐκείνους πειράσεσθαι,
προσαναγκάζειν· ὥστε οὐδὲ τούτους οἵπερ ἂν βουλεύοιεν
τι χρηστὸν παρὰ σφίσι χείρους εἶναι· ἀλκιβιάδην τε ἢν αὐ-
τῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν, ἄσμενον τὴν βα-
σιλέως ξυμμαχίαν παρέξειν· τό τε μέγιστον ἢν ἁπάντων
σφάλλωνται, εἶναι αὐτοῖς τοσοῦτον ἔχουσι ναυτικὸν, πολ-
λὰς τὰς ἀποχωρήσεις· ἐν αἷς καὶ πόλιν καὶ γῆν εὑρήσουσι·
τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάζοντες, καὶ παραθαρσύναν-
τες σφᾶς αὐτοὺς, καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο οὐ-
δὲν ἧσσον· οἱ δὲ ἀπὸ τῶν τετρακοσίων πεμφθέντες ἐς
τὴν σάμον, οἱ δέκα πρεσβευταί, ὡς ταῦτα ἐν τῇ δήλῳ
ἤδη ὄντες ᾐσθάνοντο, ἡσύχαζον· ὑπὸ δὲ τὸν χρόνον τὸν αὐτὸν
καὶ οἱ ἐν τῇ μιλήτῳ τῶν πελοποννησίων ἐν τῷ ναυτικῷ
στρατιῶται, κατὰ σφᾶς αὐτοὺς διεβόων, ὡς ὑπὸ ἀστυ-
όχου καὶ τισσαφέρνους φθείρεται τὰ πράγματα, τοῦ μὲν
οὐκ ἐθέλοντος οὔτε πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί
τε ἔρρωντο μᾶλλον καὶ τὸ ναυτικὸν τῶν ἀθηναίων ὀλί-
γον ἦν, οὔτε νῦν ὅτε στασιάζειν τε λέγονται καὶ αἱ νῆες
αὐτῶν οὐδέπω ἐν τῷ αὐτῷ εἰσίν· ἀλλὰ τὰς παρὰ τισσαφέρνους
φοινίσσας ναῦς μένοντες ἄλλως ὄνομα, καὶ οὐκ ἔργον
κινδυνεύειν διατριβῆναι· τὸν δ' αὖ τισσαφέρνην τάς
τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ξυνεχῶς οὐδ'
ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν· οὔκουν ἔφασαν χρῆ-
ναι μέλλειν ἔτι· ἀλλὰ διαναυμαχεῖν· καὶ μάλιστα οἱ
συρακούσιοι ἐνῆγον· αἰσθόμενοι δὲ οἱ ξύμμαχοι καὶ
ὁ ἀστύοχος τὸν θροῦν· καὶ δόξαν αὐτοῖς ἀπὸ ξυνόδου
ὥστε διαναυμαχεῖν· ἐπειδὴ καὶ ἐσηγγέλλετο αὐτοῖς ἡ
ἐν τῇ σάμῳ ταραχή, ἄραντες ταῖς ναυσὶ πάσαις οὔσαις
δώδεκα καὶ ἑκατὸν, καὶ τοὺς μιλησίους πεζῇ κελεύσαν-

ἐπὶ τῆς Μυκάλης παρεσκευάσθαι. ἔπλεον ὡς πρὸς τὴν Μυκάλην.
οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δυοῖν καὶ ὀγδοήκοντα
αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦντες. διέχει δ' ὀ-
λίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς τὴν Μυκάλην. καὶ ὡς
εἶδον τὰς τῶν Πελοποννησίων ναῦς ἐπιπλεούσας, ὑπεχώ-
ρησαν ἐς τὴν Σάμον. οὐ νομίζοντες τῷ πλήθει διακινδυ-
νεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι. καὶ ἅμα προῄσθοντο,
γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχησείοντας. προσεδε-
χόντο δὲ καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφί-
σι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἀβύδου ἀφικομέναις, προσ-
βοηθήσειν. προυπέπεμπτο γὰρ αὐτῷ ἄγγελος. καὶ οἱ μὲν
οὕτως ἐπὶ τῆς Σάμου ἀπεχώρησαν. οἱ δὲ Πελοποννήσιοι
καταπλεύσαντες ἐπὶ Μυκάλης, ἐστρατοπεδεύοντο. καὶ
τῶν Μιλησίων καὶ τῶν πλησιοχώρων ὁ πεζός. καὶ τῇ ὑ-
στεραίᾳ μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ, ἀγγέλλεται ὁ
Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου ναυσὶν ἀφιγμένος.
καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς Μιλήτου. οἱ δὲ Ἀθη-
ναίων προσγενομένων σφίσι τῶν νεῶν, ἐπίπλουν αὐτοὶ
ποιοῦνται τῇ Μιλήτῳ. ναυσὶν ὀκτὼ καὶ ἑκατὸν βου-
λόμενοι διαναυμαχῆσαι. καὶ ὡς οὐδεὶς αὐτοῖς ἀντανή-
γετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον. ἐν δὲ τῷ αὐτῷ θέρει
μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννήσιοι, ἐπειδὴ ἀθρόαις ταῖς
ναυσὶν οὐκ ἀξιόμαχοι ~~ὄντες~~ νομίζοντες εἶναι, οὐκ ἠξίουν ἀντα-
γωνίζεσθαι. ἀπορήσαντες ὁπόθεν τοσαύταις ναυσὶ χρήμα-
τα ἕξουσιν. ἄλλως τε καὶ Τισσαφέρνους κακῶς διδόντος,
ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον, ὥσπερ καὶ τὸ πρῶτον,
ἐκ τῆς Πελοποννήσου προσετέτακτο, Κλέαρχον τὸν Ῥαμφίου
ἔχοντα ναῦς τεσσαράκοντα. ἐπεκαλεῖτο γὰρ αὐτοὺς
ὁ Φαρνάβαζος. καὶ τροφὴν ἑτοῖμος ἦν παρέχειν, καὶ

ἅμα καὶ τὸ βυζάντιον ἐπεκηρυκεύετο· αὐτοῖς ἀποστῆναι·
καὶ αἱ μὲν τῶν πελοποννησίων αὗται νῆες ἀπάρασαι ἐς τὸ
πέλαγος ὅπως λάθοιεν ἐν τῷ πλῷ τοὺς ἀθηναίους χειμασθεῖ-
σαι. καὶ αἱ μὲν δῆλον λαβόμεναι. αἱ δὲ πλείους μετὰ
κλεάρχου. καὶ ὕστερον πάλιν ἐλθοῦσαι ἐς μίλητον. κλέ-
αρχος δὲ κατὰ γῆν αὖθις ἐς τὸν ἑλλήσποντον κομισθεὶς
ἦρχεν. αἱ δὲ μετὰ ἑλίξου τοῦ μεγαρέως στρατηγοῦ δέκα,
ἐς τὸν ἑλλήσποντον διασωθεῖσαι. βυζάντιον ἀφιστᾶσι· καὶ
μετὰ ταῦτα, οἱ ἐκ τῆς σάμου πέμπουσιν αἰσθόμενοι νεῶν
βοήθειαν καὶ φυλακὴν ἐς τὸν ἑλλήσποντον· καί τις ναυμα-
χία βραχεῖα γίγνεται πρὸ τοῦ βυζαντίου ναυσὶν ὀκτὼ πρὸς
ὀκτώ· οἱ δὲ προεστῶτες ἐν τῇ σάμῳ καὶ μάλιστα θρα-
σύβουλος. καὶ αἰεί τε τῆς αὐτοῦ γνώμης ἐχόμενος,
ἐπειδὴ μετέστησε τὰ πράγματα ὥστε κατάγειν ἀλκι-
βιάδην· καὶ τέλος ἐπ' ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν
στρατιωτῶν. καὶ ψηφισαμένων αὐτῶν ἀλκιβιάδῃ κάθο-
δον καὶ ἄδειαν, πλεύσας ὡς τὸν τισσαφέρνην κατῆγεν ἐς
τὴν σάμον τὸν ἀλκιβιάδην· νομίζων μόνην σωτηρίαν
εἰ τισσαφέρνην αὐτοῖς μεταστήσειεν ἀπὸ πελοποννησίων·
γενομένης δὲ ἐκκλησίας, τήν τε ἰδίαν ξυμφορὰν τῆς
φυγῆς ἐπῃτιάσατο καὶ ἀνωλοφύρατο ὁ ἀλκιβιάδης·
καὶ περὶ τῶν πολιτικῶν πολλὰ εἰπὼν ἐς ἐλπίδας τε
αὐτοὺς οὐ μικρὰς τῶν μελλόντων καθίστη· καὶ ὑπερβάλ-
λων ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ τισσα-
φέρνει· ἵνα οἵ τε οἴκοι τὴν ὀλιγαρχίαν ἔχοντες. φοβοῖν-
το αὐτόν· καὶ μᾶλλον αἱ ξυνωμοσίαι διαλυθεῖεν· καὶ
οἱ ἐν τῇ σάμῳ τιμιώτερον αὐτὸν ἄγοιεν· καὶ αὐτοὶ ἐπὶ
πλέον θαρσοῖεν· οἵ τε πολέμιοι τῷ τισσαφέρνει ὡς μά-
λιστα διαβάλλοιντο· καὶ τῶν ὑπαρχουσῶν ἐλπίδων

ἐκπίπτοιεν· ὑπισχνεῖτο δ᾽ οὖν τάδε μάλιστα ἐπικομπῶν
ὁ Ἀλκιβιάδης ὡς Τισσαφέρνης αὐτῷ ἐπεδέξατο ἦ μὴν
ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιστεύσῃ,
μὴ ἀπορήσειν αὐτοὺς τροφῆς· οὐδ᾽ ἢν δέῃ τελευτῶντα,
τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι· τάς τε ἐν Ἀσπέν-
δῳ ἤδη οὔσας Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ
οὐ Πελοποννησίοις· πιστεῦσαι δ᾽ ἂν μόνως Ἀθηναίοις·
εἰ σωθεὶς αὐτὸς κατέλθοι αὐτῷ ἀναδέξαιτο· οἱ δὲ ἀκού-
οντες ταῦτά τε καὶ ἄλλα πολλά, στρατηγόν τε αὐτὸν
εὐθὺς εἵλοντο μετὰ τῶν προτέρων· καὶ τὰ πράγματα πάν-
τα ἀνετίθεσαν· τήν τε παραυτίκα ἐλπίδα ἕκαστος, τῆς τε
σωτηρίας· καὶ τῆς τῶν τετρακοσίων τιμωρίας οὐδενὸς
ἂν ἠλλάξαντο· καὶ ἑτοῖμοι ἦσαν ἤδη διὰ τὸ αὐτίκα,
τούς τε παρόντας πολεμίους ἐκ τῶν λεχθέντων καταφρο-
νεῖν· πλεῖν τε ἐπὶ τὸν Πειραιᾶ· ὁ δέ, τὸ μὲν ἐπὶ τὸν Πει-
ραιᾶ πλεῖν τοὺς ἐγγυτέρω πολεμίους ὑπολιπόντας,
καὶ πάνυ διεκώλυσε πολλῶν ἐπειγομένων· τὰ δὲ τοῦ
πολέμου πρῶτον ἔφη· ἐπειδὴ καὶ στρατηγὸς ᾕρηται
πλεύσας ὡς Τισσαφέρνην, πράξειν· καὶ ἀπὸ ταύτης
τῆς ἐκκλησίας, εὐθὺς ᾤχετο· ἵνα δοκῇ πάντα μετ᾽ ἐκεί-
νου κοινοῦσθαι· καὶ ἅμα βουλόμενος αὐτῷ τιμιώ-
τερός τε εἶναι· καὶ ἐνδείκνυσθαι ὅτι καὶ στρατηγὸς ἤδη
ᾕρηται· καὶ εὖ καὶ κακῶς οἷός τέ ἐστιν αὐτὸν ποι-
εῖν· ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ τῷ μὲν Τισσαφέρνει
τοὺς Ἀθηναίους φοβεῖν· ἐκείνοις δὲ τὸν Τισσαφέρνην·
οἱ δὲ Πελοποννήσιοι ἐν τῇ Μιλήτῳ πυνθανόμενοι τὴν Ἀλ-
κιβιάδου κάθοδον καὶ πρότερον τῷ Τισσαφέρνει ἀ-
πιστοῦντες· πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο· ξυ-
νηνέχθη γὰρ αὐτοῖς κατὰ τὸν ἐπὶ τὴν Μίλητον Ἀθηναίων

ἐπίπλου. ὡς οὐκ ἠθέλησαν αὐτοὶ ἀναγαγόντες ναυμαχῆ-
σαι, πολλῷ ἐς τὴν μισθοδοσίαν τὸν τισσαφέρνην ἀρρωστό-
τερον γενόμενον. καὶ ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν πρότερον ἔτι
τούτων διὰ τὸν ἀλκιβιάδην ἐπιδεδώκει. καὶ ξυνιστά-
μενοι πρὸς ἀλλήλους. οἷαπερ καὶ πρότερον οἱ στρατιῶται
ἀνελογίζοντο. καί τινες τῶν ἄλλων τῶν ἀξίων λόγου ἀνθρώπων
καὶ οὐ μόνον τὸ στρατιωτικόν. ὡς οὔτε μισθὸν ἐντελῆ πώποτε
λάβοιεν. τό τε διδόμενον βραχύ. καὶ οὐδὲ τοῦτο ξυνε-
χῶς. καὶ εἰ μή τις ἢ ναυμαχήσει ἢ ἀπαλλάξεται ὅθεν τρο-
φὴν ἕξει. ἀπολείψειν τοὺς ἄνδρας τὰς ναῦς. πάντων τε
ἀστύοχον εἶναι αἴτιον ἐπιφέροντα ὀργὰς τισσαφέρνει
διὰ ἴδια κέρδη. ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισ-
μῷ. ξυνηνέχθη καὶ τοιόσδε τις θόρυβος περὶ τὸν ἀστύ-
οχον. τῶν συρακοσίων καὶ θουρίων ὅσῳ μάλιστα καὶ
ἐλεύθεροι ἦσαν τὸ πλῆθος οἱ ναῦται. τοσούτῳ καὶ
θρασύτατα προσπεσόντες. τὸν μισθὸν ἀπῄτουν. ὁ δὲ
αὐθαδέστερόν τέ τι ἀπεκρίνατο. καὶ ἠπείλησε. καὶ τῷ
γε δωριεῖ ξυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις, καὶ ἐπα-
νήρατο τὴν βακτηρίαν. τὸ δὲ πλῆθος τῶν στρατιωτῶν
ὡς εἶδον οἷα δὴ ναῦται ὥρμησαν ἐκραγέντες ἐπὶ
τὸν ἀστύοχον. ὥστε βάλλειν. ὁ δὲ, προϊδὼν, καταφεύγει
ἐπὶ βωμόν τινα. οὐ μέντοι ἐβλήθη γε ἀλλὰ διελύθησαν
ἀπ' ἀλλήλων. ἔλαβον δὲ καὶ τὸ ἐν τῇ μιλήτῳ ἐνῳκοδο-
μημένον τοῦ τισσαφέρνους φρούριον οἱ μιλήσιοι. λά-
θρα ἐπιπεσόντες. καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκ-
βάλλουσι. ξυνεδόκει δὲ καὶ τοῖς ἄλλοις ξυμμάχοις
ταῦτα. καὶ οὐχ ἥκιστα τοῖς συρακοσίοις. ὁ μέντοι
λίχας οὔτε ἠρέσκετο αὐτοῖς, ἔφη τε χρῆναι τισσα-
φέρνει. καὶ δουλεύειν μιλησίους καὶ τοὺς ἄλλους τοὺς

ἐν τῇ βασιλέως ταμιείᾳ καὶ ἐπιθεραπεύειν· ἕως ἂν τὸν
πόλεμον διαθῶνται· οἱ δὲ μιλήσιοι ὀργιζόμενοι τῷ ἑαυτῶν· καὶ
διὰ ταῦτα καὶ δι' ἄλλα τοιουτότροπα, νόσῳ ὕστερον ἀποθα-
νόντα αὐτὸν οὐκ εἴασαν θάψαι οὗ ἐβούλοντο οἱ παρόντες
τῶν λακεδαιμονίων· ἐχόντων δὲ τοιαύτην διαφορὰν ὄντων
αὐτοῖς τῶν πραγμάτων, πρός τε τὸν ἀστύοχον καὶ τὸν τισσα-
φέρνην, μίνδαρος διάδοχος τῆς ἀστυόχου ναυαρχίας
ἐκ λακεδαίμονος ἐπῆλθε καὶ παραλαμβάνει τὴν ἀρχήν·
ὁ δὲ ἀστύοχος ἀπέπλει· ξυνέπεμψε δὲ καὶ τισσαφέρ-
νης αὐτῷ πρεσβευτὴν τῶν παρ' ἑαυτοῦ γαυλίτην ὄνομα,
κᾶρα δίγλωσσον· κατηγορήσοντα τῶν μιλησίων περὶ τοῦ
φρουρίου καὶ περὶ αὐτοῦ ἅμα ἀπολογησόμενον· εἰδὼς
τούς τε μιλησίους πορευομένους ἐπὶ καταβοῇ τῇ ἑαυτοῦ
μάλιστα· καὶ τὸν ἑρμοκράτην μετ' αὐτῶν· ὃς ἔμελλε τὸν
τισσαφέρνην ἀποφαίνειν φθείροντα τὰ πελοποννη-
σίων τὰ πράγματα μετὰ ἀλκιβιάδου· καὶ ἐπαμφοτερί-
ζοντα· ἔχθρα δὲ πρὸς αὐτὸν ἦν αὐτῷ αἰεί ποτε περὶ τοῦ μι-
σθοῦ τῆς ἀποδόσεως· καὶ τὰ τελευταῖα φυγόντος ἐκ συ-
ρακουσῶν τοῦ ἑρμοκράτους, καὶ ἑτέρων ἡκόντων ἐπὶ τὰς
ναῦς τῶν συρακοσίων ἐς τὴν μίλητον στρατηγῶν, ποτα-
μίδος καὶ μύσκωνος καὶ δημάρχου, ἐνέκειτο ὁ τισ-
σαφέρνης φυγάδι ὄντι ἤδη τῷ ἑρμοκράτει πολλῷ
ἔτι μᾶλλον καὶ κατηγόρει· ἄλλα τε καὶ ὡς χρήματα
ποτὲ αἰτήσας αὐτὸν καὶ οὐ τυχὼν, τὴν ἔχθραν οἱ· προ-
θέσθαι· ὁ μὲν οὖν ἀστύοχος καὶ οἱ μιλήσιοι καὶ ὁ ἑρμο-
κράτης, ἀπέπλευσαν ὡς τὴν λακεδαίμονα· ὁ δὲ ἀλ-
κιβιάδης διαβεβήκει πάλιν ἤδη παρὰ τοῦ τισσαφέρ-
νους ἐς τὴν σάμον· καὶ οἱ ἐκ τῆς δήλου ἀπὸ τῶν τετρακο-
σίων πρέσβεις, οὓς τότε ἔπεμψαν παραμυθησομένους

καὶ ἀναδιδάξοντας τοὺς ἐν τῇ Σάμῳ, ἀφικνοῦνται πα-
ρόντος τοῦ ἀλκιβιάδου. καὶ ἐκκλησίας γενομένης λέ-
γειν ἐπεχείρουν. οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον
ἀκούειν. ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύ-
οντας. ἔπειτα μέντοι μόλις ἡσυχάσαντες ἤκουσαν. οἱ
δ' ἀπήγγελλον ὡς οὔτε ἐπὶ διαφθορᾷ τῆς πόλεως ἡ μετά-
στασις γένοιτο, ἀλλ' ἐπὶ σωτηρίᾳ. οὔθ' ἵνα τοῖς πολεμίοις
παραδοθῇ. ἐξεῖναι γὰρ ὅτε ἐσέβαλον ἤδη, σφῶν ἀρ-
χόντων τοῦτο ποιῆσαι. τῶν τε πεντακισχιλίων ὅτι πάντες
ἐν τῷ μέρει μεθέξουσιν. οἱ δὲ οἰκεῖοι αὐτῶν οὔθ' ὑβρίζονται
ὥσπερ χαιρέας διαβάλλων ἀπήγγειλεν, οὔτε κακὸν ἔχουσιν
οὐδέν. ἀλλ' ἐπὶ τοῖς σφετέροις αὐτῶν ἕκαστοι κατὰ χώ-
ραν μένουσιν. ἄλλα τε πολλὰ εἰπόντων οὐδὲν μᾶλλον ἐ-
σήκουον. ἀλλ' ἐχαλέπαινον. καὶ γνώμας ἄλλοι ἄλλας ἔ-
λεγον. μάλιστα δὲ ἐπὶ τὸν πειραιᾶ πλεῖν. καὶ δοκεῖ
ἀλκιβιάδης πρῶτος τότε καὶ οὐδενὸς ἔλασσον τὴν πό-
λιν ὠφελῆσαι. ὡρμημένων γὰρ τῶν ἐν Σάμῳ ἀθηναίων
πλεῖν ἐπὶ σφᾶς αὐτούς. ἐν ᾧ σαφέστατα ἰωνίαν καὶ ἑλ-
λήσποντον εὐθὺς εἶχον οἱ πολέμιοι, κωλυτὴς γενέσθαι.
καὶ ἐν τῷ τότε. ἄλλος μὲν οὐδ' ἂν εἷς ἱκανὸς ἐγένετο κα-
τασχεῖν τὸν ὄχλον. ἐκεῖνος δὲ τοῦ ἐπίπλου ἔπαυσεν. καὶ
τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν ὀργιζομένους. λοιδορῶν ἀ-
πέτρεπεν. αὐτὸς δὲ ἀποκρινάμενος αὐτοῖς ἀπέπεμπεν. ὅτι
τοὺς μὲν πεντακισχιλίους οὐ κωλύοι ἄρχειν. τοὺς μέν-
τοι τετρακοσίους ἐκέλευεν ἀπαλλάσσειν αὐτούς. καὶ κα-
θιστάναι τὴν βουλὴν ὥσπερ καὶ πρότερον τοὺς πεντα-
κοσίους. εἰ δὲ ἐς εὐτέλειάν τι ξυντέτμηται ὥστε τοὺς στρα-
τευομένους μᾶλλον ἔχειν τροφήν. πάνυ ἐπαινεῖν. καὶ
τἆλλα ἐκέλευεν ἀντέχειν. καὶ μηδὲν ἐνδιδόναι τοῖς

πολεμίοις· πρὸς μὲν γὰρ σφᾶς αὐτοὺς σωζομένης τῆς πό-
λεως, πολλὴν ἐλπίδα εἶναι καὶ ξυμβῆναι, εἰ δὲ ἅπαξ τὸ
ἕτερον σφαλήσεται ἢ τὸ ἐν σάμῳ ἢ ἐκεῖνοι, οὐδὲ ὅτῳ δι-
αλλαγήσεταί τις ἔτι ἔσεσθαι· παρῆσαν δὲ καὶ ἀργεί-
ων πρέσβεις ἐπαγγελλόμενοι τῷ ἐν τῇ σάμῳ τῶν ἀθηναίων
δήμῳ, ὥστε βοηθεῖν· ὁ δὲ ἀλκιβιάδης ἐπαινέσας αὐτούς,
καὶ εἰπὼν ὅταν τις καλῇ παρεῖναι, οὕτως ἀπέπεμπε· ἀφί-
κοντο δὲ οἱ ἀργεῖοι μετὰ τῶν παράλων, οἳ τότε ἐτάχθησαν
ἐν τῇ στρατιώτιδι νηΐ, ὑπὸ τῶν τετρακοσίων περιπλεῖν εὔβοιαν·
καὶ ἄγοντες ἀθηναίων ἐς λακεδαίμονα ἀπὸ τῶν τετρακο-
σίων πεμφθέντας πρέσβεις· λαισποδίαν· καὶ ἀ-
ριστοφῶντα· καὶ μελησίαν· οἳ ἐπειδὴ ἐγένοντο πλέον-
τες κατ' ἄργος, τοὺς μὲν πρέσβεις ξυλλαβόντες τοῖς ἀργεί-
οις παρέδοσαν· ὡς τῶν οὐχ ἥκιστα καταλυσάντων τὸν δῆμον
ὄντας· αὐτοὶ δὲ οὐκέτι ἐς τὰς ἀθήνας ἀφίκοντο· ἄγον-
τες ἐκ τοῦ ἄργους, ἐς τὴν σάμον τοὺς πρέσβεις, ἀφικνοῦνται
ᾗπερ ἦγον τριήρει· τοῦ δ' αὐτοῦ θέρους τισσαφέρνης, κα-
τὰ καιρὸν τοῦτον ἐν ᾧ μάλιστα διά τε τἆλλα καὶ τὴν ἀλκι-
βιάδου κάθοδον, ἤχθοντο αὐτῷ οἱ πελοποννήσιοι, ὡς
φανερῶς ἤδη ἀττικίζοντι βουλόμενος ὡς ἐδόκει δή,
ἀπολύεσθαι πρὸς αὐτοὺς τὰς διαβολάς, παρεσκευά-
ζετο πορεύεσθαι ἐπὶ τὰς φοινίσσας ναῦς ἐς ἄσπενδον
καὶ τὸν λίχαν ξυμπορεύεσθαι ἐκέλευε· τῇ δὲ στρατιᾷ
προστάξειν ἔφη ταμὼν ἑαυτοῦ ὕπαρχον, ὥστε τροφὴν
ἐν ὅσῳ ἂν αὐτὸς ἀπῇ, διδόναι· λέγεται δὲ οὐ κατὰ ταὐτὸ
οὐδὲ ῥᾴδιον εἰδέναι τίνι γνώμῃ παρῆλθεν ἐς τὴν ἄσπεν-
δον· καὶ παρελθὼν οὐκ ἦγε τὰς ναῦς· ὅτι μὲν γὰρ αἱ φοι-
νίσσαι νῆες ἑπτὰ καὶ τεσσαράκοντα καὶ ἑκατὸν μέ-
χρι ἀσπένδου ἀφίκοντο σαφές ἐστι· διότι δὲ οὐκ ἦλθον

πολλαχῇ εἰκάζεται. οἱ μὲν γὰρ ἵνα διατρίβῃ ἀπελθὼν
ὥσπερ καὶ διενοήθη τὰ τῶν πελοποννησίων. τροφὴν
γοῦν οὐδὲν βέλτιον ἀλλὰ καὶ χεῖρον ὁ Ταμὼς ᾧ προσ
τέτακτο παρεῖχεν. οἱ δέ, ἵνα τοὺς φοίνικας προαγαγὼν
ἐς τὴν ἄσπενδον ἐκχρηματίσαιτο. ἀφεὶς. καὶ γὰρ αὐτοῖς
οὐδὲν ἔμελλε χρήσεσθαι. ἄλλοι δ' ὡς καταβοῆς ἕνεκα
τῆς ἐς λακεδαίμονα τὸ λέγεσθαι ὡς οὐκ ἀδικεῖ. ἀλλὰ
σαφῶς οἴχεται ἐπὶ τὰς ναῦς ἀληθῶς πεπληρωμένας.
ἐμοὶ μέντοι δοκεῖ. σαφέστατον εἶναι τριβῆς ἕνεκα. καὶ
ἀνακωχῆς τῶν ἑλληνικῶν τὸ ναυτικὸν οὐκ ἀγαγεῖν. φθο
ρᾶς μὲν ἐν ὅσῳ παρῄει ἐκεῖσε καὶ διέμελλεν. ἀνισω
σεως δὲ ὅπως μηδετέροις προσθέμενος, ἰσχυροτέ
ρους ποιήσῃ. ἐπεὶ εἴ γε ἐβουλήθη διαπολεμῆσαι, ἐπι
φανὲς δήπου οὐκ ἐνδοιαστῶς. κομίσας γὰρ ἂν λακεδαι
μονίοις τὴν νίκην κατὰ τὸ εἰκὸς ἔδωκεν. οἵ γε καὶ ἐκ
τοῦ παρόντος ἀντιπάλως μᾶλλον ἢ ὑποδεεστέρως τῷ
ναυτικῷ ἀνθώρμουν. καταφωρᾷ δὲ μάλιστα καὶ ἣν
εἶπε πρόφασιν οὐ κομίσας τὰς ναῦς. ἔφη γὰρ αὐτὰς
ἐλάσσους ἢ ὅσας βασιλεὺς ἔταξε ξυλλεγῆναι. ὁ δὲ
χάριν ἂν δήπου ἐν τούτῳ μείζω ἔτι ἔσχεν. οὔτε ἀναλώ
σας πολλὰ τῶν βασιλέως, τά τε αὐτὰ ἀπ' ἐλασσόνων
πράξας. ἐς δ' οὖν τὴν ἄσπενδον ᾗτινι δὴ γνώμῃ ὁ
Τισσαφέρνης ἀφικνεῖται. καὶ τοῖς φοίνιξι ξυγγίγνεται
καὶ οἱ πελοποννήσιοι ἔπεμψαν ὡς ἐπὶ τὰς ναῦς
κελεύσαντος αὐτοῦ, φίλιππον ἄνδρα λακεδαιμόνιον
δύο τριήρεσιν. ἀλκιβιάδης δὲ ἐπειδὴ καὶ τὸν Τισσαφέρ
νην ᾔσθετο παριόντα καὶ ἐπὶ τῆς ἀσπένδου, ἔπλει καὶ
αὐτὸς. λαβὼν τρισκαίδεκα ναῦς. ὑπισχνούμενος τοῖς
ἐν τῇ σάμῳ ἀσφαλῆ καὶ μεγάλην χάριν. ἢ γὰρ αὐτὸς

ἄξειν ἀθηναίοις τὰς φοινίσσας ναῦς, ἢ πελοποννησίοις
κωλύσειν ἐλθεῖν· εἰδὼς ὡς εἰκὸς ἐκ πλέονος τὴν τισσαφέρ-
νους γνώμην ὅτι οὐκ ἄξειν ἔμελλε· καὶ βουλόμενος
αὐτὸν τοῖς πελοποννησίοις ἐς τὴν αὐτοῦ καὶ ἀθηναίων
φιλίαν ὡς μάλιστα διαβάλλειν ὅπως μᾶλλον δι' αὐτὸ
σφίσιν ἀναγκάζοιτο προσχωρεῖν· καὶ ὁ μὲν ἄρας εὐ-
θὺ τῆς φασήλιδος καὶ καύνου, ἄνω τὸν πλοῦν ἐποι-
εῖτο· οἱ δ' ἐκ τῆς σάμου ἀπὸ τῶν τετρακοσίων πεμφθέν-
τες πρέσβεις. ἐπειδὴ ἀφικόμενοι ἐς τὰς ἀθήνας ἀπήγγειλαν
τὰ παρὰ τοῦ ἀλκιβιάδου· ὡς κελεύει τε ἀντέχειν καὶ
μηδὲν ἐνδιδόναι, τοῖς πολεμίοις. ἐλπίδας τε ὅτι πολ-
λὰς ἔχει κἀκείνοις τὸ στράτευμα διαλλάξειν· καὶ πε-
λοποννησίων περιέσεσθαι ἀχθομένους καὶ πρότερον,
πολλοὺς τῶν μετεχόντων τῆς ὀλιγαρχίας, καὶ ἡδέως ἂν
ἀπαλλαγέντας πῃ ἀσφαλῶς τοῦ πράγματος· πολλῷ
δὴ μᾶλλον ἐπέρρωσαν· καὶ ξυνίσταντό τε ἤδη· καὶ τὰ
πράγματα διεμέμφοντο· ἔχοντες ἡγεμόνας τῶν πάνυ
στρατηγῶν τῶν ἐν τῇ ὀλιγαρχίᾳ καὶ ἐν ἀρχαῖς ὄντων· οἷ-
ον θηραμένην τε τὸν ἅγνωνος· καὶ ἀριστοκράτην τὸν
σκελίου· καὶ ἄλλους οἳ μετέσχον μὲν ἐν πρώτοις τῶν
πραγμάτων· φοβούμενοι δέ, ὡς ἔφασαν, τό τε ἐν τῇ σά-
μῳ στράτευμα καὶ τὸν ἀλκιβιάδην σπουδῇ πάνυ τούς
τε ἐς τὴν λακεδαίμονα πρεσβευομένους ἔπεμπον· μή
τι ἄνευ τῶν πλεόνων κακὸν δράσωσι τὴν πόλιν· οὐ
τὸ ἀπαλλάξειν τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν· ἀλλὰ τοὺς πεν-
τακισχιλίους ἔργῳ καὶ μὴ ὀνόματι χρῆναι ἀποδεικνύ-
ναι· καὶ τὴν πολιτείαν ἰσαιτέραν καθιστάναι· ἦν δὲ τοῦ-
το μὲν τὸ σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς· κατ' ἰδίας
δὲ φιλοτιμίας οἱ πολλοὶ αὐτῶν τῷ τοιούτῳ προσέκειντο.

ἐν ᾧπερ καὶ μάλιστα ὀλιγαρχία ἐκ δημοκρατίας γενομένη
ἀπόλλυται· πάντες γὰρ αὐθημερὸν ἀξιοῦσιν οὐχ ὅπως
ἴσοι· ἀλλὰ καὶ πολὺ πρῶτος αὐτὸς ἕκαστος εἶναι· ἐκ
δὲ δημοκρατίας αἱρέσεως γινομένης, ῥᾷον τὰ ἀπο-
βαίνοντα ὡς οὐκ ἀπὸ τῶν ὁμοίων ἐλασσούμενός τις
φέρει· σαφέστατα δ᾽ αὐτοὺς ἐπῇρε τὰ ἐν τῇ Σάμῳ τοῦ Ἀλ-
κιβιάδου ἰσχυρὰ ὄντα· καὶ ὅτι αὐτοῖς οὐκ ἐδόκει μό-
νιμον τὸ τῆς ὀλιγαρχίας ἔσεσθαι· ἠγωνίζετο οὖν εἷς ἕ-
καστος ἐς ἐπιβολήν· αὐτὸς πρῶτος προστάτης τοῦ δή-
μου γενέσθαι· οἱ δὲ τῶν τετρακοσίων μάλιστα ἐναν-
τίοι ὄντες τῷ τοιούτῳ εἴδει, καὶ προεστῶτες Φρύνιχός
τε ὃς καὶ στρατηγὸς ἐν τῇ Σάμῳ ποτὲ τῷ Ἀλκιβιάδῃ, τό-
τε διηνέχθη· καὶ Ἀρίσταρχος ἀνὴρ ἐν τοῖς μάλιστα,
καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ· καὶ Πείσανδρος καὶ
Ἀντιφῶν· καὶ ἄλλοι οἱ δυνατώτατοι πρότερόν τε ἐπεὶ
τάχιστα κατέστησαν· καὶ ἐπειδὴ τὰ ἐν τῇ Σάμῳ σφῶν
ἐς δημοκρατίαν ἀπέστη· πρέσβεις τε ἀπέστελλον σφῶν
ἐς τὴν Λακεδαίμονα καὶ τὴν ὁμολογίαν προυθυμοῦν-
το· καὶ τὸ ἐν τῇ Ἠετιωνείᾳ καλουμένῃ τεῖχος ἐποι-
οῦντο· πολλῷ τε ἔτι μᾶλλον ἐπειδὴ καὶ οἱ ἐκ τῆς Σάμου
πρέσβεις σφῶν ἦλθον· ὁρῶντες τούς τε πολλοὺς· καὶ σφῶν
τοὺς δοκοῦντας πρότερον πιστοὺς εἶναι μεταβαλλομένους·
καὶ ἀπέστειλαν μὲν Ἀντιφῶντα καὶ Φρύνιχον· καὶ ἄλ-
λους δέκα κατὰ τάχος· φοβούμενοι καὶ τὰ αὐτοῦ καὶ τὰ
ἐκ τῆς Σάμου· ἐπιστείλαντες παντὶ τρόπῳ ὅστις καὶ ὁ-
πωσοῦν ἀνεκτὸς ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαι-
μονίους, ᾠκοδόμουν δὲ ἔτι προθυμότερον τὸ ἐν τῇ
Ἠετιωνείᾳ τεῖχος· ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη, ὡς ἔ-
φη Θηραμένης καὶ οἱ μετ᾽ αὐτοῦ, οὐχ ἵνα τοὺς ἐν Σάμῳ

ἢν βίᾳ ἐσπλέωσι μὴ δέξωνται ἐς τὸν πειραιᾶ· ἀλλ' ἵνα τοὺς
πολεμίους μᾶλλον ὅταν βούλωνται, καὶ ναῦς καὶ πεζοὺς
δέξωνται· χηλὴ γάρ ἐστι τοῦ πειραιῶς ἡ ἠετιωνεία· καὶ
παρ' αὐτὴν εὐθὺς ὁ ἔσπλους ἐστίν· ἐτειχίζετο οὖν οὕτω ξὺν
τῷ πρότερον πρὸς ἤπειρον ὑπάρχοντι τείχει· ὥστε καθε-
ζομένων ἐς αὐτὸ ἀνθρώπων ὀλίγων, ἄρχειν τοῦ γε ἔσπλου· ἐπ'
αὐτὸν γὰρ τὸν ἐπὶ τῷ στόματι τοῦ λιμένος στενοῦ ὄντος,
τὸν ἕτερον πύργον ἐτελεύτα τό τε παλαιὸν τὸ πρὸς
ἤπειρον· καὶ τὸ καινὸν τὸ ἐντὸς τοῦ τείχους τειχιζόμενον
πρὸς θάλασσαν· διῳκοδόμησαν δὲ καὶ στοάν· ἥπερ
ἦν μεγίστη· καὶ ἐγγύτατα τούτου εὐθὺς ἐχομένη ἐν τῷ
πειραιεῖ· καὶ ἦρχον οἱ αὐτοὶ αὐτῆς· ἐς ἣν καὶ τὸν σῖτον
ἠνάγκαζον πάντας τὸν ὑπάρχοντά τε καὶ τὸν ἐσπλέ-
οντα ἐξαιρεῖσθαι· καὶ ἐντεῦθεν προαιροῦντας πωλεῖν.
ταῦτ' οὖν ἐκ πλείονος χρόνου ὁ θηραμένης διεθρόει,
καὶ ἐπειδὴ οἱ ἐκ τῆς λακεδαίμονος πρέσβεις, οὐδὲν
πράξαντες ἀνεχώρησαν· τοῖς ξύμπασι ξυμβαλεῖν· φά-
σκων κινδυνεύσειν τὸ τεῖχος τοῦτο καὶ τὴν πόλιν δια-
φθεῖραι. ἅμα γὰρ ἐκ τῆς πελοποννήσου ἐτύγχανον ἀ-
βοέων ἐπικαλουμένων κατὰ τὸν αὐτὸν χρόνον τοῦτον,
δύο καὶ τεσσαράκοντα νῆες ὧν ἦσαν καὶ ἐκ τάραντος
καὶ ἐκ λοκρῶν ἰταλιῶται καὶ σικελικαί· καὶ ἤδη
ὁρμοῦσαι ἤδη ἐπὶ τῆς λακωνικῆς καὶ παρασκευα-
ζόμεναι τὸν ἐς τὴν εὔβοιαν πλοῦν· ἦρχε δὲ αὐτῶν ἀγη-
σανδρίδας ἀγησάνδρου σπαρτιάτης· ἃς ἔφη θηρα-
μένης οὐκ εὐβοίᾳ μᾶλλον ἢ τοῖς τειχίζουσι τὴν ἠετι-
ωνείαν προσπλεῖν, καὶ εἰ μή τις ἤδη φυλάξεται, λή-
σειν διαφθαρέντας· ἦν δέ τι καὶ τοιοῦτον ἀπὸ τῶν τὴν
κατηγορίαν ἐχόντων, καὶ οὐ πάνυ διαβολὴ μόνον τοῦ

λόγου. ἐκεῖνοι γὰρ μάλιστα μὲν ἐβούλοντο ὀλιγαρχούμενοι
ἄρχειν καὶ τῶν ξυμμάχων. εἰ δὲ μή, τάς τε ναῦς καὶ τὰ τείχη
ἔχοντες, αὐτονομεῖσθαι. ἐξειργόμενοι δὲ καὶ τούτου, μὴ
οὖν ὑπὸ τοῦ δήμου αὖθις γενομένου αὐτοὶ πρὸ τῶν ἄλλων
μάλιστα διαφθαρῆναι. ἀλλὰ καὶ τοὺς πολεμίους ἐσαγα-
γόμενοι, ἄνευ τειχῶν καὶ νεῶν ξυμβῆναι. καὶ ὁτιοῦν
τὰ τῆς πόλεως ἔχειν εἰ τοῖς σώμασι σφῶν ἄδεια ἔσται. δι-
όπερ καὶ τὸ τεῖχος τοῦτο, καὶ πυλίδας ἔχον καὶ ἐσόδους
καὶ ἐπεσαγωγὰς τῶν πολεμίων, ἐτείχιζόν τε προθύμως,
καὶ φθῆναι ἐβούλοντο ἐξεργασάμενοι. πρότερον μὲν
οὖν κατ' ὀλίγους τε καὶ κρύφα μᾶλλον τὰ λεγόμενα ἦν.
ἐπεὶ δὲ ὁ Φρύνιχος ἥκων ἐκ τῆς ἐς Λακεδαίμονα πρε-
σβείας, πληγεὶς ὑπ' ἀνδρὸς τῶν περιπόλων τινὸς ἐξ ἐπι-
βουλῆς ἐν τῇ ἀγορᾷ πληθούσῃ, καὶ οὐ πολὺ ἀπὸ τοῦ βου-
λευτηρίου ἀπελθὼν. ἀπέθανε παραχρῆμα. καὶ ὁ μὲν
πατάξας διέφυγε. ὁ δὲ ξυνεργὸς Ἀργεῖος ἄνθρωπος ληφθεὶς
καὶ βασανιζόμενος ὑπὸ τῶν τετρακοσίων οὐδενὸς ὄνο-
μα κελεύσαντος εἶπεν. οὐδὲ ἄλλο τι, ἢ ὅτι εἰδείη πολλοὺς
ἀνθρώπους. καὶ ἐς τοῦ περιπολάρχου καὶ ἄλλοσε κατ' οἰκίας
ξυνιόντας. τότε δὴ οὐδενὸς γεγενημένου ἀπ' αὐτοῦ νεω-
τέρου. καὶ ὁ Θηραμένης ἤδη θρασύτερον καὶ ὁ Ἀριστο-
κράτης καὶ ὅσοι ἄλλοι τῶν τετρακοσίων αὐτῶν καὶ τῶν ἔ-
ξωθεν ἦσαν ὁμογνώμονες ᾔεσαν ἐπὶ τὰ πράγματα. ἅμα
γὰρ καὶ ἀπὸ τῆς Λακεδαίμονος αἱ νῆες ἤδη περιπλεύ-
σασαι καὶ ὁρμισάμεναι ἐς τὴν Ἐπίδαυρον, τὴν Αἴγιναν
καταδεδραμήκεσαν. καὶ οὐκ ἔφη ὁ Θηραμένης εἰκὸς
εἶναι ἐπ' Εὔβοιαν πλεούσας αὐτὰς ἐς Αἴγιναν κατακολ-
πίσαι. καὶ πάλιν ἐν Ἐπιδαύρῳ ὁρμεῖν, εἰ μὴ παρακληθεί-
σας ἥκειν. ἐφ' οἷσπερ καὶ αὐτὸς αἰεὶ κατηγόρει. οὐκ εἶναι

ὧν οἷόν τε εἶναι ἡσυχάζειν. τέλος δὲ ἐπὶ πολλῶν καὶ στασιωτικῶν
λόγων καὶ ὑποψιῶν προσγιγνομένων. καὶ ἔργῳ ἤδη ἥ-
πτοντο τῶν πραγμάτων. οἱ γὰρ ἐν τῷ Πειραιεῖ τὸ τῆς Ἠετιω-
νείας τεῖχος ὁπλῖται οἰκοδομοῦντες, ἐν οἷς καὶ Ἀριστοκρά-
της ἦν ταξιαρχῶν. καὶ τὴν ἑαυτοῦ φυλὴν ἔχων, ξυλ-
λαμβάνουσιν Ἀλεξικλέα στρατηγὸν ὄντα ἐκ τῆς ὀλιγαρ-
χίας. καὶ μάλιστα πρὸς τοὺς ἑταίρους τετραμμένον. καὶ
ἐς οἰκίαν ἀγαγόντες εἷρξαν. ξυνεπελάβοντο δὲ ἅμα
αὐτοῖς καὶ ἄλλοι. καὶ Ἕρμων τῶν περιπόλων τις τῶν
Μουνιχίασι τεταγμένων ἄρχων. τὸ δὲ μέγιστον τῶν ὁπλι-
τῶν τὸ στῖφος ταῦτα ἐβούλετο. ὡς δὲ ἐσηγγέλθη τοῖς
τετρακοσίοις, ἔτυχον δὲ ἐν τῷ βουλευτηρίῳ ξυγκαθή-
μενοι. εὐθὺς πλὴν ὅσοις μὴ βουλομένοις ταῦτα ἦν, ἕ-
τοιμοι ἦσαν ἐς τὰ ὅπλα ἰέναι. καὶ τῷ Θηραμένει καὶ τοῖς
μετ᾽ αὐτοῦ ἠπείλουν. ὁ δὲ ἀπολογούμενος ἕτοιμος
ἔφη εἶναι ξυναφαιρησόμενος ἰέναι ἤδη. καὶ παρα-
λαβὼν ἕνα τῶν στρατηγῶν, ὃς ἦν αὐτῷ ὁμογνώμων,
ἐχώρει ἐς τὸν Πειραιᾶ. ἐβοήθει δὲ καὶ Ἀριστοκράτης.
καὶ τῶν ἱππέων νεανίσκοι. ἦν δὲ θόρυβος πολὺς καὶ
ἐκπληκτικός. οἵ τε γὰρ ἐν τῷ ἄστει ἤδη ᾤοντο τόν τε Πει-
ραιᾶ κατειλῆφθαι. καὶ τὸν ξυνειλημμένον τεθνάναι.
οἵ τε ἐν τῷ Πειραιεῖ τοὺς ἐκ τοῦ ἄστεος ὅσον οὔπω ἐπὶ σφᾶς
παρεῖναι. μόλις δὲ τῶν πρεσβυτέρων διακωλυόντων,
τοὺς ἐν τῷ ἄστει διαθέοντας. καὶ ἐπὶ τὰ ὅπλα φερομένους.
καὶ Θουκυδίδου τοῦ Φαρσαλίου τοῦ προξένου τῆς
πόλεως παρόντος, καὶ προθύμως ἐμποδών τε ἑκάστοις
γιγνομένου καὶ ἐπιβοωμένου. μὴ ἐφεδρευόντων
ἐγγὺς τῶν πολεμίων. ἀπολέσαι τὴν πατρίδα, ἡσύχα-
σάν τε καὶ σφῶν αὐτῶν ἀπέσχοντο. καὶ ὁ μὲν Θηραμένης

ἐλθὼν ἐς τὸν πειραιᾶ· ἦν δὲ καὶ αὐτὸς στρατηγός· ὅσον
ἀπὸ βοῆς ἕνεκα ὀργίζετο τοῖς ὁπλίταις· ὁ δὲ ἀρίσταρ
χος καὶ οἱ ἐναντίοι τῷ πλήθει ἐχαλέπαινον· οἱ δὲ ὁ
πλῖται ὁμόσε τε ἐχώρουν οἱ πλεῖστοι τῷ ἔργῳ· καὶ οὐ
μετεμέλοντο καὶ τὸν θηραμένην ἠρώτων εἰ δοκεῖ αὐ
τῷ ἐπ' ἀγαθῷ τὸ τεῖχος οἰκοδομεῖσθαι· καὶ εἰ ἄμεινον
εἶναι καθαιρεθέν· ὁ δέ, εἴπερ καὶ ἐκείνοις δοκεῖ κα
θαιρεῖν καὶ ἑαυτῷ ἔφη ξυνδοκεῖν· καὶ ἐντεῦθεν εὐ
θὺς ἀναβάντες οἵ τε ὁπλῖται, καὶ πολλοὶ τῶν ἐκ τοῦ πει
ραιῶς ἀνθρώπων· κατέσκαπτον τὸ τείχισμα· ἦν δὲ πρὸς
τὸν ὄχλον ἡ παράκλησις· ὡς χρὴ ὅστις τοὺς πεντακισ
χιλίους βούλεται ἄρχειν ἀντὶ τῶν τετρακοσίων ἰέναι
ἐπὶ τὸ ἔργον· ἐπεκρύπτοντο γὰρ ὅμως ἔτι τῷ πεν
τακισχιλίων τῷ ὀνόματι· μὴ ἄντικρυς δῆμον ὅστις
βούλεται ἄρχειν ὀνομάζειν· φοβούμενοι μὴ τῷ ὄντι
ὦσι· καὶ πρός τινα εἰπών τις ἀγνοίᾳ σφαλῇ· καὶ οἱ
τετρακόσιοι διὰ τοῦτο οὐκ ἤθελον τοὺς πεντακισχιλίους
οὔτε εἶναι· οὔτε μὴ ὄντας δήλους εἶναι· τὸ μὲν καταστῆ
σαι μετόχους τοσούτους ἄντικρυς ἂν δῆμον ἡγούμενοι·
τὸ δ' αὖ ἀφανὲς φόβον ἐς ἀλλήλους παρέξειν· τῇ δ' ὑ
στεραίᾳ οἱ μὲν τετρακόσιοι ἐς τὸ βουλευτήριον ὅμως
καὶ τεθορυβημένοι ξυνελέγοντο· οἱ δ' ἐν τῷ πειραιεῖ
ὁπλῖται· τόν τε ἀλεξικλέα ὃν ξυνέλαβον ἀφέντες καὶ
τὸ τείχισμα καθελόντες, ἐς τὸ πρὸς τῇ μουνυχίᾳ διονυ
σιακὸν θέατρον ἐλθόντες, καὶ θέμενοι τὰ ὅπλα, ἐξεκ
λησίασάν τε καὶ δόξαν αὐτοῖς εὐθὺς ἐχώρουν ἐς τὸ ἄ
στυ· καὶ ἔθεντο αὖ ἐν τῷ ἀνακείῳ τὰ ὅπλα· ἐλθόν
τες δὲ ἀπὸ τῶν τετρακοσίων τινὲς ᾑρημένοι πρὸς αὐτούς,
ἀνὴρ ἀνδρὶ διελέγοντό τε καὶ ἔπειθον, οὓς ἴδοιεν

ἐπιεικεῖς αὐτούς τε ἡσυχάζειν· καὶ τοὺς ἄλλους παρακατέ
χειν, λέγοντες τούς τε πεντακισχιλίους ἀποφανεῖν· καὶ
ἐκ τούτων ἐν μέρει ᾗ ἂν τοῖς πεντακισχιλίοις δοκῇ τοὺς
τετρακοσίους ἔσεσθαι· τέως δὲ τὴν πόλιν μηδενὶ τρό
πῳ διαφθείρειν· μηδ' ἐς τοὺς πολεμίους ἀπῶσαι· τὸ δὲ
πᾶν πλῆθος τῶν ὁπλιτῶν, ἀπὸ πολλῶν καὶ πρὸς πολλοὺς
λόγων γιγνομένων, ἠπιώτερον ἦν ἢ πρότερον· καὶ ἐ
φοβεῖτο μάλιστα περὶ τοῦ παντὸς πολιτικοῦ· ξυνεχώρη
σάν τε ὥστε ἐς ἡμέραν ῥητὴν ἐκκλησίαν ποιῆσαι ἐν τῷ
Διονυσίῳ περὶ ὁμονοίας· ἐπειδὴ δὲ ἐπῆλθεν ἡ ἐν Διονύ
σου ἐκκλησία· καὶ ὅσον οὐ ξυνειλεγμένοι ἦσαν, ἀγγέλ
λονται αἱ δύο καὶ τεσσαράκοντα νῆες· καὶ ὁ Ἡγησαν
δρίδας ἀπὸ τῶν Μεγάρων τὴν Σαλαμῖνα παραπλεῖν
καὶ πᾶς τις τῶν πολλῶν ὁπλιτῶν αὐτὸ τοῦτο ἐνόμιζεν
εἶναι τὸ πάλαι λεγόμενον ὑπὸ Θηραμένους· καὶ τῶν μετ'
αὐτοῦ ὡς ἐς τὸ τείχισμα ἔπλεον αἱ νῆες· καὶ χρησίμως
ἐδόκει ἐσπεπτωκέναι· ὁ δὲ Ἡγησανδρίδας τάχα μέν τι
ἀπὸ ξυγκειμένου λόγου, περί τε τὴν Ἐπίδαυρον καὶ ταύτῃ
ἀνεστρέφετο· εἰκὸς δὲ αὐτὸν καὶ πρὸς τὸν παρόντα στασι
ασμὸν τῶν Ἀθηναίων δι' ἐλπίδος ὡς κἄν, ἐς δέον παρα
γίγνοιτο, ταύτῃ ἀνέχειν· οἱ δ' αὖ Ἀθηναῖοι ὡς ἠγγέλθη αὐ
τοῖς, εὐθὺς δρόμῳ ἐς τὸν Πειραιᾶ πανδημεὶ ἐχώρουν· ὡς
τοῦ ἰδίου πολέμου μείζονος ἢ ἀπὸ τῶν πολεμίων, οὐχ
ἑκάς, ἀλλὰ πρὸς τῷ λιμένι ὄντος· καὶ οἱ μὲν ἐς τὰς πα
ρούσας ναῦς ἐσέβαινον· οἱ δὲ ἄλλας καθεῖλκον· οἱ δέ
τινες ἐς τὰ τείχη καὶ τὸ στόμα τοῦ λιμένος παρεβοήθουν.
αἱ δὲ τῶν Πελοποννησίων νῆες, παραπλεύσασαι καὶ
περιβαλοῦσαι Σούνιον, ὁρμίζονται μεταξὺ Θορικοῦ
τε καὶ Πρασιῶν· ὕστερον δὲ ἀφικνοῦνται ἐς Ὠρωπόν

ἀθηναῖοι δὲ κατὰ τάχος, καὶ ἀγυμνάστοις πληρώμασιν
ἀναγκασθέντες χρήσασθαι οἷα πόλεώς τε στασιαζούσης·
καὶ περὶ τοῦ μεγίστου βουλόμενοι ἐν τάχει βοηθῆσαι. εὔβοια
γὰρ αὐτοῖς ἀποκεκλῃσμένης τῆς ἀττικῆς πάντα ἦν. πέμ-
πουσι θυμοχάρη στρατηγόν· καὶ ναῦς ἐς ἐρέτριαν· ὧν ἀ-
φικομένων ξὺν ταῖς πρότερον ἐν εὐβοίᾳ οὔσαις, ἓξ καὶ τριά-
κοντα ἐγένοντο· καὶ εὐθὺς ναυμαχεῖν ἠναγκάζοντο· ὁ γὰρ
ἀγησανδρίδας ἄριστον ποιησάμενος ἐκ τοῦ ὠρωποῦ, ἀνῆ-
γε τὰς ναῦς· ἀπέχει δὲ μάλιστα ὁ ὠρωπὸς τῆς τῶν ἐρετρι-
έων πόλεως, θαλάσσης μέτρον ἑξήκοντα σταδίους· ὅθεν
ἐπιπλέοντος εὐθὺς ἐπλήρουν καὶ οἱ ἀθηναῖοι τὰς ναῦς· οἰό-
μενοι σφίσι παρὰ ταῖς ναυσὶ τοὺς στρατιώτας εἶναι· οἱ δὲ ἔ-
τυχον οὐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι· οὐδὲν
γὰρ ἐπωλεῖτο ἀπὸ προνοίας τῶν ἐρετριέων· ἀλλ' ἐκ τῶν ἐ-
π' ἔσχατα τοῦ ἄστεος οἰκιῶν, ὅπως σχολῇ πληρουμένων,
φθάσειαν οἱ πολέμιοι προσπεσόντες· καὶ ἐξαναγκάσειαν
τοὺς ἀθηναίους οὕτως ὅπως τύχοιεν ἀνάγεσθαι· σημεῖον δὲ
αὐτοῖς ἐς τὸν ὠρωπὸν ἐκ τῆς ἐρετρίας, ὁπότε χρὴ ἀνά-
γεσθαι ἤρθη· διὰ τοιαύτης δὴ παρασκευῆς οἱ ἀθηναῖοι
ἀναγόμενοι καὶ ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος τῶν
ἐρετριέων· ὀλίγον μέν τινα χρόνον ὅμως καὶ ἀντέσχον·
ἔπειτα ἐς φυγὴν τραπόμενοι, καταδιώκονται ἐς τὴν γῆν
καὶ ὅσοι μὲν αὐτῶν πρὸς τὴν πόλιν τῶν ἐρετριέων ὡς φι-
λίαν καταφεύγουσι, χαλεπώτατα ἔπραξαν· φονευόμενοι
ὑπ' αὐτῶν· οἱ δὲ ἐς τὸ ἐπιτείχισμα τὸ ἐν τῇ ἐρετρίᾳ ὃ εἶ-
χον αὐτοί, περιγίγνονται· καὶ ὅσαι ἐς χαλκίδα ἀφικνοῦν-
ται τῶν νεῶν· λαβόντες δὲ καὶ πελοποννήσιοι δύο καὶ εἴ-
κοσι ναῦς τῶν ἀθηναίων· καὶ ἄνδρας τοὺς μὲν ἀποκτεί-
ναντες· τοὺς δὲ ζωγρήσαντες, τροπαῖον ἔστησαν· καὶ ὕστερον

ὕστερον εὔβοιαν τε ἅπασαν ἀποστήσαντες. πλὴν ὠρεοῦ ταύ
την δὲ ἀθηναῖοι εἶχον. καὶ τἆλλα τὰ περὶ αὐτὴν καθίσταντο. τοῖς
δὲ ἀθηναίοις ὡς ἦλθε τὰ περὶ τὴν εὔβοιαν γεγενημένα, ἔκ
πληξις μεγίστη δὴ τῶν πρὶν παρέστη. οὔτε γὰρ ἡ ἐν σικε
λίᾳ ξυμφορά, καίπερ μεγάλη τότε δόξασα εἶναι, οὔτε ἄλλη
οὐδεμία πω οὕτως ἐφόβησεν. ὅπου γὰρ στρατοπέδου τε τοῦ ἐν
σάμῳ ἀφεστηκότος. ἄλλων τε νεῶν οὐκ οὐσῶν. οὐδὲ τῶν
ἐσβησομένων αὐτῶν τε στασιαζόντων. καὶ ἄδηλον ὂν ὁπότε
σφίσιν αὐτοῖς ξυρράξουσι, τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο
ἐν ᾗ ναῦς τε καὶ τὸ μέγιστον εὔβοιαν ἀπολωλέκεσαν. ἐξ ἧς
πλείω ἢ τῆς ἀττικῆς ὠφελοῦντο, πῶς οὐκ εἰκότως ἠθύμουν.
μάλιστα δ' αὐτοὺς καὶ δι' ἐγγυτάτου ἐθορύβει, εἰ οἱ πολέμιοι
τολμήσουσι νενικηκότες εὐθὺ σφῶν ἐς τὸν πειραιᾶ
ἔρημον ὄντα νεῶν πλεῖν. καὶ ὅσον οὐκ ἤδη ἐνόμιζον
αὐτοὺς παρεῖναι. ὅπερ ἄν, εἰ τολμηρότεροι ἦσαν, ῥᾳδίως
ἂν ἐποίησαν. καὶ ἢ διέστησαν ἂν ἔτι μᾶλλον τὴν πόλιν
ἐφορμοῦντες, ἢ ἐπολιόρκουν μένοντες. καὶ τὰς ἀπ' ἰω
νίας ναῦς καίπερ πολεμίας οὔσας τῇ ὀλιγαρχίᾳ, τοῖς σφε
τέροις οἰκείοις καὶ τῇ ξυμπάσῃ πόλει βοηθῆσαι. καὶ ἐν
τούτῳ ἑλλήσποντός τε ἂν ἦν αὐτοῖς. καὶ ἰωνία, καὶ αἱ νῆσοι
καὶ τὰ μέχρι εὐβοίας. καὶ ὡς εἰπεῖν ἡ ἀθηναίων ἀρχὴ πᾶ
σα. ἀλλ' οὐκ ἐν τούτῳ μόνῳ λακεδαιμόνιοι ἀθηναίοις πάντων
δὴ ξυμφορώτατοι προσπολεμῆσαι ἐγένοντο. ἀλλὰ καὶ
ἐν ἄλλοις πολλοῖς. διάφοροι γὰρ πλεῖστον ὄντες τὸν τρόπον.
οἱ μέν, ὀξεῖς. οἱ δέ, βραδεῖς. καὶ οἱ μέν, ἐπιχειρηταί. οἱ δέ,
ἄτολμοι. ἄλλως τε καὶ ναυτικῇ ἀρχῇ πλεῖστα ὠφέλουν. ἔ
δειξαν δὲ οἱ συρακούσιοι. μάλιστα γὰρ ὁμοιότροποι γενό
μενοι ἄριστα καὶ προσεπολέμησαν. ἐπὶ δ' οὖν τοῖς ἠγγελ
μένοις οἱ ἀθηναῖοι ναῦς τε εἴκοσιν ὅμως ἐπλήρουν. καὶ

ἐκκλησίαν ξυνέλεγον· μίαν μὲν εὐθύς, τότε πρῶτον ἐς τὴν
πνύκα καλουμένην· οὗπερ καὶ ἄλλοτε εἰώθεσαν· ἐν ᾗπερ καὶ
τοὺς τετρακοσίους καταπαύσαντες, τοῖς πεντακισχιλίοις ἐψη-
φίσαντο τὰ πράγματα παραδοῦναι· εἶναι δὲ αὐτῶν ὁπόσοι καὶ ὅπλα
παρέχονται· καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾷ ἀρχῇ·
εἰ δὲ μή, ἐπάρατον ἐποιήσαντο· ἐγίγνοντο δὲ καὶ ἄλλαι
ὕστερον πυκναὶ ἐκκλησίαι· ἀφ᾽ ὧν καὶ νομοθέτας καὶ τἆλλα
ἐψηφίσαντο ἐς τὴν πολιτείαν· καὶ οὐχ ἥκιστα δὴ τὸν πρῶ-
τον χρόνον ἐπί γε ἐμοῦ ἀθηναῖοι φαίνονται εὖ πολιτεύ-
σαντες· μετρία γὰρ ἥ τε ἐς τοὺς ὀλίγους καὶ τοὺς πολλοὺς ξύγκρα-
σις ἐγένετο· καὶ ἐκ πονηρῶν τῶν πραγμάτων γενομένων
τοῦτο πρῶτον ἀνήνεγκε τὴν πόλιν· ἐψηφίσαντο δὲ καὶ
ἀλκιβιάδην· καὶ ἄλλους μετ᾽ αὐτοῦ κατιέναι· καὶ παρά τε
ἐκεῖνον καὶ παρὰ τὸ ἐν σάμῳ στρατόπεδον πέμψαντες,
διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων· ἐν δὲ τῇ με-
ταβολῇ ταύτῃ· εὐθὺς οἱ μὲν περὶ τὸν πείσανδρον καὶ ἀλεξι-
κλέα καὶ ὅσοι ἦσαν τῆς ὀλιγαρχίας μάλιστα ὑπεξέρχονται
ἐς τὴν δεκέλειαν· ἀρίσταρχος δὲ αὐτῶν μόνος, ἔτυχε
γὰρ καὶ στρατηγῶν, λαβὼν κατὰ τάχος τοξότας τινὰς τοὺς
βαρβαρωτάτους, ἐχώρει πρὸς τὴν οἰνόην· ἦν δὲ ἀθηναίων
ἐν μεθορίοις τῆς βοιωτίας τεῖχος· ἐπολιόρκουν δ᾽ αὐτὸ
διὰ ξυμφορὰν σφίσιν ἐκ τῆς οἰνόης γενομένην, ἀνδρῶν
ἐκ δεκελείας ἀναχωρούντων διαφθορᾶς οἱ κορίνθιοι ἐθελον-
τηδὸν προσκαλέσαντες τοὺς βοιωτούς· κοινολογησάμενος
οὖν αὐτοῖς ὁ ἀρίσταρχος ἀπατᾷ τοὺς ἐν τῇ οἰνόῃ λέγων ὡς
καὶ οἱ ἐν τῇ πόλει τἆλλα ξυμβεβήκασι λακεδαιμονίοις·
κἀκείνους δεῖ βοιωτοῖς τὸ χωρίον παραδοῦναι· ἐπὶ τούτοις
γὰρ ξυμβεβάσθαι· οἱ δέ, πιστεύσαντες ὡς ἀνδρὶ στρατη-
γῷ, καὶ οὐκ εἰδότες οὐδὲν διὰ τὸ πολιορκεῖσθαι ὑπόσπονδοι

ἐξέρχονται. τούτῳ τῷ τρόπῳ οἰνόη μὲν ληφθεῖσα βοι-
ωτοὶ κατέλαβον. καὶ οἱ ἐν ταῖς ἀθήναις ὀλιγαρχία καὶ
στάσεις ἐπαύσατο. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους
αὐτοῦ. καὶ οἱ ἐν τῇ μιλήτῳ πελοποννήσιοι, ὡς τροφήν τε
οὐδεὶς ἐδίδου τῶν ὑπὸ τισσαφέρνους, τότε ὅτε ἐπὶ τὴν
ἄσπενδον παρῄει προσταχθέντων, καὶ αἱ φοίνισσαι νῆες
οὐδὲ ὁ τισσαφέρνης τέως που ἧκον. ὅτε φίλιππος ὁ ξυμ-
πεμφθεὶς αὐτῷ ἐπεστάλκει μινδάρῳ τῷ ναυάρχῳ, καὶ ἄλλος
ἱπποκράτης ἀνὴρ σπαρτιάτης. καὶ ὢν ἐν φασήλιδι, ὅτι
οὔτε αἱ νῆες παρέσοιντο. πάντα τε ἀδικοῖντο ὑπὸ τισσα-
φέρνους. φαρνάβαζος τ' ἐπηγγέλλετο αὐτοῖς. καὶ ἦν
πρόθυμος κομίσασθαι τὰς ναῦς. καὶ αὐτὸς τὰς λοιπὰς
ἔτι πόλεις τῆς ἑαυτοῦ ἀρχῆς ἀποστῆσαι τῶν ἀθηναίων, ὡς-
περ καὶ ὁ τισσαφέρνης ἐλπίζων πλέον τι σχήσειν ἀπ' αὐτοῦ,
οὕτω δὴ ὁ μίνδαρος πολλῷ κόσμῳ. καὶ ἀπὸ παραγγέλμα-
τος αἰφνιδίου, ὅπως λάθοι τοὺς ἐν σάμῳ ἄρας ἀπὸ τῆς μι-
λήτου ναυσὶ τρισὶ καὶ ἑβδομήκοντα, ἔπλει ἐπὶ τοῦ ἑλλη-
σπόντου. πρότερον δὲ ἐν τῷ αὐτῷ θέρει τῷδε, ἑκκαίδεκα
ἐς αὐτὸν νῆες ἐσέπλευσαν. καὶ τῆς χερσονήσου τι μέρος
κατέδραμον. χειμασθεὶς δὲ ἀνέμῳ καὶ ἀναγκασθεὶς, κα-
ταίρει ἐς τὴν ἴκαρον. καὶ μείνας ἐν αὐτῇ ὑπὸ ἀπλοίας πέντε
ἢ ἓξ ἡμέρας. ἀφικνεῖται ἐς τὴν χίον. ὁ δὲ θράσυλλος ἐκ
τῆς σάμου ἐπειδὴ ἐπύθετο αὐτὸν ἐκ τῆς μιλήτου ἀπηρκότα
ἔπλει καὶ αὐτὸς ναυσὶν εὐθὺς πέντε καὶ πεντήκοντα. ἐπει-
γόμενος μὴ φθάσῃ ἐς τὸν ἑλλήσποντον εἰσπλεύσας. αἰσθό-
μενος δὲ ὅτι ἐν τῇ χίῳ εἴη. καὶ νομίσας αὐτὸν καθέξειν αὐ-
τοῦ, σκοποὺς μὲν κατεστήσατο καὶ ἐν τῇ λέσβῳ καὶ ἐν τῇ
ἀντιπέρας ἠπείρῳ. εἰ ἄρα ποι κινοῖντο αἱ νῆες ὅπως μὴ
λάθοιεν. αὐτὸς δὲ ἐς τὴν μήθυμναν παραπλεύσας ἄλφιτα

τε καὶ ἄλλα ἐπιτήδεια παρασκευάζειν ἐκέλευσεν ὡς ἢν πλείων
χρόνος γίγνηται ἐκ τῆς λέσβου τοὺς ἐπίπλους τῇ χίῳ ποιησό-
μενος. ἅμα δὲ ἐρεσὸς γὰρ τῆς λέσβου ἀφεστηκυῖα. ἐβού-
λετο ἐπ᾽ αὐτὴν πλεύσας εἰ δύναιτο ἐξελεῖν. μηθυμναίων
γὰρ οὐχ οἱ ἀδυνατώτατοι φυγάδες διακομισθέντες ἔκ τε
τῆς κύμης προσεταίρους ὁπλίτας ὡς πεντήκοντα καὶ
τῶν ἐκ τῆς ἠπείρου μισθωσάμενοι ξύμπασιν ὡς τριακοσίοις,
ἀναξάρχου θηβαίου κατὰ τὸ ξυγγενὲς ἡγουμένου, προσέ-
βαλον πρῶτον μηθύμνῃ. καὶ ἀποκρουσθέντες τῆς πείρας
διὰ τοὺς ἐκ μυτιλήνης ἀθηναίων φρουρούς. προσελθόντας,
αὖθις ἔξω μάχῃ ἀπωσθέντες, καὶ διὰ τοῦ ὄρους κομισθέν-
τες ἀφιστᾶσι τὴν ἐρεσόν. πλεύσας οὖν ὁ θρασύλλος ἐπ᾽ αὐ-
τὴν πάσαις ταῖς ναυσὶ διενοεῖτο προσβολὴν ποιεῖσθαι. προα-
φιγμένος δὲ αὐτόσε ἦν. καὶ ὁ θρασύβουλος πέντε ναυσὶν
ἐκ τῆς σάμου ὅτε ἠγγέλθη αὐτοῖς ἡ τῶν φυγάδων αὕτη
διάβασις. ὑστερήσας δὲ ἐπὶ τὴν ἐρεσὸν ἐλθὼν ἐφώρμει.
προσεγένοντο δὲ καὶ ἐκ τοῦ ἑλλησπόντου τινὲς δύο νῆες
παρῆσαν ἑπτὰ καὶ ἑξήκοντα. ἀφ᾽ ὧν τῷ στρατεύματι παρε-
σκευάζοντο, ὡς κατὰ κράτος μηχαναῖς τε καὶ παντὶ τρόπῳ
ἢν δύνωνται αἱρήσοντες τὴν ἐρεσόν. ὁ δὲ μίνδαρος ἐν
τούτῳ καὶ ἐκ τῆς χίου τῶν πελοποννησίων νῆες ἐπισιτι-
σάμεναι δυοῖν ἡμέραις. καὶ λαβόντες παρὰ τῶν χίων
τρεῖς τεσσαρακοστὰς ἕκαστος χίας. τῇ τρίτῃ διὰ ταχέων
ἀπαίρουσιν ἐκ τῆς χίου πελάγιαι. ἵνα μὴ περιτύχωσι
ταῖς ἐν τῇ ἐρεσῷ ναυσίν. ἀλλὰ ἐν ἀριστερᾷ τὴν λέσβον
ἔχοντες. ἔπλεον ἐπὶ τὴν ἤπειρον. καὶ προσβαλόντες
τῆς φωκαΐδος ἐς τὸν ἐν καρτερίοις λιμένα. καὶ ἀριστο-
ποιησάμενοι. παραπλεύσαντες τὴν κυμαίαν δειπνοποιοῦν-
ται ἐν ἀργεννούσαις τῆς ἠπείρου. ἐν τῷ ἀντιπέρας τῆς μιτυλήνης

ἐντεῦθεν δ' ἔτι πολλῆς νυκτὸς παραπλεύσαντες τὴν κυ-
μαίαν καὶ ἀφικόμενοι τῆς ἠπείρου ἐς ἀρματοῦντα καταν-
τικρὺ μηθύμνης ἀριστοποιησάμενοι διὰ ταχέων, παρα-
πλεύσαντες λεκτὸν καὶ λάρισαν, καὶ ἀμαξιτόν, καὶ
τὰ ταύτῃ χωρία, ἀφικνοῦνται, ἐς ῥοίτειον ἤδη τοῦ ἑλλησ-
πόντου πρῳαίτερον μέσων νυκτῶν· εἰσὶ δ' αἳ τῶν νεῶν καὶ ἐς
σίγειον κατῆραν· καὶ ἄλλοσε τῶν ταύτῃ χωρίων· οἱ δ' ἀθη-
ναῖοι ἐν τῇ σηστῷ δυοῖν δεούσαις εἴκοσι ναυσὶν ὄντες ὡς αὐτοῖς
οἵ τε φρυκτωροὶ ἐσήμαινον· καὶ ᾐσθάνοντο τὰ πυρὰ ἐξαί-
φνης πολλὰ ἐν τῇ πολεμίᾳ φανέντα· ἔγνωσαν ὅτι ἐσπλέ-
ουσιν οἱ πελοποννήσιοι· καὶ τῆς αὐτῆς ταύτης νυκτὸς ὡς
εἶχον τάχους ὑπομείξαντες τῇ χερσονήσῳ παρέπλεον ἐπ'
ἐλαιοῦντος· βουλόμενοι ἐκπλεῦσαι ἐς τὴν εὐρυχωρί-
ας τὰς τῶν πολεμίων ναῦς· καὶ τὰς μὲν ἐν ἀβύδῳ ἑκκαίδε-
κα ναῦς, ἔλαθον· προειρημένης φυλακῆς τῷ φιλίῳ
ἐπίπλῳ, ὅπως αὐτῶν ἀνακῶς ἕξουσιν ἢν ἐκπλέωσι· τὰς δ'
μετὰ τοῦ μινδάρου ἅμα τῇ ἕῳ κατιδόντες τὴν δίωξιν
εὐθὺς ποιούμενοι, οὐ φθάνουσι πάσαις· ἀλλ' αἱ μὲν πλείους
ἐπὶ τῆς ἴμβρου καὶ λήμνου διέφυγον· τέσσαρες δὲ
τῶν νεῶν αἱ ὕσταται πλέουσαι, καταλαμβάνονται παρὰ
τὸν ἐλαιοῦντα· καὶ μίαν μὲν ἐποκείλασαν κατὰ τὸ ἱερὸν
τοῦ πρωτεσιλάου, αὐτοῖς ἀνδράσι λαμβάνουσι· δύο δὲ
ἑτέρας ἄνευ τῶν ἀνδρῶν· τὴν δὲ μίαν πρὸς τῇ ἴμβρῳ
κενὴν κατακαίουσι· μετὰ δὲ τοῦτο ταῖς τε ἐξ ἀβύδου ξυμ-
μιγείσαις καὶ ταῖς ἄλλαις ξυμπάσαις, ἓξ καὶ ὀγδοήκοντα
πολιορκήσαντες ἐλαιοῦντα ταύτην τὴν ἡμέραν· ὡς οὐ προ-
σεχώρει, ἀπέπλευσαν ἐς ἄβυδον· οἱ δ' ἀθηναῖοι ψευ-
σθέντες τῶν σκοπῶν καὶ οὐκ ἄν, οἰόμενοι σφᾶς λαθεῖν
τὸν παράπλουν τῶν πολεμίων, ἀλλὰ καθ' ἡσυχίαν τειχομα-

χοῦντες

ὡς ᾔσθοντο εὐθὺς ἀπολιπόντες τὴν ἔρεσον· κατὰ τάχος ἐ
βοήθουν ἐς τὸν ἑλλήσποντον· καὶ δύο τε ναῦς τῶν πελοπον
νησίων αἱροῦσιν· αἳ πρὸς τὸ πέλαγος τότε θρασύτερον ἐν τῇ
διώξει ἀπάρασαι, περιέπεσον αὐτοῖς· καὶ ἡμέρᾳ ὕστερον
ἀφικόμενοι, ὁρμίζονται ἐς τὸν ἐλαιοῦντα· καὶ τὰς ἐκ
τῆς ἴμβρου ὅσαι κατέφυγον κομίζονται· καὶ ἐς τὴν ναυ
μαχίαν πέντε ἡμέρας παρεσκευάζοντο· μετὰ δὲ τοῦτο ἐ
ναυμάχουν τρόπῳ τοιῷδε· οἱ ἀθηναῖοι παρέπλεον ἐπὶ
κέρως ταξάμενοι παρ' αὐτὴν τὴν γῆν ἐπὶ τῆς σηστοῦ· οἱ
δὲ πελοποννήσιοι αἰσθόμενοι ἐκ τῆς ἀβύδου, ἀντανῆ
γον καὶ αὐτοί· καὶ ὡς ἔγνωσαν ναυμαχήσοντες, παρέτει
ναν τὸ κέρας· οἱ μὲν ἀθηναῖοι παρὰ τὴν χερσόνησον ἀρ
ξάμενοι ἀπὸ ἰδάκου μέχρι ἀρειανῶν, νῆες ἓξ καὶ ὀγ
δοήκοντα· οἱ δ' αὖ πελοποννήσιοι ἀπ' ἀβύδου μέχρι δαρ
δάνου, νῆες ὀκτὼ καὶ ἑξήκοντα· κέρας δὲ τοῖς μὲν πελο
ποννησίοις εἶχον, τὸ μὲν δεξιὸν συρακούσιοι· τὸ δ' ἕ
τερον αὐτὸς μίνδαρος· καὶ τῶν νεῶν αἱ ἄριστα πλέ
ουσαι· ἀθηναίοις δὲ τὸ μὲν ἀριστερόν, θράσυλλος· ὁ δὲ
θρασύβουλος τὸ δεξιόν· οἱ δὲ ἄλλοι στρατηγοὶ ὡς ἕκαστοι
διετάξαντο· ἐπειγομένων δὲ τῶν πελοποννησίων πρό
τερον ξυμμίξαι· καὶ κατὰ μὲν τὸ δεξιὸν τῶν ἀθηναίων
ὑπερσχόντες αὐτοὶ τῷ εὐωνύμῳ ἀποκλῄσαι τοῦ ἔξω αὐτοὺς
ἐκπλοῦ εἰ δύναιντο· κατὰ δὲ τὸ μέσον ἐξῶσαι πρὸς τὴν
γῆν οὐχ ἑκὰς οὖσαν· οἱ ἀθηναῖοι γνόντες, ᾗ μὲν ἐβούλον
το ἀποφράξασθαι αὐτοὺς οἱ ἐναντίοι, ἀντεπεξῆγον· καὶ περι
εγίγνοντο τῷ πλῷ· τὸ δὲ εὐώνυμον αὐτοῖς ὑπερεβεβλήκει
ἤδη τὴν ἄκραν ἣ κυνὸς σῆμα καλεῖται· τῷ δὲ μέσῳ τοιούτου
ξυμβαίνοντος, ἀσθενέσι καὶ διεσπασμέναις ταῖς ναυσὶ
καθίσταντο· ἄλλως τε καὶ ἐλάσσοσι χρώμενοι τὸ πλῆθος·

καὶ τοῦ χωρίου τοῦ περὶ τὸ κυνὸς σῆμα ὀξεῖαν καὶ γωνιώ
δη τὴν περιβολὴν ἔχοντος, ὥστε τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ
γιγνόμενα μὴ κάτοπτα εἶναι· προσπεσόντες οἱ πε
λοποννήσιοι κατὰ τὸ μέσον. ἐξέωσάν τε ἐς τὸ ξηρὸν τὰς
ναῦς τῶν ἀθηναίων, καὶ ἐς τὴν γῆν ἐπεξέβησαν τῷ ἔργῳ,
πολὺ περισχόντες. ἀμῦναι δὲ τῷ μέσῳ, οὔθ' οἱ περὶ τὸν
θρασύβουλον ἀπὸ τοῦ δεξιοῦ ὑπὸ πλήθους τῶν ἐπικει
μένων νεῶν ἐδύναντο· οὔθ' οἱ περὶ τὸν θράσυλον ἀπὸ τοῦ
εὐωνύμου· ἀφανὲς γὰρ ἦν διὰ τὴν ἄκραν. τὸ κυνὸς σῆμα
καὶ ἅμα οἱ συρακούσιοι καὶ οἱ ἄλλοι. οὐκ ἐλάσσους ἐπιτε
ταγμένοι εἶργον αὐτούς, πρὶν οἱ πελοποννήσιοι διὰ τὸ κρα
τήσαντες ἀδεῶς ἄλλοι ἄλλην ναῦν διώκειν ἤρξαντο μέρει,
τινὶ σφῶν, ἀτακτότεροι γενέσθαι· γνόντες δὲ οἱ περὶ τὸν
θρασύβουλον τὰς ἐπὶ σφίσι ναῦς ἐπεχούσας, παυσά
μενοι τῆς ἐπαγωγῆς ἤδη τοῦ κέρως. καὶ ἐπαναστρέψαν
τες εὐθὺς ἠμύναντό τε καὶ τρεψάμενοι καὶ τὰς κατὰ τὸ νι
κῆσαν τῶν πελοποννησίων μέρος ὑπολαβόντες πε
πλανημένας, ἔκοπτόν τε καὶ ἐς φόβον τὰς πλείους
ἀμαχεὶ καθίστασαν· οἵ τε συρακούσιοι ἐτύγχανον καὶ
αὐτοὶ ἤδη τοῖς περὶ τὸν θράσυλον ἐνδεδωκότες καὶ
μᾶλλον ἐς φυγὴν ὁρμήσαντες. ἐπειδὴ καὶ τοὺς ἄλλους
ἑώρων· γεγενημένης δὲ τῆς τροπῆς, καὶ καταφυγόντων
τῶν πελοποννησίων πρὸς τὸν πύδιον μάλιστα ποταμὸν
τὸ πρῶτον, ὕστερον δὲ ἐς ἄβυδον, ναῦς μὲν ὀλίγας ἔ
λαβον οἱ ἀθηναῖοι· στενὸς γὰρ ὢν ὁ ἑλλήσποντος, βρα
χείας τὰς ἀποφυγὰς τοῖς ἐναντίοις παρεῖχε· τὴν μέντοι
νίκην ταύτην τῆς ναυμαχίας ἐπικαιροτάτην δὴ ἔσχον·
φοβούμενοι γὰρ τέως τὸ τῶν πελοποννησίων ναυτι
κὸν διά τε τὰ κατὰ βραχὺ σφάλματα καὶ διὰ τὴν

ἐν τῇ σικελίᾳ ξυμφοράν, ἀπηλλάγησαν· τοῦ σφᾶς τε
αὐτοὺς καταμέμφεσθαι, καὶ τοὺς πολεμίους ἔτι ἀξί-
ους του ἐς τὰ ναυτικὰ νομίζειν· ναῦς μέντοι τῶν ἐναντίων
λαμβάνουσι. χίας μὲν ὀκτώ· κορινθίας δὲ πέντε·
ἀμπρακιώτιδας δὲ δύο· καὶ βοιωτίας δύο· λευκα-
δίων δὲ καὶ λακεδαιμονίων, καὶ συρακοσίων καὶ
πελληναίων, μίαν ἑκάστων· αὐτοὶ δὲ, πεντεκαίδεκα
ναῦς ἀπολλύασι· στήσαντες δὲ τροπαῖον ἐπὶ τῇ ἄκρᾳ,
οὗ τὸ κυνὸς σῆμα· καὶ τὰ ναυάγια προσαγαγόμενοι
καὶ νεκροὺς τοῖς ἐναντίοις ὑποσπόνδους ἀποδόντες
ἀπέστειλαν δὲ ἐς τὰς ἀθήνας τριήρη ἄγγελον τῆς νίκης·
οἱ δέ· ἀφικομένης τῆς νεὼς, καὶ ἀνέλπιστον τὴν εὐ-
τυχίαν ἀκούσαντες, ἐπί τε ταῖς περὶ τὴν εὔβοιαν ἄρτι
ξυμφοραῖς, καὶ κατὰ τὴν στάσιν γεγενημέναις,
πολὺ ἐπερρώσθησαν· καὶ ἐνόμισαν σφίσιν ἔτι
δυνατὰ εἶναι τὰ πράγματα, ἢν προθύμως ἀντιλαμ-
βάνωνται, περιγενέσθαι· μετὰ δὲ τὴν ναυμαχίαν
ἡμέρᾳ τετάρτῃ ὑπὸ σπουδῆς ἐπισκευάσαντες τὰς
ναῦς οἱ ἐν τῇ σηστῷ ἀθηναῖοι, ἔπλεον ἐπὶ κύζικον
ἀφεστηκυῖαν· καὶ κατιδόντες κατὰ ἁρπάγιον
καὶ πρίαπον τὰς ἀπὸ τοῦ βυζαντίου ὀκτὼ ναῦς· ὁρ-
μούσας, ἐπιπλεύσαντες καὶ μάχῃ κρατήσαντες,
τοὺς ἐν τῇ γῇ, ἔλαβον τὰς ναῦς· ἀφικόμενοι δὲ ἐς
ἐπὶ τὴν κύζικον ἀτείχιστον οὖσαν, προσηγάγοντο πάλιν
καὶ χρήματα ἀνέπραξαν· ἔπλευσαν δὲ ἐν τούτῳ καὶ
οἱ πελοποννήσιοι ἐκ τῆς ἀβύδου ἐπὶ τὸν ἐλαιοῦντα·
καὶ τῶν σφετέρων νεῶν τῶν αἰχμαλώτων ὅσαι ἦσαν
ὑγιεῖς, ἐκομίσαντο· τὰς δὲ ἄλλας ἐλαιούσιοι
κατέκαυσαν· καὶ ἐς τὴν εὔβοιαν ἀπέπεμψαν ἱπ

ποκράτην καὶ ἐπικλέα κομιοῦντας τὰς ἐκεῖθεν ναῦς.
κατέπλευσε δὲ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτους καὶ ὁ ἀλ-
κιβιάδης ταῖς τρισὶ καὶ δέκα ναυσὶν ἀπὸ τῆς καύνου
καὶ φασήλιδος ἐς τὴν σάμον, ἀγγέλλων ὅτι τάς τε φοινίσ-
σας ναῦς ἀποστρέψειε πελοποννησίοις ὥστε μὴ ἐλθεῖν.
καὶ τὸν τισσαφέρνην ὅτι φίλον μᾶλλον πεποιήκοι ἀθη-
ναίοις ἢ πρότερον. καὶ πληρώσας ναῦς ἐννέα πρὸς αἷς
εἶχεν, ἁλικαρνασσέας τε πολλὰ χρήματα ἔπραξε. καὶ
κῶν ἐτείχισε. ταῦτα δὲ πράξας, καὶ ἄρχοντας ἐν τῇ κῷ κα-
ταστήσας, πρὸς τὸ μετόπωρον ἤδη ἐς τὴν σάμον ἔπλευσε.
καὶ ὁ τισσαφέρνης ἀπὸ τῆς ἀσπένδου ὡς ἐπύθετο τὰς
τῶν πελοποννησίων ναῦς ἐκ τῆς μιλήτου ἐς τὸν ἑλλήσ-
ποντον πεπλευκυίας, ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς ἰω-
νίας. ὄντων δὲ τῶν πελοποννησίων ἐν τῷ ἑλλησπόντῳ, ἀν-
τάνδριοι. εἰσὶ δὲ αἰολῆς. παρακομισάμενοι ἐκ τῆς ἀ-
βύδου πεζῇ διὰ τῆς ἴδης τοῦ ὄρους ὁπλίτας, ἐσηγά-
γοντο ἐς τὴν πόλιν, ὑπὸ ἀρσάκου τοῦ πέρσου τισσαφέρ-
νους ὑπάρχου ἀδικούμενοι. ὅσπερ καὶ δηλίους τοὺς ἀ-
τραμύττιον οἰκήσαντας. ὅτε ὑπὸ ἀθηναίων δήλου κα-
θάρσεως ἕνεκα ἀνέστησαν, ἔχθραν προσποιησάμενος
ἄδηλον. καὶ ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις,
ἐξαγαγὼν ὡς ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ τηρήσας ἀρι-
στοποιουμένους καὶ περιστήσας τοὺς ἑαυτοῦ, κατηκόντισε.
φοβούμενοι οὖν αὐτὸν διὰ τοῦτο τὸ ἔργον μή ποτε καὶ περὶ
σφᾶς τι παρανομήσῃ. καὶ ἄλλα ἐπιβάλλοντος αὐτοῦ ἃ
φέρειν οὐκ ἐδύναντο, ἐκβάλλουσι τοὺς φρουροὺς αὐτοῦ
ἐκ τῆς ἀκροπόλεως. ὁ δὲ τισσαφέρνης αἰσθόμενος καὶ
τοῦτο τὸ τῶν πελοποννησίων ἔργον. καὶ οὐ μόνον τὸ ἐν τῇ
μιλήτῳ καὶ κνίδῳ. καὶ ἐνταῦθα γὰρ αὐτοῦ ἐξεπεπτώ-

κεσαν οἱ φρουροί, διαβεβλῆσθαί τε νομίσας αὐτοῖς σφό
δρα· καὶ δείσας μὴ καὶ ἄλλο τι ἐπιβλάπτωσι· καὶ ἅμα
ἀχθόμενος ὁ Φαρνάβαζος ἐξ ἐλάσσονος χρόνου καὶ δα
πάνης δεξάμενος· αὐτοὺς κατορθώσεταί τι μᾶλλον
πρὸς τοὺς ἀθηναίους. πορεύεσθαι διενοεῖτο πρὸς αὐτοὺς
ἐπὶ τοῦ ἑλλησπόντου· ὅπως μέμψηταί τε τῶν περὶ τὴν ἄν
τανδρον γεγενημένων· καὶ τὰς διαβολὰς ἀπώσηται
καὶ περὶ τῶν φοινισσῶν νεῶν· καὶ τῶν ἄλλων ὡς εὐπρε
πέστατα ἀπολογήσηται· καὶ ἀφικόμενος πρῶτον ἐς
ἔφεσον, θυσίαν ἐποιήσατο τῇ ἀρτέμιδι· ὅταν ὁ μετὰ
τοῦτο τὸ θέρος χειμὼν τελευτήσῃ ἓν καὶ εἰκοστὸν ἔτος
πληροῦται:~

BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA

IIIII [illegible]

α IIIIIIIII

THVCYDI